
ΗΡΩΔΙΑΝΟΥ

ΙΣΤΟΡΙΩΝ ΒΙΒΛΙΑ Η'.

HERODIANI

HISTORIARUM LIBRI 8.

Recognití & notis illustrati.



OXONIÆ
E THEATRO SHELDONIANO,
Anno 1678.

PRÆFATIO

HErodianus, ut innuit *Martinus Hankius* de Romanarum rerum ſcriptoribus, Romanam ſui temporis hiſtoriam libris 8. ſcripſit. Eam à M. Aurelii Antonini, qui cognomen Philoſophi ſuſtinet, obitu, ſive ab anno Urbis 932, Chriſti 180, orditur: & in initio imperii Romani, poſt Maximinum, à Gordiano ſuſcepti, anno Urbis 990, Chriſti 238, terminat.

Ex Græco Latinam Angelus Politianus fecit: declaratam dederunt *Henricus Stephanus*, *Erricus Memmius*, *Andreas Schottus*, *Fridericus Sylburgius*, *Daniel Pareus*, *Joannes Henricus Boeclerus*.

Prodiit Latinè tantum, Politiano interprete, Bononiæ 1493. in f. Græcè, cum eadem interpretatione, Venetiis 1524. in 8: Baſileæ 1549. in 8: Græce & Latinè, cum *Stephani* annotationibus, *Memmii* animadverſionibus, *Schotti* emendationibus ſcripturarumque varietatibus, *Sylburgii* notationibus, tomo 3. hiſtoriæ Romanæ Scriptorum, quos Sylburgius collegit, Francofurti ad Mœnum 1590. in f. cum *Stephani* & annotatiunculis in quoſdam locos, &, partim ſupplemento, partim examine interpretationis Politianæ, Lugduni 1611. in 8: cum *Parei*, ex Herodianis libris, principum bonorum & malorum ſpeculo, ſive monitis & exemplis ethico-politicis, quæ virtutes & vitia Principum ſpectant, Francofurti ad Mœnum, 1630. in 8: cum *Bœcleri* notis, Argentorati 1644. in 8.

Cum itaque *Herodianum* ſecundâ jam vice Oxoniæ impreſſum exhibeamus, operæ pretium erit noſtram methodum explicare, & quid in hâc editione præſtiterit *prælum Sheldonianum*, exponere.

Quoad textum, ſecuti ſumus exemplaria *Henrici Stephani*, qui ſi quando à codicibus manuſcriptis diſſentiat, emendationem ſuam alieno charactere fatetur, vel

 varias

varias lectiones à latere adjicit. Nos ipsius plerumque emendationes (ubi verborum sensus id requirebat) nullâ habitâ characteris ratione, ipsi textui inseruimus, ut editio hæc ultrà justam molem ne margine quidem excresceret.

Eodem consilio latinam versionem *Angeli Politiani* elegimus; quem, quoties sententiarum elegantiæ intentus historicum vel oratorem potiùs agit quam interpretem, pro verborum & sensus exigentiâ paulò immutavimus.

Stephani, Memmii, aliorumque annotationes, quas suis benè auxit *Sylburgius*, ubi textum clariorem reddunt, vel Tyronum captui magis expositum, ad paginæ partem infimam subjecimus.

Postremo, *Zonaram, Dionem*, ut ac *Historiæ Augustæ* scriptores revolvimus, ut (si quibus in locis *Herodiani* historia alitèr tradatur) in hâc editione, sine temporis dispendio, multorum sententias eadem pagina exhiberet. In omnibus brevitati studuimus, huic rei potissimùm intenti, ut Authoris textus correctior & purior potiùs prodiret quàm commentariis onustus.

HERODIANI VITA

Ex eodem

MARTINO HANKIO.

HErodianus quando vixerit, ipse docet lib. 1. cap. 1. cum ait, Angelo Politiano interprete: *ego non quidem acceptam ab aliis, aut testibus egentem historiam, sed eorum, qui legent, sensibus adhuc memoriaque recenti inhærentem, summa vel fide, vel diligentia collectam, conscribendam suscepi: sperans haud injucundam fore posteritati earum rerum notitiam, quæ multæ sane atque magnæ haud ita longo tempore acciderunt. Nam si quis ab Augusto usque Principe*

Principe omnem ætatem complectatur animo, cum ſcilicet Romanorum potentia ad unius eſt arbitrium devoluta, ne annis quidem illis circiter ducentis (tot enim fermè ad Marci tempora numerantur) aut imperiorum tam diverſas ſucceſſiones reperiet, aut bellorum vel civilium, vel externorum tam varios caſus atque eventus. Ibidem poſt pauca: *Nam cum ſexaginta annis plures, quam pro tempore, Principes Urbs Roma pertulerit, factum ex eo eſt, uti multæ ſanè variæque res atque admiratione dignæ exorirentur.* Et cap. 2. extremo: *Quæ poſt Marci obitum per univerſam ætatem viſa mihi auditaque ſunt, nonnulla item in experiundo cognita, utpote in publicis officiis principalibuſque verſato, ea nunc conſcribenda ſuſcepi.*

Hæc Commodi, quem Marcus Antoninus anno Urbis 932, Chriſti 180, ſucceſſorem habuit; ſed & Severi, Caracallæ, Heliogabali, Alexandri & Maximini Imperatorum temporibus Herodianum vixiſſe indicant. Nam ſui temporis hiſtoriam, quam nobis reliquit, in imperio in Gordianum, qui Maximino ſucceſſit, translato, id eſt, in anno urbis 990, Chriſti 238, finit.

Judicia de

HERODIANO

CApitolinus in Albino, cap. 12. *Quæ qui diligentius ſcire velit, legat Marium Maximum, de Latinis Scriptoribus; de Græcis, Herodianum, qui ad fidem pleraque dixerunt.* Idem in duobus Maximinis, cap. 13. *Herodianus Græcus ſcriptor ei (* Maximino, *) quantum videmus, in odium Alexandri plurimum favit.*

Photius in Bibliotheca, Codice 99. Andrea Schotto interprete: *Scriptoris hujus dictio clara eſt, atque perſpicua, quin & jucunda: vocibus autem utitur temperatis, neque ſupra modum Atticis, quibus nativa illa communis ſermonis gratia quodammodo violetur: nec rurſus in humilitatem quandam ita demiſſis, ut artem omnem illæ ſugiſſe videantur.*

Ad

Ad hæc nec ſupervacaneis tumet, neque neceſſarium quid omittit: ſed, ut uno verbo abſolvam, omnibus hiſtoriæ virtutibus paucis ſanè cedit.

Joannes Bodinus Methodo hiſtoriarum cap. 4. de Suetonio locutus: *Non idem fuit in Herodiano ſtudium veritatis inquirendæ: nec ferè poteſt ejuſdem Principis virtutes ac vitia recenſere.*

Iſaacus Caſaubonus notis ad Capitolini in Maximinis caput. 13. *Duo objiciuntur ſcriptori optimo: quod Alexandrum oderit, Maximino faverit. Unde colligi potuerit amor Herodiani in Maximinum, in ejus hiſtoria nihil invenio: at in Alexandrum odium ex narratione de bello Perſico & Germanico ſine dubio Capitolinus collegit. Sic enim tota expeditionum illarum hiſtoria Herodiano texitur, ut gloriam nullam, ignominiam vero nonnullam ex utroque bello, maximè autem Perſico, Princeps alioquin laude digniſſimus reportarit. Et mirum ſanè eſt de bellicis ejus imperatoris rebus adeo non diverſa, ſed* ἐκ διαμέτρου, *quod aiunt, pugnantia Herodianum & Capitolinum ſcripſiſſe. Etſi autem amiſſis omnibus aliis Hiſtoricis, pro certo dici hodie non poteſt, utrius ſit narratio verior; ſuſpicor tamen Herodiano fieri à Capitolino injuriam: & quod in Alexandro non omnia laudet, in Maximino non omnia vituperet; libertate ſuâ & recto judicio uſum potius, quam vel odio, vel gratia fuiſſe corruptum.*

Gerardus Joannes Voſſius lib. 2. de Hiſtoricis Græcis, cap. 15. *Veritati etiam ſtuduit, niſi quod fides ejus nutet in Alexandro & Maximino.*

Joannes Henricus Bœclerus in Herodianum, præfatione ad Lectorem: *Quod ſi quis utrumque velit comparare, Dio ſane amplitudine argumenti, copia expoſitionis, frequentia pragmaticæ informationis præcellere videbitur; ſed ſtyli terſiſſima & temperatiſſima venuſtas,* οἰκονομίας *hiſtoricæ concinnitas, ſententiarum opportunitas & elegantia, judicii civilis gravitas & æquabilitas, compoſitionis univerſæ competentia in Herodiano longè longeque eminebit.* Ibidem poſt quædam: *Quod nonnulli in rebus Alexandri & Maximini fidem ejus ſuſpectant, non magnis id videntur de cauſis facere, ficut in notis oſtendimus.*

INDEX

INDEX RERUM.

Perſica.

INDEX.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ἱστοριῶν

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ·

HERODIANI

HISTORIÆ

De Imperio Rom. Imperatorum post MARCUM,

LIBER PRIMUS.

ΠΡΟΟΙΜΙΟΝ.

ΟΙ πλεῖστοι τῶν περὶ συγκομιδὴν ἱστορίας ἀσχοληθέντων, ἐνίων τε πάλαι γεγονότων μνήμην ἀνανεώσασθαι σπουδασάντων, παιδείας κλέος ἀΐδιον μνώμενοι, ὅπως μὴ, σιωπήσαντες, λάθοιεν εἰς τὸν πολὺν ὅμιλον ἀριθμούμενοι, τῆς μὲν ἀληθείας ἐν ταῖς ἀφηγήσεσιν ὠλιγώρησαν, οὐχ ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε καὶ εὐφωνίας θαῤῥοῦντες, ὡς εἴ τι καὶ μυθῶδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς ἀκροάσεως αὐτοὶ καρπώσονται, τὸ δ' ἀκριβὲς τῆς ἐξετάσεως οὐκ ἐλεγχθήσεται. εἰσὶ δ' οἳ πρὸς ἔχθραν ἢ μῖσος τυράννων, κολακείαν τε ἢ τιμὴν βασιλέων, πόλεώς τε καὶ ἰδιωτῶν εὐτελῆ καὶ μικρὰ ἔργα, λόγων ἀρετῇ, δόξῃ παρέδωκαν τῆς

PROOEMIUM.

QUI res antiquas posteris prodiderunt, veteremque historiæ memoriam renovare literis studuerunt, ei magna ex parte, dum famam eruditionis affectant, nomenque suum conantur ab injuria oblivionis asserere, minus sane multam in veri pervestigatione, quam in exornanda componendaque oratione industriam posuerunt; rati scilicet, neque si quid in rebus à suo seculo remotissimis falsi proderetur, posse refelli, & se tamen suavitate narrationis amplissimum laboris ingeniique fructum percepturos. Alii vero privatis inimicitiis, tyrannorumque odio provecti, aut in laudes principum, civitatum, privatorumque hominum immodicis assentationibus effusi, tenues per se res atque humiles, scribendi tamen artificio longe

 supra

ſupra veri fidem ſuſtulerunt. Ego vero contra, non quidem acceptam ab aliis, aut incognitam, aut teſtibus egentem hiſtoriam, ſed eorum, qui legent, ſenſibus adhuc memoriæq; inhærentem, ſumma vel fide, vel diligentia collectam, conſcribendam ſuſcepi: ſperans haud injucundam fore poſteritati earum rerum notitiam, quæ multæ ſane atq; magnæ, haud ita longo tempore acciderunt. Nam ſi quis ab Auguſto uſque principe omnem ætatem complectatur animo, cum ſcil. Romanorum potentia ad unius eſt arbitrium devoluta, ne annis quidem illis circiter ducentis (tot enim ferme ad Marci tempora numerantur) aut imperiorum tam diverſas ſucceſſiones reperiet, aut bellorum vel civilium vel externorum tam varios caſus, atque eventus, in tot excitas gentes, tot urbes noſtras barbaraſque expugnatas, præterea terræ motus & peſtilentias, vitas quoq; principum & tyrannorum adeo novas atq; inauditas, ut nulla iis apud veteres conſimilia exempla, aut certe quam pauciſſima inveniantur, quorum alii diuturnam, alii brevem potentiam obtinuerunt: nonnulli autem vix dum inito honore, imperatoreſq; duntaxat appellati, eodem illo quo ſuſceperant die imperium amiſerunt. Nam cum ſexaginta annis plures quam pro tempore principes urbs Roma pertulerit, factum ex eo eſt, uti multæ ſane variæq; res atque admiratione dignæ exorirentur. Quippe ætate provecti principes, utpote rerum negotio-

ἀληθείας μείζονι. ἐγὼ δ' ἱστορίαν οὐ παρ' ἄλλων ὑποδεξάμενος ἄγνωστόν τε καὶ ἀμάρτυρον, ὑπὸ νεαρᾷ δὲ τῇ τῶν ἐντευξομένων μνήμῃ μετὰ πάσης ἀληθοῦς ἀκριβείας ἤθροισα ἐς συγγραφὴν, οὐκ ἀτερπῆ τὴν γνῶσιν καὶ τοῖς ὕστερον ἔσεσθαι προσδοκήσας, ἔργων μεγάλων τε καὶ πολλῶν ἐν ὀλίγῳ χρόνῳ γενομένων. εἰ γοῦν τις παραβάλοι πάντα τὸν ἀπὸ τοῦ Σεβαστοῦ χρόνον, ἐξ οὗπερ ἡ Ῥωμαίων δυναστεία μετέπεσεν εἰς μοναρχίαν, οὐκ ἂν εὕροι ἐν ἔτεσι περί που διακοσίοις, μέχρι τῶν Μάρκου καιρῶν, οὔτε βασιλειῶν οὕτως ἐπαλλήλους διαδοχὰς, οὔτε πολέμων ἐμφυλίων τε καὶ ξένων τύχας ποικίλας, ἐθνῶν τε κινήσεις, καὶ πόλεων ἁλώσεις, τῶν τε ἐν τῇ [1] ἡμεδαπῇ, καὶ ἐν πολλοῖς βαρβάροις· γῆς τε σεισμοὺς, καὶ ἀέρων φθορὰς, τυράννων τε καὶ βασιλέων βίους παραδόξους, πρότερον ἢ σπανίως ἢ μηδ' ὅλως μνημονευθέντας· ὧν οἱ μὲν [2] ἐπιμηκέστερον ἔσχον τὴν ἀρχὴν, οἱ δὲ πρόσκαιρον τὴν δυναστείαν. εἰσὶ δ' οἳ μέχρι προσηγορίας καὶ τιμῆς ἐφημέρου μόνης ἐλθόντες, εὐθέως κατελύθησαν. μερισθεῖσα γὰρ ἡ Ῥωμαίων ἀρχὴ ἐν ἔτεσιν ἑξήκοντα εἰς πλείους δυναστείας, ἢ ὁ χρόνος ἀπῄτει, πολλὰ καὶ ποικίλα ἤνεγκε καὶ θαύματος ἄξια. οὕτω γὰρ οἱ μὲν τὴν ἡλικίαν πρεσβύτεροι, τῇ ἐμπειρίᾳ τῶν πραγμάτων ἐπιμελέστερον ἑαυτῶν τε, καὶ

1. Sub. γῆ. 2. Scribo cum Stephano ἐπιμηκέστερον.

τῶν

τῶν ὑπηκόων ἦρξαν· οἱ δὲ κομιδῇ νέοι, ῥαθυμότερον βιώσαντες, πολλὰ ἐκαινοτόμησαν. διόπερ εἰκότως ἐν ἡλικίαις τε καὶ ἐξουσίαις διαφόροις, οὐχ ὅμοια γέγονε τὰ ἐπιτηδεύματα. ὡς δ᾽ ἕκαστα τούτων πέπρακται κατὰ χρόνους καὶ δυναστείας, διηγήσομαι.

rumq; periti, diligentius se suosq; regebant; contra adolescentes molliter atq; indulgenter habiti, nova scilicet permulta designabant. Quo factum est, ut dispari ætate atque licentia, disparia quoque studia moresque sequerentur. Hæc quemadmodum gesta sint, temporum ipsorum atque principum servato ordine perscribemus.

Breviarium Libri Primi.

IMperator Marcus, semel, in Pannoniis, morbo correptus, solicitus ne filius ejus Commodus degeneraret, exemplo aliorum Principum, eum amicis & cognatis commendat, fatoque defungitur. Commodus, mortuo patre, paternum imperium sibi usurpat, recteque primum administrat: mox ab adulatoribus corruptus, infecto bello Pannonico, Romam remeare statuit, resistente frustra Pompeiano. Romam igitur reversus, magna gratulatione excipitur. Diis salutatis, senatuique gratiis actis, in aulam Palatinam se recipit. Perennium, avarissimum hominem, rebus imperii præficit, ipse deliciis ac flagitiis totum se dedit. Forma insigni præditus, studiis variis se exercuit, aurigando, bestias conficiendo, gladiatorio munere obeundo. Quin eo tandem dementiæ devenit, ut se Herculem Jovis filium appellari juberet, ac mensibus de se nominatis, statuas sibi passim erigi imperaret: mox mutato nomine, gladiatoris cujusdam mortui nomen & genus sibi adoptaret. Calamitates quæ illo tempore contigerunt, principi malo imputatæ sunt; ut pestilentia ingens, in qua ipse Laurentum secesserat, & fames, cujus Cleander coemtis frumentis auctor exstiterat: item prodigia, & urbis ac templorum incendia. Insidias ei paravit prius Lucilla soror, deinde Perennius, posthac Maternus, postremo Marcia concubina, cujus judicio & consiliis primum veneno, mox strangulatione Kalendis Januariis est occisus.

ΤΩ βασιλεύοντι Μάρκῳ θυγατέρες μὲν ἐγένοντο πλείους,

IMperator Marcus filias quidem suscepit complures, mares au-

tem duos. Horum alter natu minor, adolescentulus admodum, fato est functus. Verissimo nomen fuit. Alterum vero Commodum nomine, magna diligentia, curaque pater educavit, accitis undique viris doctrina claris, maximaque proposita mercede, uti mores pro se quisque filii ingeniumque excolerent. Filias porro, quum adolevissent, optimis ex ordine senatorio viris collocavit. Neque enim qui longam generis seriem præferrent, aut qui opes nimias ostentarent, sed qui morum probitate, atque modestia, vitæque innocentia præcellerent, eos sibi generos deligendos putabat. Hæc enim sola animi bona certa esse, stabiliaque ducebat.

II. Virtutem nullam non magnopere exercuit, adeo literarum antiquitatis studiosus, ut nemini sit in eo genere Græcorum, Romanorumque secundus. Argumenta sunt permulta, quæ ab illo dicta atque conscripta ad nos usque pervenerunt.

III. Adeo vero civilem sese, & commodum omnibus principem præstabat, ut adeuntium cuivis dextram placide daret, neminemque à suis custodibus prohiberi aditu pateretur: solusque Imperatorum sapientiæ studium non verbis aut decretorum scientia, sed gravitate morum, vitæque continentia usurpavit. Quo factum est, ut magnum sapientium virorum proventum ætas illa extulerit. Solent enim

[1] ἄρρενες δὲ δύο. τῶν δὲ ἀρρένων τούτων ὁ μὲν ἕτερος κομιδῇ νέος τὸν βίον μετήλλαξε. Βηρίσσιμος δ' ἦν ὄνομα αὐτῷ. τὸν δὲ περιόντα Κόμμοδον καλούμενον, ὁ πατὴρ μετὰ πολλῆς ἐπιμελείας ἀνεθρέψατο, πανταχόθεν τοὺς ἐν τοῖς ἔθνεσιν ἐπὶ λόγοις δοκιμωτάτους ἐπὶ συντάξεσιν οὐκ εὐκαταφρονήτοις καλῶν, ὅπως συνόντες ἀεὶ παιδεύοιεν αὐτῷ τὸν υἱόν· τάς τε θυγατέρας ἐν ὥρᾳ γενομένας ἐξέδοτο ἀνδράσι, τῆς συγκλήτου βουλῆς τοῖς ἀρίστοις, οὐ τοὺς γένους μακραῖς διαδοχαῖς εὐπατρίδας, οὐδὲ τοὺς πλούτου περιβολαῖς λαμπρούς, κοσμίους δὲ τὸν τρόπον, καὶ σώφρονας τὸν βίον, γαμβροὺς αὐτῷ γενέσθαι θέλων. ταῦτα γὰρ μόνα ψυχῆς ἴδια, καὶ ἀναφαίρετα ἡγεῖτο κτήματα.

β'. Ἀρετῆς δὲ πάσης ἔμελεν αὐτῷ· λόγων τε ἀρχαιότητος ἦν ἐραστής, ὡς μηδενὸς μήτε Ῥωμαίων μήτε Ἑλλήνων ἀπολείπεσθαι. δηλοῖ δὲ ὅσα καὶ εἰς ἡμᾶς ἦλθεν, ἢ λεχθέντα πρὸς αὐτοῦ, ἢ γραφέντα.

γ'. Παρεῖχε δὲ καὶ τοῖς ἀρχομένοις ἑαυτὸν ἐπιεικῆ καὶ μέτριον βασιλέα· τούς τε προσιόντας δεξιούμενος, κωλύων τε τοὺς περὶ αὐτὸν δορυφόρους ἀποσοβεῖν τοὺς ἐντυγχάνοντας. μόνος τε βασιλέων φιλοσοφίαν οὐ λόγοις, οὐδὲ δογμάτων γνώσεσι, σεμνῷ δ' ἤθει, καὶ βίῳ σώφρονι [2] ἐπιστώσατο. πολύ τε πλῆθος ἀνδρῶν σοφῶν ἤνεγκεν ἡ τῶν ἐκείνου καιρῶν φορά. φιλεῖ γάρ πως ἀεὶ τὸ

1. Atqui, si Lampridio fides, alter erat Commodo frater, sc. Antoninus geminus.

2. Expressius reddi potest, *confirmavit.*

ἐξήνεγκεν,

ὑπήκοον, ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν.

δ'. Ὅσα μὲν οὖν ἐκείνῳ πέπρακται ἀνδρεῖα καὶ σώφρονα, στρατηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα, πρός τε τοὺς τὰ ἀρκτῷα τῆς γῆς ἔθνη βάρβαρα κατοικοῦντας, πρός τε τοὺς ὑπὸ ταῖς ἀνατολαῖς ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι συγγέγραπται. ἃ δὲ μετὰ τὴν Μάρκου τελευτὴν παρὰ πάντα τὸν ἐμαυτοῦ βίον εἶδόν τε καὶ ἤκουσα, ἔστι δ' ὧν καὶ πείρᾳ μετέσχον, ἐν βασιλικαῖς ἢ δημοσίαις ὑπηρεσίαις γενόμενος, ταῦτα συνέγραψα.

ε'. Γηραιὸν ὄντα Μάρκον, καὶ μὴ μόνον ὑφ' ἡλικίας, ἀλλὰ καμάτοις τε καὶ φροντίσι τετρυχωμένον, διατρίβοντά τε ἐν Παίοσι, νόσος χαλεπὴ καταλαμβάνει. ἐπεὶ δὲ αὐτὸς τὰς πρὸς σωτηρίαν ἐλπίδας φαύλως ἔχειν ὑπώπτευεν, ἑώρα τε τὸν παῖδα τῆς μειρακίων ἡλικίας ἀρχόμενον ἐπιβαίνειν, 1 δεδιὼς μὴ νεότης ἀκμάζουσα, καὶ ἐν ὀρφανίᾳ ἐξουσίαν αὐτοκράτορα καὶ ἀκώλυτον προσλαβοῦσα, μαθημάτων μὲν καλῶν καὶ ἐπιτηδευμάτων 2 ἀφηνιάσῃ, μέθαις δὲ καὶ κραιπάλαις ἐπιδῷ ἑαυτήν. ῥᾷστα γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσαι, ἀπὸ τῆς παιδείας καλῶν μετοχετεύονται.

ϛ'. Οἷα δὴ ἄνδρα πολυΐστορα μάλιστα ἐτάραττε μνήμη τῶν ἐν νεότητι βασιλείαν παραλαβόντων, τοῦτο

plerumque homines vitam principis æmulari.

IV. Quæcunque igitur ab illo modeste atque fortiter domi forisque sunt gesta, qualemque porro se adversus barbaras nationes septentrioni subjectas, solique orienti gesserit, ea sunt multorum doctissimorumque hominum comprehensa monimentis. Quæ vero post Marci obitum per universam ætatem visa mihi, auditaque sunt, nonnulla item in experiundo cognita, utpote in publicis officiis, principalibusque versato, ea nunc conscribenda suscepi.

V. Senem jam Marcum, neque ætate solum, sed laboribus multis curisque confectum, dum in Pannoniis ageret, gravissimus repente percussit morbus. Quare cum deploratam plane salutem suam sentiret, anxius videlicet agebat, ne filius, qui tum primam inierat adolescentiam, sive ætatis fervore nimio, sive licentia quadam summa quam in orbitate esset habiturus, bonis artibus studiisque relictis, ebrietati sese & crapulæ dederet. Quippe facile ingenia adolescentium à recta honestaque disciplina ad luxum voluptatesque delabuntur.

VI. Terrebat insuper hominem minime imperitum, multorum memoria principum, qui juvenes imperium suscepissent :

1. Assentimur Stephano, qui aut verbum aliquod, ante δεδιὼς, intercidisse suspicatur, aut legendum censet ἐδεδίει.

2. Ne rejiceret, ut solent equi duri oris fræna excutere.

ut

ut Dionyſii Siciliæ tyranni, cujus tanta fuit intemperantia victus, ut novarum voluptatum inventores ſummis afficeret præmiis: ut item eorum qui Alexandro ſucceſſerunt. Ita enim contumeliosè, violenterque dominati ſunt, ut illius imperio grave dedecus conciliarint. Siquidem Ptolemæus eo turpitudinis prolapſus eſt, ut contra Macedonum, atque adeo Græcorum omnium leges, etiam ſororis amoribus implicaretur. Antigonus autem, quò Liberum per omnia repræſentaret, pro cauſia & diademate Macedonico hederam capiti circundare, thyrſumque pro ſceptro geſtare eſt ſolitus.

μὲν, Διονυσίου τοῦ Σικελιώτου τυράννου, ὃς ὑπὸ τῆς ἄγαν ἀκρασίας, ἡδονὰς ἐπὶ μεγίστοις μισθοῖς ἐθήρατο· τοῦτο δὲ, αἱ τῶν Ἀλεξάνδρου διαδόχων εἰς τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι' ὧν τὴν ἐκείνου ἀρχὴν κατῄσχυναν. Πτολεμαῖος μὲν, καὶ μέχρις ἀδελφῆς ἰδίας ἔρωτος προχωρήσας, [1] παρά τε τοὺς Μακεδόνων καὶ Ἑλλήνων νόμους· Ἀντίγονος δὲ Διόνυσον πάντα μιμούμενος, καὶ κισσὸν μὲν περιτιθεὶς τῇ κεφαλῇ ἀντὶ [2] καυσίας καὶ διαδήματος Μακεδονικοῦ, θύρσον δὲ ἀντὶ σκήπτρου φέρων.

VII. Solicitabant animum ſenis recentia quoque exempla: ut Neronis ipſius, qui ne à materna quidem cæde abſtinuerit, & ſe ridiculum populo ſpectaculum præbuerit. Ut item Domitiani, qui nihil ſibi ad extremam crudelitatem reliqui fecerit. Has igitur tyrannidum imagines cum animo volutans, inter ſpem metumque agitabatur. Terrebat præterea illum Germaniæ vicina gens, quam nondum plane ſubjecerat, ſed partim in ſocietatem adſciverat, alios armis belloque edomuerat, nonnulli etiam ex iis

ζ'. Ἔτι δὲ καὶ μᾶλλον αὐτὸν ἐλύπει τὰ μὴ πρὸ πολλοῦ, ἀλλ' ὑπόγυον ἔχοντα τὴν μνήμην, τά τε Νέρωνι πεπραγμένα, ὃς ἐχώρησε μέχρι μητρῴου φόνου, παρεῖχέ τε τοῖς δήμοις ἑαυτὸν καταγέλαστον θέαμα· τά τε Δομετιανῷ τετολμημένα, τῆς ἐσχάτης ὠμότητος οὐδὲν ἀπολείποντα. τοιαύτας δὴ τυραννίδος εἰκόνας ὑποτυπούμενος, ἐδεδίει τε καὶ ἤλπιζεν. οὐ μετρίως δ' αὐτὸν ἐτάραττον καὶ οἱ Γερμανοὶ γειτνιῶντες, οὓς οὐδέπω πάντας ἐκεχείρωτο, ἀλλὰ τοὺς μὲν πειθοῖ ἐς συμμαχίαν προσηγάγετο, τῶν δὲ καὶ κρατήσας ἦν τοῖς ὅπλοις· ἦσαν δέ τινες,

---

1. Quæ tamen omnino vera non ſunt, niſi diſtinctius rem perpendamus. Contrarium enim colligi videtur è Cornelii Nepotis præfatione; *neque enim*, inquit ille, *Cimoni fuit turpe Athenienſium ſummo viro, ſororem germanam habere in matrimonio.* Quod ut cum Herodiano conſentiat, ſororem ibi intelligit ὁμοπάτριον duntaxat, non vero, ut fit hic loci, ὁμομητρίαν. Quam conjecturam ſatis confirmat Ariſtophanis Scholiaſtes in Nubibus. Παρὰ Ἀθηναίοις, inquit, ἔξεστι γαμεῖν τὰς ἐκ τῶν πατέρων ἀδελφάς.

2. Καυσίαν Jul. Pollux πῖλον Μακεδονικὸν appellat, derivatum à καίω, *uro*, eo quod æſtum ſolis arceat.

οἱ

οἱ διαδράντες πρὸς τὸ παρὸν ἀνακεχωρήκεσαν, δέει τῆς παρουσίας τοιούτου βασιλέως. ὑπώπτευεν οὖν, μὴ τῆς ἡλικίας τοῦ μειρακίου καταφρονήσαντες ἐπιθῶνται αὐτῷ. ἐρᾷ γὰρ τὸ βάρβαρον, καὶ ἐπὶ ταῖς τυχούσαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι. κυμαινόμενος οὖν ἔχων τοσαύταις φροντίσι τὴν ψυχήν, συγκαλέσας τοὺς φίλους, ὅσοι τε παρῆσαν τῶν συγγενῶν, καὶ τὸν παῖδα παραστησάμενος, ἐπειδὴ πάντες συνῆλθον, ἡσυχῇ τοῦ σκίμποδος κουφίσας ἑαυτὸν τοιούτων λόγων ἤρξατο.

Δημηγορεία τοῦ βασιλέως Μάρκου.

η'. Ἄχθεσθαι μὲν ὑμᾶς, ἐφ' οἷς ὁρᾶτέ με διακείμενον, θαυμαστὸν οὐδέν. φύσει τε γὰρ τὸ ἀνθρώπινον ἐλεεινὸν ἐν ταῖς τῶν ὁμοφύλων συμφοραῖς· τά τε δεινὰ ὑπ' ὄψιν πεσόντα, οἶκτον προκαλεῖται μείζονα. ἐμοὶ δέ τι καὶ πλέον ὑπάρχειν παρ' ὑμῶν οἴομαι· ἐκ γὰρ ὧν αὐτὸς διάκειμαι πρὸς ὑμᾶς, ἀμοιβαίαν εὔνοιαν εἰκότως ἤλπικα. νῦν δὲ καιρὸς εὔκαιρος, ἐμοί τε αἰσθέσθαι, μὴ μάτην πρὸς ὑμᾶς τοσούτου χρόνου τιμήν τε καὶ σπουδὴν κατατεθεῖσθαι· ὑμῖν τε ἀποδοῦναι χάριν, δείξασιν ὅτι ὑπὲρ ὧν ἐτύχετε, οὐκ ἀμνημονεῖτε. ὁρᾶτε δή μοι τὸν υἱόν, ὃν αὐτοὶ ἀνεθρέψατε, ἄρτι τῆς μειρακίων ἡλικίας ἐπιβαίνοντα, καὶ δεόμενον ὥσπερ ἐν χειμῶνι καὶ ζάλῃ, τῶν κυβερνησάντων, μή ποι φερόμενος ὑπ' ἀτελοῦς τῆς τῶν δεόντων ἐμπειρίας, εἰς φαῦλα ἐπιτηδεύματα προσαραχθῇ. γίνεσθε δὴ οὖν αὐτῷ ὑμεῖς ἀνθ' ἑνὸς ἐμοῦ, πατέρες

effugerant, metuque principis in præsens continebatur. Quare dubitabat, ne despecta mox filii ætate arma resumerent: quippe barbaris mos, quamlibet levibus momentis aut causis impelli. His igitur curarum fluctibus æstuans, amicos propinquosque omnes, quotquot aderant convocari jubet. Qui postquam convenerunt, constituto in eorum conspectu adolescente filio, paulumque se è grabato sublevans, hujuscemodi habuit orationem.

Marci Imperatoris concio.

VIII. Dolere vos atque angi cum ita me affectum contemplamini, minime mirandum. Quippe humanum est humanis casibus imgemiscere: multoque magis misericordiam provocant, quæ oculis usurpamus. Cæterum peculiaris vobiscum nostra ratio est. Nam de mei erga vos animi conscientia, mutuam spero à vobis quasi meo jure benevolentiam. Nunc autem illud incidit, cum & mihi sit judicium faciundum, frustrane vobis honorem tamdiu habuerim, studiumque omne meum lubens detulerim: & vobis referenda gratia ostendendum, non esse eorum quæ acceperitis immemores. Videtis filium, quem ipsimet educastis, primas nunc adolescentiæ metas ingredientem, quasique in salo atque in fluctu vitæ, gubernatoribus indigentem: ne rerum imperitia de recto quasi cursu ablatus, malis artibus impingat. Este igitur vos illi pro me uno multi paren-

parentes, excolendo ſcilicet, atque optima ſuggerendo.

Neque enim ut pecuniæ vis tyrannidis luxuriam explere, aut ſtipantia ſatellitum agmina tueri principem poſſunt, niſi illi ipſi quos reges, animum imperanti benevolentiamque accommodent. Quippe ii demum diu tutoque imperant, qui non metum ex crudelitate, ſed amorem ex bonitate civium ſuorum animis inſtillant. Neque enim quos ſervire neceſſitas coegit, ſed quos obtemperare ſua quemque voluntas adegit, ii ſunt in agendo patiendoque à ſuſpicione omni, aſſentationeque vacui: nunquamque imperia detrectant, niſi violenter contumelioſeque ſint habiti. Eſt autem difficile, in maxima licentia moderari ſibi, quaſique frenos imponere cupiditatibus. Quod ſi bene vivendi autores illi fueritis, & quæ nunc coram audit, identidem admonueritis, una opera & ipſum vobis reliquiſque omnibus optimum principem reddetis, & memoriam noſtram demerebimini, quam ſcilicet immortalem hac una ratione poteritis efficere.

IX. Talia dicentem Marcum ita repente animus defecit, ut ſtatim conticeſceret, ac languore nimio ſupinus in lectulum relaberetur. Tanta autem quicunque aderant, miſeratio invaſit, ut ex iis nonnulli præ dolore parum animi compotes clamorem extollerent. Sed ille cum diem u-

πολλοὶ περιέποντές τε, καὶ τὰ ἄριστα συμβουλεύοντες.

Οὔτε γὰρ χρημάτων πλῆθος οὐδὲν αὔταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δορυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα, εἰ μὴ προϋπάρχοι ἡ τῶν ὑπηκόων εὔνοια. μάλιστα δὲ ἐκεῖνοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν, ὅσοι μὴ φόβον ἐξ ὠμότητος, πόθον δὲ τῆς αὐτῶν χρηστότητος, ταῖς τῶν ἀρχομένων ψυχαῖς ἐνέσταξαν. οὐ γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες, ἀλλ' οἱ μετὰ πειθοῦς ὑπακούοντες, ἀνύποπτοι, καὶ ἔξω κολακείας προσποιήτου δρῶντές τε καὶ πάσχοντες διατελοῦσιν, οὐδέποτε ἀφηνιάζουσιν, ἢν μὴ βίᾳ καὶ ὕβρει [1] ἐπὶ τούτῳ ἀχθῶσι. χαλεπὸν δὲ μετρῆσαί τε, καὶ ὅρον ἐπιθεῖναι ἐπιθυμίαις, ὑπηρετούσης ἐξουσίας. τοιαῦτα δὲ συμβουλεύοντες αὐτῷ, καὶ ὧν ἀκούει παρὼν ὑπομιμνήσκοντες, ὑμῖν τε αὐτοῖς καὶ πᾶσιν ἄριστον ἀποδείξετε βασιλέα, τῇ τε ἐμῇ μνήμῃ χαριεῖσθε τὰ μέγιστα, οὕτω τε μόνως ἀΐδιον αὐτὴν ποιῆσαι δυνήσεσθε.

θ'. Τοσαῦτα εἰπόντα τὸν Μάρκον, ἐπιπεσοῦσα λειποθυμία κατεσίγασεν. ὑπὸ δὲ ἀσθενείας καὶ ἀθυμίας αὖθις ὑπτιάζειν. οἶκτος δὲ πάντας ἔλαβε τοὺς παρόντας, ὡς μηδὲ κατασχόντας τινὰς αὐτῶν εἰς οἰμωγὴν ἀναβοῆσαι. ὁ μὲν οὖν νυκτός τε καὶ ἡ-

1. Ἐπὶ τοῦτο. Stephanus ſcil. τὸ ἀφηνιάζειν.

το.

num duntaxat, noctemque supervixisset, fato est functus: sic ut magnum sui desiderium ejus ætatis mortalibus, posteris vero etiam virtutis memoriam reliquerit sempiternam. Postquam vero illius mortem fama vulgavit, incredibilis repente exercitum ipsum, plebemque adeo omnem luctus occupavit. Neque ulli sane Romanæ ditionis mortales fuerunt, qui non ejuscemodi nuncium multis lachrymis exceperint; omnesque velut una voce, alii parentem probum, alii bonum imperatorem, quidam fortissimum ducem, nonnulli etiam continentem & moderatum principem vocitabant. Neq; sane quisquam falsus habebatur.

X. Paucis autem post diebus, celebrato jam funere, visum amicis est adolescentem adducere ad exercitum, ut & milites alloqueretur, & (qui novis imperatoribus mos est) pecuniis elargiendis, velut autoramento quodam, illorum sibi animos adjungeret. Edictum itaque omnibus, ut in campum de more adessent frequentes. Cum itaque processisset Commodus, ac rem divinam fecisset, erectumque ad hoc ipsum mediis castris tribunal conscendisset: paternis amicis, qui multi sanè doctissimique viri aderant, circumstantibus, ad hunc ferme modum verba fecit.

μέρας ἐπιβιώσας μιᾶς, ἀνεπαύσατο, πόθον τε τοῖς καθ' αὐτὸν ἀνθρώποις ἐγκαταλιπὼν, ἀρετῆς ἀΐδιον μνήμην εἰς τὸν ἐσόμενον αἰῶνα. τελευτήσαντος δὲ Μάρκου, ἐπειδὴ διεφοίτησεν ἡ φήμη, πᾶν τε τὸ παρὸν στρατιωτικὸν, καὶ τὸ δημῶδες πλῆθος ὁμοίως πένθει κατείχετο· οὐδέ τις ἦν τῶν ἀνθρώπων τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν, ὃς ἀδακρυτὶ τοιαύτην ἀγγελίαν ἐδέχετο· πάντες δ' ὥσπερ ἐκ μιᾶς φωνῆς, οἱ μὲν πατέρα χρηστὸν, οἱ δ' ἀγαθὸν βασιλέα, γενναῖον δὲ ἕτεροι στρατηγὸν, οἱ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀνεκάλουν. καὶ οὐδεὶς ἐψεύδετο.

ι. Ὀλίγων δὲ διεληλυθυιῶν ἡμερῶν, ἐν ὅσαις περὶ τὴν κηδείαν τοῦ πατρὸς τὸν υἱὸν ἀπησχόλουν, ἔδοξε τοῖς φίλοις προσαγαγεῖν τὸ μειράκιον εἰς τὸ στρατόπεδον, ὡς διαλεχθείη τε τοῖς στρατιώταις, καὶ χρήματα δωρησάμενον, ὡς ἔθος ἐστὶ τοῖς βασιλείαν διαδεχομένοις, μεγαλόφρονι ἐπιδόσει οἰκειώσηται τὸ στράτευμα. παρηγγέλθη τε δὴ πᾶσιν ἐλθεῖν εἰς τὸ εἰωθὸς πεδίον [2] αὐτοὺς ὑποδέχεσθαι. προελθὼν δὲ ὁ Κόμμοδος, τάς τε βασιλείους θυσίας ἐπιτελέσας, καὶ βήματος αὐτῷ εἰς ὕψος ἀρθέντος ἐν μέσῳ τοῦ στρατοπέδου, ἀνελθὼν ἐπ' αὐτὸ, καὶ περιστησάμενος τοὺς πατρῴους φίλους (πολλοὶ δὲ καὶ λόγιοι παρῆσαν αὐτῷ) ἔλεξε τοιάδε.

1. Occupabant, quod verbum Politianus non reddidit.

2. Suadet textus reponendum [αὐτὴν] intelligit enim τὴν ἐπίδοσιν.

Δημηγορία Κομμόδου.

ια'. Κοινὴν εἶναί μοι πρὸς ὑμᾶς τὴν ἐπὶ τοῖς καταλαβοῦσιν ἀλγηδόνα, καὶ μηδέν τι ἧττον ὑμᾶς ἐμοῦ δυσφορεῖν, ἐμαυτὸν ἀκριβῶς πέπεικα. οὐδὲ γὰρ περιόντος μοι τοῦ πατρὸς, πλεονεκτεῖν ὑμῶν ἠξίουν. ἐκεῖνος γὰρ πάντας ὑμᾶς ὡς ἕνα ἠγάπα. ἔχαιρεν οὖν μᾶλλον συστρατιώτην με, ἢ υἱὸν καλῶν. τὴν μὲν γὰρ προσηγορίαν ἡγεῖτο φύσεως, τὴν δ' ἀρετῆς κοινωνίαν. φέρων τε με πολλάκις νήπιον ὄντα, ταῖς ὑμετέραις ἐνεχείριζε πίστεσι. διόπερ καὶ ῥᾷστα πάσης εὐνοίας μεθέξειν πρὸς ὑμῶν ἤλπικα, τῶν μὲν πρεσβυτέρων τροφεῖά μοι ταῦτα ὀφειλόντων, τοὺς δ' ἡλικιώτας εἰκότως ἂν καὶ συμφοιτητὰς τῶν ἐν ὅπλοις ἔργων ἀποκαλοίην. πάντας γὰρ ὑμᾶς ὡς ἕνα ὁ πατὴρ ἐφίλει τε, καὶ πᾶσαν ἀρετὴν ἐπαίδευεν. ἔδωκε δὲ μετ' ἐκεῖνον ἐμὲ βασιλέα ἡ τύχη, οὐκ ἐπείσακτον, ὥσπερ οἱ πρὸ ἐμοῦ προσκτήτῳ σεμνυνόμενοι ἀρχῇ, ἀλλὰ μόνος τε ὑμῖν ἐγὼ ἐν τοῖς βασιλείοις ἀπεκυήθην, καὶ μὴ πειραθέντα με ἰδιωτικῶν σπαργάνων, ἅμα τῷ τῆς γαστρὸς προελθεῖν ἡ βασίλειος ὑπεδέξατο πορφυρίς, ὁμοῦ δέ με εἶδεν ἥλιος ἄνθρωπον καὶ βασιλέα. εἰκότως ἂν οὖν ταῦτα λογιζόμενοι, στέργοιτε οὐ δοθέντα ὑμῖν, ἀλλὰ γεννηθέντα αὐτοκράτορα. ὁ μὲν γὰρ πατὴρ εἰς οὐρανὸν ἀναπτὰς ὀπαδός ἤδη καὶ σύνεδρός ἐστι θεῶν· ἡμῖν δὲ χρὴ μέλειν τῶν ἐν ἀνθρώ-

Commodi concio.

XI. Communem mihi eſſe vobiſcum hujus mœrorem calamitatis, neq; vos aliter quam me ipſum affectos eſſe, planiſſime perſuaſum habeo. Neq; enim ego ſuperſtite parente ipſo meo, ſuperiorem me vobis unquam geſſi. Nam ille ita nos univerſos ut unum aliquem diligebat, lubentiuſque me commilitonem quam filium vocitabat. Quippe hanc naturæ appellationem, illam vero virtutis communicationem exiſtimabat. Quin infantem ſæpe me in ulnis geſtans, vobis dabat in manus, quaſique veſtræ mandabat fidei. Quapropter minime dubito, quin mihi omnem ſitis benevolentiam exhibituri: cum pro alumno me majores natu habere debeant, ipſos autem æquales condiſcipulos armorum jure appellaverim; ſiquidem ita nos univerſos ut unum aliquem pater diligebat, omnique virtutum ſtudio ac bonis artibus curabat inſtituendos. Nunc me poſt illum vobis fortuna principem dedit, non quidem aſciticium, quales ante me fuerunt: neque velut acquiſito imperio gloriantem. Quippe unus ego vobis natus educatuſque in aula: privatiſque intactum cunabulis, ſtatim me ut ex alvo prodieram, Imperatoria purpura ſuſcepit, ſimulque ſol hominem me vidit & principem. Hæc cum animis veſtris reputantes, jure principem colite non datum vobis, ſed natum. Nam pater quidem jam in cœlum evectus, conſors eſt conſeſſorq; deorum.

Nobis autem orbis terrarum gubernacula, rerumq; humanarum cura incumbit. Quæ quos successus, quantasque habituræ sint vires, in vestra manu est. Si enim belli reliquias fortiter deleveritis, & imperii Romani terminos ad Oceanum usq; promoveritis, cum ipsi vobis ingentem gloriam comparabitis, tum communis parentis memoriæ debitam gratiam referetis. Atq; eum quidem exaudire quæ dicimus, & intueri præsentem quæ gerimus, credite. Nos autem felicissimos qui benefactorum nostrorum testem ejuscemodi simus habituri. Quæ igitur ad hanc diem fortissime prosperrimeque gessistis, illius scilicet sapientiæ gubernationique tribuuntur. Quæ autem mecum, hoc est cum juvene Imperatore vestro præclare feceritis, ea sunt vobis ipsis quasi peculiarem cum fidei tum virtutis claritudinem paritura. Quocirca & ætati meæ rebus strenue gerendis autoritatem conciliabitis; & barbara gens initio novi principatus repressa, neq; in præsens contemptu ætatis nostræ se efferet audacius: & suis nunc edocta periculis, metu deinceps perpetuo coërcebitur. His dictis, pecuniam magna copia elargitus, ut sibi animos militum fidos faceret, in aulam reversus est.

XII. Igitur breve sane ad tempus omnia paternis amicis autoribus gerebantur. Qui assiduitate, prudentiq; consilio nullo loco deerant: tantum ei tribuentes laxamenti, quantum satis esse ad tuendam corporis vale-

ποις, καὶ τὰ ἐπὶ γῆς διοικεῖν· κατορθοῦν δὲ αὐτὰ καὶ βεβαιοῦν, ὑμέτερον ἔργον, εἴ τά τε τοῦ πολέμου λείψανα μετὰ πάσης ἀνδρείας ἀπαλείψοιτε, καὶ τὴν Ρωμαίων ἀρχὴν μέχρις Ὠκεανοῦ προσαγάγοιτε. ὑμῖν τε γὰρ ταῦτα δόξαν οἴσει, καὶ τὴν τοῦ κοινοῦ πατρὸς μνήμην, χάρισιν ἀξίαις οὕτως ἀμείψεσθε, ὃν ἐπακούειν τε τῶν λεγομένων, καὶ τὰ πραττόμενα ἐφορᾶν ἡγεῖσθε. εὐδαιμονοίημεν δ' ἂν τὰ δέοντα πράττοντες ὑπὸ τοιούτῳ μάρτυρι. καὶ τὰ μὲν πρότερον ὑμῖν ἀνδρείως κατορθωθέντα, εἰς τὴν ἐκείνου σοφίαν τε καὶ στρατηγίαν, τὴν ἀναφορὰν ἔχει· ὅσα δ' ἂν σὺν ἐμοὶ βασιλεῖ νέῳ προθύμως ἐπιδείξησθε, τούτων τὴν δόξαν πίστεως τε ἀγαθῆς καὶ ἀνδρείας ἀποίσεσθε· τό, τε ἐν ἡμῖν νέον σεμνότητος πληρώσετε, τῇ τῶν ὑμετέρων ἔργων ἀνδραγαθίᾳ, τό, τε βάρβαρον ἐν ἀρχῇ νέας ἡγεμονίας κωλυθὲν, οὔτε εἰς τὸ παρὸν καταθαρσήσει, τῆς ἡλικίας καταφρονῆσαν, τά τε μέλλοντα φοβήσεται, δέει τῶν πεπραγμένων. Τοσαῦτα ὁ Κόμμοδος εἰπὼν, καὶ μεγαλόφροσι δωρεαῖς χρημάτων οἰκειωσάμενος τὸ στρατιωτικὸν, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.

ιβʹ. Ολίγου μὲν οὖν τινος χρόνου, πάντα ἐπράττετο τῇ γνώμῃ τῶν πατρῴων φίλων· οἳ πανημέριοι συνῆσαν αὐτῷ, τὰ βέλτιστα συμβουλεύοντες, καὶ τοσοῦτον ἐνδιδόντες χρόνον, ὅσον ἐνόμιζον αὐτάρκη πρὸς

σώφρονα τοῦ σώματος ἐπιμέλειαν. παρεισδύντες δέ τινες τῶν ἐπὶ τῆς αὐλῆς οἰκετῶν, διαφθείρειν ἐπειρῶντο νέον ἦθος βασιλέως, ὅσοι τε κόλακες τραπέζης καὶ τὸ εὔδαιμον γαστρὶ, καὶ τοῖς αἰσχίστοις μετροῦσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι, τήν τε τῶν ἐπιτηδείων δαψίλειαν καταριθμοῦντες· διαβάλλοντές τε πᾶσαν τὴν ἐπὶ ταῖς ὄχθαις τοῦ Ἴστρου ὥραν, μήτε ὀπώρας εὔφορον, κρυεράν τε ἀεὶ, καὶ συννεφῆ. οὐ παύσῃ δὲ ἔλεγον, ὦ δέσποτα, πηγνύμενόν τε καὶ ὀρυττόμενον πίνων ὕδωρ; ἄλλοι δὲ ἀπολαύσουσι πηγῶν τε θερμῶν, καὶ ψυχροῦ νάματος, ἀτμίδων τε καὶ ἀέρων ὧν Ἰταλία μόνη εὔφορος; τοιαῦτα δή τινα τῷ μειρακίῳ ὑποτιθέμενοι, ἤγειρον αὐτοῦ τὰς ὀρέξεις εἰς τὴν ἡδονῶν ἐπιθυμίαν.

ιγ΄. Αἰφνιδίως δὲ καλέσας τοὺς φίλους, ποθεῖν ἔλεγε τὴν πατρίδα. ὁμολογεῖν δὲ τὰς αἰτίας τῆς αἰφνιδίου ὁρμῆς αἰδούμενος, δεδιέναι προσεποιεῖτο, μήτις ἐκεῖσε προκαταλάβοι τὴν βασίλειον ἑστίαν τῶν εὐπατριδῶν πλουσίων. εἶθ' ὥσπερ ἐξ ὀχυρᾶς ἀκροπόλεως, δύναμιν καὶ περιβολὴν συγκροτήσας, ἐπιθῆται τῇ ἀρχῇ· αὐτάρκης δὲ ὁ δῆμος χορηγῆσαι πλῆθος ἐπιλέκτων νεανιῶν.

ιδ΄. Τοιαῦτά τινα προφασιζομένου τοῦ μειρακίου, οἱ μὲν ἄλλοι συνεστάλησάν τε τὴν ψυχὴν, καὶ σκυθρωποὺς

tudinem arbitrabantur. Paulatim deinceps irrepſere nonnulli ex aulico famulitio, qui ſibi ad corrumpendam juvenis Imperatoris indolem nihil facerent reliqui. Quippe menſarii adulatores, qui ventre atque obſcœnis voluptatibus felicitatem metiebantur, idemtidem illum urbis deliciarum admonebant: & nunc quæ illic viſu audituque jucunda forent commemorabant, nunc rerum omnium copiam atque affluentiam ferebant laudibus. Ad hæc ripas Hiſtri, ut omni tempore incommodas, vituperabant; quæ neque pomiferos haberent frutices, & perpetuis rigoribus nubibuſque obtinerentur. Nunquamne Imperator, aiebant, concretam gelu atque effoſſam potare aquam deſines? Alii calidis fontibus rivorumque fluentium frigore, auriſque & cœlo illo fruentur Italiæ peculiari? Tali ſcilicet illecebrarum mentione, facile adoleſcentis animum voluptatum cupidinibus incenderunt.

XIII. Itaque ſtatim convocatis amicis, teneri ſe patriæ deſiderio non diſſimulavit: cauſas tamen tam repentinæ mutationis fateri veritus, ſolicitum ſe aiebat eſſe, nequis opulens ex nobilitate domum occuparet principis. Dein collectis viribus quaſi ex munitiſſima arce ſummam ſibi rerum vindicaret, poſſe ex populo ſatis magnam vim delectorum juvenum conflari.

XIV. Talia cauſante illo, reliquis metu defixis, terramque tacito vultu mœſtoque intuentibus,

tibus, surgens Pompeianus, qui & ætate reliquos anteibat, & Commodi sororem natu maximam in matrimonium habebat: Teneri te, inquit, ô fili & Domine, patriæ desiderio minime mirandum. Quippe eadem nos quoque rerum domesticarum cupidò solicitat: sed ei tamen resistimus, quoniam priores partes agunt, magisque incumbunt nobis, quæ hic expedienda supersunt. Nam illis quidem vel in posterum diutius perfruèris. Roma autem illic est, ubi Imperator est. Cæterum, bellum relinquere inchoatum præterquam quod indecorum videtur, etiam periculosum est. Quippe audaciam barbaris injicimus: neque enim remeandi cupiditate decessisse nos, sed aufugisse metu perculsos arbitrabuntur. Tibi autem quam fuerit pulchrum, devictis hostibus, atque imperii finibus ad Oceanum usque propagatis, redire in urbem triumphanti, vinctosque & captivos præteragenti reges, satrapasque barbaros. His artibus, prioribus seculis Romani homines, magni atque illustres evaserunt. Nihil est autem quod vereare, ne quà illic res tuæ periclitentur. Nam & optimus quisque senator tecum hic est, & exercitus universus tuum coram propugnat imperium. Quin ærarium quoque principalis pecuniæ nobiscum est omne. Ad hæc, patris tui memoria æternam tibi apud potestates quaslibet fidem atque benevolentiam roboravit.

τὴν ὄψιν εἰς γῆν ἔνευε. Πομπηιανὸς δέ, ὃς πρεσβύτατός τε ἦν ἁπάντων, καὶ κατ' ἐπιγαμίαν προσήκων αὐτῷ (συνῴκει γὰρ τῇ πρεσβυτάτῃ τῶν ἀδελφῶν τοῦ Κομμόδου) ποθεῖν μέν σε ἔφη, τέκνον καὶ δέσποτα, τὴν πατρίδα, εἰκός· καὶ γὰρ αὐτοὶ τῶν οἴκοι ὁμοίᾳ ἐπιθυμίᾳ ἑαλώκαμεν. ἀλλὰ τὰ ἐνταῦθα προυργιαίτερα ὄντα, καὶ μᾶλλον ἐπείγοντα, ἀπέχει τὴν ἐπιθυμίαν. τῶν μὲν γὰρ ἐκεῖσε, καὶ ὕστερον ἐπὶ πλεῖστον αἰῶνα ἀπολαύσεις, ἐκεῖ τε ἡ Ῥώμη, ὅπου ποτ' ἂν ὁ βασιλεὺς ᾖ. τὸν δὲ πόλεμον ἀτελῆ καταλιπεῖν, μετὰ τοῦ ἀπρεποῦς, καὶ ἐπισφαλές. θάρσος γὰρ ἐμβαλοῦμεν τοῖς βαρβάροις, οὐκ ἐπανόδου πόθον, ἀλλὰ φυγὴν καὶ δέος ἡμῶν καταγνοῦσι. καλὸν δέ σοι χειρωσαμένῳ πάντας αὐτοὺς, καὶ τὴν ὑπὸ τῇ ἄρκτῳ ἀρχὴν ὠκεανῷ ὁρίσαντα, ἐπανελθεῖν οἴκαδε, θριαμβεύοντί τε καὶ δεσμίους ἀπάγοντι καὶ αἰχμαλώτους βασιλεῖς τε καὶ σατράπας βαρβάρους. τούτοις γὰρ καὶ οἱ πρὸ σοῦ Ῥωμαῖοι μεγάλοι τε καὶ ἔνδοξοι γεγόνασι. δεδιέναι δέ σε οὐ χρὴ, μή τις ἐκεῖ τοῖς πράγμασιν ἐπιθῆται. οἵτε γὰρ ἄριστοι τῆς βουλῆς, ἐνταῦθα σὺν σοὶ, ἥτε στρατιωτικὴ δύναμις, παροῦσα πᾶσα, τῆς σῆς ἀρχῆς προασπίζει· ταμεῖά τε χρημάτων βασιλικῶν ἐνταῦθα πάντα. ἥτε τοῦ πατρὸς μνήμη αἰώνιόν σοι πίστιν καὶ εὔνοιαν παρὰ τῶν ἀρχόντων ἐβεβαίωσε.

ιε'. Τοιαῦτά τινα εἰς προτροπὴν, καὶ τὴν πρὸς τὰ κρείττονα ὁρμὴν ὁ Πομπηϊανὸς εἰπὼν, διέτρεψε πρὸς ὀλίγον τὸ μειράκιον· αἰδεσθεὶς γὰρ ὁ Κόμμοδος τὰ λεχθέντα, οὐδέν τι νέος τε ὢν εὐλόγως ἀποκρίνασθαι, τοὺς φίλους ἀπεπέμψατο, φήσας ἀκριβέστερον κατ' αὐτὸν ἐπισκέψασθαι τὸ πρακτέον. ἐγκειμένων δὲ τῶν περὶ αὐτὸν θεραπόντων, οὐκέτι μὲν τοῖς φίλοις οὐδὲν ἐκοινώσατο. ἐκπέμψας δὲ γράμματα, καὶ διανείμας, οἷς ἐδοκίμασε, τῆς ὄχθης τοῦ Ἴστρου τὴν πρόνοιαν, προστάξας τε αὐτοῖς ἀνέχειν τὰς τῶν βαρβάρων ἐπιδρομὰς, ἐπαγγέλλει τὴν ἔξοδον. οἱ μὲν οὖν διῴκουν τὰ ἐγκεχειρισμένα, οἳ καὶ οὐ πολλῷ χρόνῳ πλείστους τῶν βαρβάρων ἐχειρώσαντο· τοὺς δὲ ἐπὶ μεγάλαις συντάξεσιν, ἐς φιλίαν ἐπηγάγοντο, ῥᾷστα πείσαντες. φύσει γὰρ τὸ βάρβαρον φιλοχρήματον. καὶ κινδύνων καταφρονήσαντες, ἢ δι' ἐπιδρομῆς καὶ ἐφόδου τὸ χρειῶδες πρὸς τὸν βίον πορίζονται, ἢ μεγάλων μισθῶν τὴν εἰρήνην ἀντικαταλλάσσονται· ἅπερ ὁ Κόμμοδος εἰδὼς, καὶ τὸ ἀμέριμνον ὠνούμενος, ἀφειδῶς τε ἔχων χρημάτων, πάντα ἐδίδου τὰ αἰτούμενα.

ιϛ'. Τῆς δὲ ἐξόδου διαγγελθείσης, κίνησις δὴ μεγίστη καταλαμβάνει τὸ στρατόπεδον. καὶ πάντες αὐτοῦ συναπελθεῖν ἤθελον, ὡς ἀπαλλαγεῖεν μὲν τῆς ἐν τῇ πολεμίᾳ διατριβῆς, ἀπολαύσειαν δὲ τῆς ἐν Ῥώμῃ τρυφῆς. ἐπειδὴ δὲ διεφοίτησεν ἡ φήμη, ἀγγε-

XV. Cum ad hunc modum potiora suadens Pompeianus locutus esset, paulum modo in præsens conatus adolescentis repressit: qui reveritus senis dicta, cum nihil haberet quod saltem honestum specie responderet, consilium dimisit, diligentius affirmans consideraturum. Dein vero ministris illius magis magisque instantibus, nihil jam ad amicos retulit: sed datis Romam literis, ac præpositis quos visum esset tuendæ Histri ripæ, & barbarorum insultibus coërcendis, profectionem continuè edicit. Illi igitur demandata sibi munia obeuntes, haud ita longo tempore multos armis barbaros subegerunt, quosdam autem ex iis magnis præmiis in amicitiam sibi adjunxerunt. Quod quidem haud difficile factu fuit: quippe barbari suapte natura pecuniæ avidi, periculorum despicientes, aut incursibus populationibusque victum parant, aut proposita mercede venalem pacem habent. Quod intelligens Commodus, ut pecunia qua maxime abundabat, securitatem redimeret, nihil videlicet petentibus denegabat.

XVI. Ubi autem dedita profectionis fama per exercitum est, ingens repente totis castris motus extitit, nullo non redire Romam cupiente, relictoque hostili solo urbanas affectante delicias. Postea vero quam fama ac nunciis vulgatum est, reverti in urbem prin-

cipem,

cipem, incredibilis universam plebem lætitia pervagatur, spem sibi unoquoque optimam de juvenis imperatoris præsentia proponente, credentibusque universis paternis eum vestigiis perrecturum. Sed ille festinato iter faciens, & juvenili quodam ardore omneis in medio urbes curriculo pertransiens, regioque cultu, lætisque populorum celebritatibus exceptus, gratus nimirum omnibus atque optatus adveniebat.

XVII. Sed ubi Romam appropinquavit, Senatus statim universus, populusque Rom. magno pro se quisque antevertendi studio effusi laureatique, ac flores omnifariam, quos dabat anni tempus, conferentes, quam quisque ab urbe longissime poterat, occurrebant visuri principem ætate atque nobilitate conspicuum. Quippe amabant illum, & quidem verissimis affectibus, natum apud ipsos, educatumque: tertioque jam gradu imperium, nobilitatemque Romanam complectentem. Nam paternum ei genus à primoribus Senatorii ordinis, mater autem Faustina, principis uxor, Antonini Pii filia, Hadriani etiam per matrem neptis, seriem ipsam generis ad Trajanum proavum referebat.

XVIII. Hoc editus genere Commodus est, cui quidem præter ætatis florem, etiam for-

λοίτε ἦκον κηρύττοντες τὴν τοῦ βασιλέως ἄφιξιν, ὑπερήσθη τε ὁ Ῥωμαίων δῆμος, καὶ χρηστὰς εἶχεν ἐλπίδας, νέου αὐτοκράτορος ἐπιδημίᾳ, [1] πατρῴζειν τὸ μειράκιον ἡγούμενοι. ἀνύσας δὲ τὴν ὁδοιποείαν ὁ Κόμμοδος μετὰ νεανικῆς σπουδῆς, καὶ διαδραμὼν τὰς ἐν μέσῳ πόλεις, ὑποδεχθείς τε πανταχοῦ βασιλικῶς, καὶ δήμοις ἑορτάζουσιν ἐπιφανείς, ἀσπαστός τε καὶ ποθεινὸς πᾶσιν ὤφθη.

ιζ΄. Ὡς δὲ πλησίον ἐγένετο τῆς Ῥώμης, πᾶσά τε ἡ σύγκλητος βουλή, καὶ πανδημεί, ὅσοι τὴν Ῥώμην κατῴκουν ἄνθρωποι, μὴ κατασχόντες αὐτῶν, ἀλλ᾽ ἕκαστος φθάσαι θέλων, δαφνηφόροι τε καὶ πάντα ἐπιφερόμενοι ἄνθη τότε ἀκμάζοντα, ὡς ἕκαστος οἷός τε ἦν, πόρρω τῆς πόλεως ὑπήντων, θεασόμενοι τὸν νέον, καὶ εὐγενῆ βασιλέα. ἐπόθουν γὰρ αὐτὸν ἀληθεῖ ψυχῆς διαθέσει, ἅτε παρ᾽ αὐτοῖς γεννηθέντα τε καὶ τραφέντα, καὶ ἄνωθεν ἐκ τριγονίας βασιλέα τε, καὶ εὐπατρίδην ὄντα Ῥωμαίων. τὸ μὲν γὰρ πρὸς πατρὸς αὐτῷ γένος, ἐκ τῶν τῆς συγκλήτου βουλῆς ἐπισήμων ἦν. Φαυστῖνα δὲ ἡ μήτηρ, βασίλισσα γεγένητο, θυγάτηρ τε οὖσα Ἀντωνίνου τοῦ Εὐσεβοῦς ἐπικληθέντος, καὶ Ἀδριανοῦ ἔκγονος κατὰ θηλυγονίαν. ἀνήνεγκε δὲ τὸ γένος αὐτῇ ἐπὶ Τραϊανὸν πρόπαππον.

ιη΄. Γένος μὲν οὖν ὁ Κόμμοδος οὕτως εἶχε. πρὸς δὲ τῇ τῆς ἡλικίας ἀκμῇ, καὶ τὴν ὄψιν ἦν ἀξιοθέ-

---

1. Latine dicimus, *patrissare*.

ατος, σώματός τε συμμετρίᾳ καὶ κάλλει προσώπου μετ' ἀνδρίας· ὀφθαλμῶν τε γὰρ ἀρθμίαι, καὶ πυρώδεις βολαί, [1] κόμη τε φύσει ξανθὴ καὶ οὔλη, ὡς εἴ ποτε φοιτῴη δι' ἡλίου, τοσοῦτον ἐκλάμπειν αὐτῷ πυροειδές τι, ὡς τοὺς μὲν οἴεσθαι ῥίνημα χρυσοῦ προϊόντι ἐπιπάσσεσθαι. τοὺς δὲ ἐκθειάζειν, λέγοντας αἴγλην τινὰ οὐράνιον περὶ τὴν κεφαλὴν συγγεγενῆσθαι αὐτῷ. ἴουλοί τε αὐτοῦ κατιόντες, ταῖς παρειαῖς ἐπήνθουν. τοιοῦτον δὴ θεασάμενοι τὸν βασιλέα οἱ Ῥωμαῖοι, εὐφημίαις δὲ παντοδαπαῖς, καὶ στεφάνων καὶ ἀνθέων βολαῖς ὑπεδέχοντο.

ΙΘʹ. Ὡς δ' εἰς τὴν Ῥώμην εἰσήλασεν, εἴς τε τοῦ Διὸς τὸ τέμενος, καὶ τοὺς ἄλλους νεὼς ἀνελθών, εὐθὺς τῇ τε συγκλήτῳ, καὶ τοῖς ἐν Ῥώμῃ καταλειφθεῖσι στρατιώταις χαριστήρια ὁμολογήσας τῆς φυλαχθείσης πίστεως, εἰς τὴν βασίλειον αὐλὴν ἀνεχώρησε. χρόνου μὲν οὖν τινος ὀλίγων ἐτῶν, τιμὴν πᾶσαν ἀπένεμε τοῖς πατρῴοις φίλοις, πάντα τε ἔπραττεν ἐκείνοις συμβούλοις χρώμενος.

[2] Ἐπεὶ δὲ τὴν πρόνοιαν ἐνεχείρισε τῆς ἀρχῆς ἑαυτοῦ, ἐπιστήσας τοῖς στρατοπέδοις Περέννιον, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, στρατιωτικὸν δ' εἶναι δοκοῦντα, διὸ καὶ μάλιστα αὐτὸν ἔπαρχον ἐποίησε τῶν στρατοπέδων. Τῇ τοῦ μειρακίου ἀπο-

mam dignitatis suffragabatur congruens corporis modus, pulchra virilisque facies, tranquillæ faces oculis atque micantes, flava & crispa cæsaries, ut in sole ambulanti velut igne quodam rutilaret, sic ut euntem quidem scobe aurea putarent conspergi: quidam etiam pro argumento divinitatis acciperent, ac radios esse illos circa verticem genitivos opinarentur. Ad hæc lanugo malis proserpebat, easque quasi floribus convestiebat. Talem igitur imperatorem faustis ominibus acclamationibusque, & coronarum florumque sparsionibus exceperunt.

XIX. Sed postquam urbem ingressus est, Jovisque primum, dein cæterorum deorum templa consalutavit, gratiasque senatui universo, & prætorianis militibus egit, servatæ sibi fidei, in aulam Palatinam se recepit. Pauculis igitur annis nihil non honoris paternis amicis exhibebat, omnibusque eos negotiis in consilio habebat.

Cura dein totius imperii aliis demandata, Perennium Italicum hominem, militaris disciplinæ peritissimum, prætorianis præfecit Is adolescentis ætate abutens, deliciis illum ganeisque corrumpi sine-

1. Imo, asserente Lampridio, capillo erat fucato & auri ramentis illuminato.

2. Exp. postquam imperii curam sibi commisit. Nam hic nimis sibi indulsit Politianus.

bat:

bat: curaque omni, laboribusque susceptis, totum plane imperium administrabat. Erat in homine inexhausta divitiarum sitis, sic ut nihili quæ acquisierat pendens, novis semper lucris insatiablis inhiaret. Hic & paternos Commodi amicos calumniis premere, & locupletissimum quemque, nobilissimumque in suspicionem adducere instituit, scilicet ut perterrefacto adolescente, atque illis supplicio affectis, causam potestatemque ipse haberet in eorum bona & fortunas invadendi.

XX. Cæterum aliquandiu cum patris memoria, tum amicorum reverentia continuit adolescentem. Dein velut maligna quædam atque invida fortuna, rectum adhuc moderatumque illius ingenium subvertit. Nam ita res accidit. Lucilla erat Commodo maxima natu soror: ea prius Lucilla Vero Imperatori nupserat, quem consortem sibi imperii Marcus asciverat: locataque in matrimonium sorore, firmissimo affinitatis vinculo adstrinxerat. Sed postquam Lucius fato functus est, manentibus adhuc Lucillæ prin-

χρώμενος ἡλικίᾳ ἐκείνου, [1] εἴασεν αὐτὸν τρυφαῖς σχολάζοντα καὶ κραιπάλαις, τῆς τε φροντίδος καὶ τῶν βασιλείων καμάτων, ἀπήλλαξεν αὐτόν· καὶ πᾶσαν τὴν διοίκησιν τῆς ἀρχῆς αὐτὸς ἀνεδέξατο, πλούτου τε ἀκρατήτῳ ἐπιθυμίᾳ, καὶ τῶν μὲν προσκτωμένων ἀεὶ καταφρονήσει, τῶν δ᾽ οὔπω παρόντων ἀπλήστῳ ἀντιποιήσει· τούς τε πατρῴους φίλους πρῶτος διαβάλλειν ἤρξατο, καὶ ὅσοι πλούσιοί τε ἦσαν καὶ εὐγενεῖς, τούτους εἰς ὑποψίαν ἄγων, τὸ μειράκιον ἐφόβει, ὡς ἂν αὐτοὺς διαχειρισάμενος, ἀφορμὴν αὐτῷ παράσχοι καὶ ἐξουσίαν ἁρπάζειν τὰ ἐκείνων κτήματα.

κ'. Μέχρι μὲν οὖν τινος, ἐπεῖχε τὸν νεανίσκον ἥτε τοῦ πατρὸς μνήμη, καὶ ἡ πρὸς τοὺς φίλους αἰδώς. ἀλλὰ γάρ, ὥσπερ τινος πονηρᾶς καὶ βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὴν · ἔτι σώφρονα καὶ κόσμιον, συνέβη τι τοιοῦτο. Λουκίλλα ἦν τῷ Κομμόδῳ πρεσβυτάτη πάντων ἀδελφή· αὕτη πρότερον Λουκίῳ Βήρῳ αὐτοκράτορι συνῴκει. ὃν κοινωνὸν τῆς βασιλείας Μάρκος ποιησάμενος, ἐκδοὺς τε αὐτῷ τὴν θυγατέρα, δεσμὸν εὐνοίας ὀχυρώτατον τὴν πρὸς αὐτὸν ἐπιγαμίαν ἐποιήσατο. ἀλλ᾽ ἐπεὶ συνέβη τὸν Λούκιον τελευτῆσαι, μενόν-

1. Sic Lampr. *persuasit Commodo, ut ipse deliciis vacaret, idem vero Perennius curis incumberet.* Quem tamen apud Zonaram alio longe charactere commendatum habemus. Περέννιος ὁ τοῦ δορυφορικοῦ ἄρχων, τοῦ Κομμόδου ἁρματηλασίαις, καὶ ἀσελγείαις ἐσχολακότος, ἠναγκάζετο τά τε στρατιωτικὰ καὶ τὰ τῆς κοινῆς διοικεῖν, &c. cui subinde subtexit διαγαγόντα τὴν ἀρχὴν ἀδωροδοκητότατά τε καὶ σωφρονέστατα.

2. Deesse videtur φύσιν, aut hujusmodi aliquid.

των τῇ Λουκίλλῃ τῆς βασιλείας συμβόλων, Πομπηϊανῷ ὁ πατὴρ αὐτὴν ἐξέδοτο. οὐδὲν ἧττον μέντοι καὶ ὁ Κόμμοδος ἐφύλαττε τιμὰς τῇ ἀδελφῇ. καὶ γὰρ ἐπὶ τοῦ βασιλείου θρόνου καθῆστο ἐν τοῖς θεάτροις, καὶ τὸ [1] πῦρ προεπόμπευεν αὐτῆς. ἐπεὶ δὲ ὁ Κόμμοδος γυναῖκα ἠγάγετο Κρισπῖναν ὄνομα, ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικί, δυσφόρως τοῦτο φέρουσα ἡ Λουκίλλα, καὶ τὴν ἐκείνης τιμὴν ἑαυτῆς ὕβριν νομίζουσα, [2] τὸν μὲν ἑαυτῆς ἄνδρα Πομπηϊανὸν εἰδυῖα ἀγαπῶντα τὸν Κόμμοδον, οὐδὲν αὐτῷ περὶ ἐπιθέσεως τῆς ἀρχῆς ἀνακοινοῦται. Κοδράτου δὲ νεανίσκου εὐγενοῦς τινος καὶ πλουσίου, ἐφ' οὗ καὶ λανθανούσῃ συνουσίᾳ διεβάλλετο, πεῖραν τῆς γνώμης λαμβάνουσα, περί τε τῆς [3] συνεδρίας χαλεπῶς ἀποδυρομένη, κατ' ὀλίγον ἀνέπεισε τὸν νεανίσκον, ὀλέθρια βουλεύσασθαι ἑαυτῷ τε καὶ πάσῃ τῇ συγκλήτῳ. συνωμότας γὰρ ἐκεῖνος τῆς βουλῆς λαβών τινας τῶν ἐξεχόντων ἀναπείθει

cipatus insignibus, Pompeiano eam pater despondit: nihilo tamen secius pristinum illi honorem Commodus reliquit usurpandum. Nam & sella imperatoria sessitare in theatro, & ignem de more præferre patiebatur. Postea vero quam Commodus uxorem duxit Crispinam, ac necesse fuit principis uxori primo loco cedere, iniquo scilicet hoc animo Lucilla ferens, atque illius honorem in suam contumeliam vertens, cum sciret à viro suo Pompeiano Commodum diligi, minime aula est quippiam ad ipsum super occupando imperio referre: sed animum Quadrati, nobilissimi locupletissimique adolescentis periclitata, cum quo etiam stupri consuetudinem habere existimabatur, gravissimeque apud eum de accepta injuria conquesta, paulatim adolescentem eo pertulit, ut in semet universumq; senatum, perniciosissime consuleret. Quippe inter cæteros senatorii ordinis, qui secum in id facinus

---

1. Prælatus ignis olim habitus est Imperatoriæ majestatis insigne: quod Eurip. Scholiastes in Phœnissis videtur annotasse. Ἐχρῶντο γὰρ inquit, καθὼς τὸ παλαιὸν ἐπὶ τῶν πολεμικῶν τοῖς πυρφόροις. Οὗτοι δὲ ἦσαν ἱεροὶ Ἄρεως ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφιέντες εἰς τὸ μεταίχμιον, *acierum sc. interstitium*, ἀνεχώρουν ἀκίνδυνοι. ἐσώζοντο δὲ πυρφόροι εἰ καὶ πάντες ἀπώλοντο. Unde natum est proverbium apud Zenobium, cent. 5. Prov. 34. ἐπὶ τῶν πανωλεθρίᾳ πεσόντων, οὐδὲ πυρφόρος ἐσώθη. Prolixius hæc disserui, quoniam non temere alibi quam in Herodiano occurrit hic mos. Libet etiam subtexere hujus symboli rationes ex Pierii Hieroglyphicis. 1. Divinitatem imperii regalis. 2. Fastigii claritatem. 3. Efficaciam seu ἐνέργειαν. 4. Puritatem.

2. Crudelis vita Commodi Quadratum & Lucillam ad ejus interfectionem consilia inire non sine Præfecti prætorio Tarrutini Paterni consilio. Datum est autem negotium peragendæ necis Claudio Pompeiano propinquo, &c. Lampr.

3. Mallet Stephanus προεδρίας. Sed & [συνεδρίας] retineri potest: indignatur enim Lucilla se in secundam sedem detrudi, cui olim prima cesserat.

con-

conspirarent, etiam adolescentem quendam Quintianum nomine, prompti atque audacis animi, sibi adjunxit: persuasitque uti pugionem in sinu celans, tempus locumque caperet, factoque repente impetu Commodum occideret: reliqua se pecuniis largiendis curaturum.

XXI. Ille in aditu amphitheatri subsistens (quippe obscuro loco, facile se occultum sperabat fore) nudato confestim pugione, ac magna voce proclamans, Hunc tibi senatus mittit. Dum loquitur nudumque ostentat pugionem, comprehensus à militibus, pœnas amentiæ dedit: suoque indicio autor à se cavendi fuit, aperto magis quam impleto consilio.

XXII. Hæc igitur prima, maximaque odii causa, adolescenti adversus Senatum extitit. Ita namque animum verba illa sauciarant, ut omnes hostium loco haberet: semperque ejus memoriæ vox illa irruentis in se juvenis inhæreret.

XXIII. Neque vero tantam hanc occasionem Perennius omisit: sed ei persuasit, ut præcipuum quemque succideret, neque eminere quem-

νεανίσκον τινὰ, καὶ αὐτὸν ὄντα τῆς βουλῆς, Κυϊντιανὸν ὄνομα, περιπετῆ δὲ καὶ θρασὺν, λαβόντα ἐγχειρίδιον ὑπὸ κόλπου, καιρὸν φυλάξαντα καὶ τόπον ἐπιτήδειον, ἐμπεσεῖν τῷ Κομμόδῳ, καὶ φονεῦσαι· τὰ λοιπὰ φήσας αὐτὸς καθορθώσασθαι χρημάτων ἐπιδόσει.

κα΄. [1] Ὁ δ᾽ ὑποστὰς ἐν τῇ τοῦ ἀμφιθεάτρου εἰσόδῳ (ζοφώδης δὲ αὕτη, καὶ λήσεσθαι ἤλπισε) γυμνώσας τὸ ξιφίδιον, ἐπελθών τε αἰφνιδίως τῷ Κομμόδῳ, καὶ μεγάλῃ φωνῇ προειπὼν, ὑπὸ τῆς συγκλήτου αὐτῷ ἐπιπεπέμφθαι· τρῶσαι μὴ φθάσας, ἀλλ᾽ ἐν ᾧ περὶ τὴν τῶν ῥημάτων προφορὰν ἠσχολεῖτο, καὶ τὴν δεῖξιν τοῦ ξίφους, συλληφθεὶς ὑπὸ τῶν σωματοφυλάκων τοῦ βασιλέως, δίκην ἀνοίας ὑπέσχεν. ὃς προεῖπε τὸ βεβουλευμένον μᾶλλον, ἢ ἔδρασε· παρέσχε τε αὐτῷ μὲν προγνωσθέντι ἁλῶναι, ἐκείνῳ δὲ προμαθόντι, φυλάξασθαι.

κβ΄. Αὕτη μὲν δὴ πρώτη καὶ μεγίστη αἰτία τῷ μειρακίῳ μίσους ἐγένετο πρὸς τὴν σύγκλητον βουλήν· ἔτρωσέ τε αὐτοῦ τὴν ψυχὴν τὰ λεχθέντα, καὶ κοινοὺς ἐχθροὺς πάντας ἡγεῖτο, μεμνημένος ἀεὶ τῆς τοῦ ἐπιδραμόντος φωνῆς.

κγ΄. Ὑπῆρξε δὲ καὶ τῷ Περεννίῳ πρόφασίς τε, καὶ ὑπόθεσις αὐτάρκης. ἐκκόπτειν γὰρ ἀεὶ καὶ κολούειν αὐτῷ συνεβούλευε τοὺς ὑπερέχοντας τῶν ἀρ-

1. Quem Herodianus Quintianum dicit, Xiphilinus & Zonaras Pompeianum dicunt. Verum par est suspicari, corruptos esse in hac parte Dionis codices, præsertim cum apud ipsum Zonaram legimus omnes fere à Commodo interfectos, τοὺς ποτὲ ἀριστεύσαντας ἀπὸ Πομπηϊανοῦ καὶ Βικτωρίνου καὶ Περτίνακος. Qui tamen Zonaras, nescio qua factum incuria, paragrapha proxime sequente, id omne Pompeiano authore designatum contendit, quod Quintiano noster tribuit.

πάζων τὰς οὐσίας, ῥᾷστα πλουσιώτατος ἐγένετο τῶν καθ' αὐτὸν ἀνθρώπων. γινομένης δὲ ἐξετάσεως διὰ τοῦ Περεννίου ἀκριβεστέρας, τήν τε ἀδελφὴν ὁ Κόμμοδος διεχρήσατο, καὶ πάντας ἀφειδῶς, τούς τε ὄντας ἐν τῇ συνωμοσίᾳ, καὶ τοὺς ἐφ' οἵαις δήποτε διαβληθέντας ὑποψίαις.

κδ'. Ὁ δὲ Περέννιος ἀποσκευασάμενος πάντας, οὓς καὶ ὁ Κόμμοδος ᾐδεῖτο, καὶ ὅσοι πατρῴαν αὐτῷ εὔνοιαν ἐπεδείκνυντο, τῆς τε ἐκείνου σωτηρείας προμήθειαν εἶχον, ποιησάμενός τε αὐτὸν [1] ὑπ' ἐξουσίαν ἐπεβούλευε τῇ ἀρχῇ. καὶ τοῖς υἱοῖς ἑαυτοῦ, νεανίαις οὖσιν ἐγχειρίσαι πείθει τὸν Κόμμοδον πρόνοιαν τῶν Ἰλλυρικῶν στρατευμάτων· αὐτός τε πλεῖστα χρήματα ἤθροιζεν, εἰς τὸ ἐπιδόσεσι λαμπραῖς ἀποστῆσαι τὸ στρατιωτικόν. οἱ δὲ παῖδες αὐτοῦ λανθάνοντες, συνεκρότουν δύναμιν, ὡς αὐτοῦ Περεννίου κατεργασαμένου τὸν Κόμμοδον ἐπιθεῖντο τῇ ἀρχῇ.

κε'. Ἐγνώσθη δ' ἡ ἐπιβουλὴ παραδόξῳ τρόπῳ. ἱερὸν ἀγῶνα τελοῦσι Ῥωμαῖοι Διῒ Καπετωλίῳ, θεάματά τε [2] καὶ ἰσχύος πάντα ἀθροίζεται, ὡς εἰς βασιλίδα πόλιν πανηγυρίζουσι. θεατὴς δὲ καὶ ἀθλοθέτης σὺν τοῖς λοιποῖς ἱερεῦσιν, οὓς ἐκ περιόδων χρόνου ἡ τάξις καλεῖ, ὁ βασιλεὺς γίγνεται. κα-

piam pateretur: quorum ipse in bona impetum faciens, facile omnium ejus ætatis hominum locupletissimus evasit. Quæstiones autem Perennio diligenter exercente, soror ipsa Commodi, conjuratiq; omnes, cæterique præterea quantulacunque suspicione attacti, supplicio affecti sunt.

XXIV. Igitur Perennius sublatis è medio, quos imperator verebatur, quique illum paterno quodam affectu complectebantur, atque ipse illius tuendæ salutis cura suscepta, nihilq; non autoritatis adeptus, imperium jam ipsum animo invaserat: persuasoque Commodo, ut suos liberos adolescentes adhuc, Illyricis præficeret exercitibus, ipse pecuniæ vim ingentem contrahebat, ut scilicet prætorianos ab ipso amplissimis largitionibus abalienaret. Filiique item ejus clanculum copias colligebant eo consilio, ut cum primum Perennius Commodum occidisset, ipsi principatum arriperent.

XXV. Proditæ autem sunt insidiæ incredibili quodam modo. Ludos Romani Jovi Capitolino faciunt, tanta hominum confluente multitudine, quantam par est confluere ad tantæ urbis celebritatem. Spectare autem, ac præsidere in theatro una cum sacerdotibus, quos ordo singulis annis postulat, etiam Imperator solitus. Cum itaque no-

1. Stephano magis placet ὑπ' ἐξουσίαν, Perennium sc. in suam potestatem Commodum redegisse.

2. Desideratur genitivus ante particulam καὶ, τέχνης aut quid simile.

bilis-

biliſſimis ſcenicis operam daret, ſedens imperatoria ſella Commodus, pleno ſpectatoribus theatro, ſuiſque cuique locis ad ſedendum pro dignitate attributis, priuſquam quicquam diceretur, agereturque in ſcena, repente quidam philoſophi habitu, manu baculum geſtans, peramque ſeminudus ab humero ſuſpenſus, curriculo prodiit, mediaque in ſcena conſiſtens manuque ſilentium imperans: Non hoc, inquit, ludorum tempus, ô Commode: neque ſpectaculis celebritatique vacandum. Imminet cervicibus tuis Perennii gladius: ac niſi caveris, non quidem impendens, ſed jam præſens periculum, periſti. Nam & ipſe hic adverſus te copias pecuniamque colligit, & nati exercitus Illyricos ſolicitant: quos niſi ſtatim prævenias, occidiſti.

XXVI. His dictis, ſive ſorte quadam divinitus huc impellente, ſive id auſo homine, ut gloriam ſibi ignarus atque obſcurus acquireret: ſeu quia ſperaret ingens aliquod præmium ab Imperatore conſecuturum, ſane illum derepentè obſtupefecerat. Cæteri autem, etſi non de nihilo ea dicta ſuſpicabantur, tamen fidem habere diſſimulabant. At Perennius comprehendi hominem jubet, ac pro furioſo & vaniloquo, igne comburi. Ita

τεθέντος δὲ τοῦ Κομμόδου ἐπὶ τὴν ἀκρόασιν τῶν ἐνδόξων ἀγωνιστῶν, καὶ αὐτοῦ μὲν προκαθίσαντος ἐν τῇ βασιλείῳ ἕδρᾳ, πληρωθέντος δὲ τοῦ θεάτρου, μετὰ πάσης εὐκοσμίας τῶν τε ἐν ἀξιώσεσιν ἐξαιρέτοις ἕδραις, καὶ ὡς ἑκάστοις διετέτακτο, ἱδρυμένων, πρὶν τι λέγεσθαι ἢ πράττεσθαι ἐπὶ τῆς σκηνῆς, ἀνὴρ φιλοσόφου φέρων σχῆμα (βάκτρον γὰρ ἦν αὐτῷ μετὰ χεῖρας, ἡμιγύμνῳ τε αὐτῷ ἐκκρεμὴς πήρα) εἰσδραμών, καὶ στὰς ἐν μέσῃ τῇ σκηνῇ, τῷ τε τῆς χειρὸς νεύματι τὸν δῆμον κατασιγάσας, οὐ πανηγυρίζειν σοι καιρὸς, ἔφη, Κόμμοδε νῦν, οὐδὲ θέαις καὶ ἑορταῖς σχολάζειν. ἐπίκειται γάρ σου τοῖς αὐχέσι τὸ τοῦ Περεννίου ξίφος. καὶ εἰ μὴ φυλάξῃ κίνδυνον οὐκ ἐπαιωρούμενον, ἀλλ᾽ ἤδη παρόντα, [1] λήσεις ἀπολλύμενος. αὐτός τε γὰρ ἐνταῦθα δύναμιν ἐπὶ σοὶ καὶ χρήματα ἀθροίζει, οἵ τε παῖδες αὐτοῦ τὴν Ἰλλυρικὴν στρατιὰν ἀναπείθουσιν. εἰ δὲ μὴ φθάσεις, διαφθείρῃ.

κϛ'. Ταῦτα εἰπόντος αὐτοῦ, εἴτε ὑπό τινος δαιμονίου τύχης ἐπειχθέντος, εἴτε καὶ τολμήσαντος ἵνα δόξαν ἄρηται, πρότερον ἄγνωστος καὶ ἄσημος ὤν, εἴτε καὶ ἐλπίσαντος ἀμοιβῆς μεγαλοδώρου παρὰ τοῦ βασιλέως τεύξεσθαι, [2] ἀφασία τὸν Κόμμοδον καταλαμβάνει. καὶ πάντες ὑπώπτευον μὲν τὰ λεχθέντα, πιστεύειν δὲ οὐ προσεποιοῦντο. κελεύει δὲ αὐτὸν συλληφθῆναι ὁ Περέννιος, οἷα δὲ μεμηνότα καὶ ψευδῆ λέγοντα, πυρὶ παραδοθῆναι. ὁ μὲν δὴ ἀ-

1. Exp. incautus opprimeris: hic enim in Politiano deſideratur, ut & alibi ſæpius, interpretis fides.
2. Loquendi impotentia.

καίρου

χαίρει παῤῥησίας τοιαύτην ὑπέσχε δίκην.

κζ'. Οἱ μέντοι περὶ τὸν Κόμμοδον ὅσοι τε εὔνοιαν προσεποιοῦντο, καὶ πάλαι μὲν ἀπεχθῶς πρὸς τὸν Περέννιον διακείμενοι (βαρὺς γὰρ καὶ ἀφόρητος ἦν ὑπεροψίᾳ καὶ ὕβρει) τότε καιρὸν εὔκαιρον ἔχοντες διαβάλλειν ἐπεχείρουν. ἔμελλεν τε ἅμα τὸν Κόμμοδον τὴν ἐπιβουλὴν ἐκφυγεῖν, καὶ τὸν Περέννιον σὺν τοῖς παισὶ διολέσθαι κακῶς. ἦλθον γὰρ μετ' οὐ πολὺ στρατιῶταί τινες, λαθόντες τὸν τοῦ Περεννίου παῖδα, καὶ νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκείνου εἰκόνα. λαθόντες δὲ, καί τοι ἔπαρχον ὄντα τὸν Περέννιον, καὶ δείξαντες τῷ Κομμόδῳ τὰ νομίσματα, διδάξαντές τε τῆς ἐπιβουλῆς τὰ λανθάνοντα, αὐτοὶ μὲν ἔτυχον μεγάλων δωρεῶν.

κη'. 1 Ἀγνοοῦντος δὲ ταῦτα τοῦ Περεννίου, μηδέν τε τι τοιοῦτον προσδεχομένου, νύκτωρ ὁ Κόμμοδος πέμψας, ἀποτέμνει τὴν κεφαλήν· καὶ τὴν ταχίστην, ὅπως τὴν τῶν πεπραγμένων γνῶσιν φθάσωσιν, ἐκπέμπει τοὺς πορευσομένους ὀξυτέρῳ δρόμῳ, ἐπιστῆναί τε δυνησομένους τῷ παιδὶ τοῦ Περεννίου τὰ ἐπὶ τῆς Ῥώμης ἀγνοοῦντι. γράμματά τε φιλικὰ ποιήσας, καὶ μείζοσι φήσας καλεῖν ἐλπίσιν αὐτὸν, ἥκειν κελεύει. ὁ δὲ μήτε τῆς παρασκευῆς που, καὶ τῶν βεβουλευμένων,

scilicet pœnas dedit intempestivæ libertatis.

XXVII. Cæterum qui se Commodi studiosos videri volebant, perosi antea quoque Perennium, utpote intolerandæ hominem superbiæ, contumeliæque, nactiq; opportunum tempus, calumniis eum premere aggrediuntur. Sed scilicet ita futurum erat, ut & Perennius unà cum liberis penderet pœnas. Quippe haud multo post milites quidam clam Perennii filio nummos quosdam attulerunt, illius imagine percussos: eosque ignaro etiam Perennio, quamquam erat præfectus, Commodo ostenderunt; totoque insidiarum ordine patefacto, maximis sunt muneribus affecti.

XXVIII. Quocirca inscio negotii totius Perennio, ac tum nihil minus expectanti, submissi noctu à Commodo quidam caput absciderunt: jussique statim ad illius filium pergere, cum nihil ad celeritatem sibi reliqui fecissent, etiam rumores famamque eorum quæ Romæ facta essent, prævenerunt. Ii amicas ei literas ab Imperatore reddiderunt, quæ magna proposita spe Romam reverti jubebant. Ergo & consiliorum & omnis ejus

1. Atqui Zonaras aliam longè rationem affert Perennii interfecti. Quippe cum tumultuantes in Britannia milites compescere voluisset, nonnulli clam Romam profecti sunt, quos Commodus ita excepisse dicitur, Ὦ συστρατιῶται τί βουλόμενοι πάρεστε· οἱ δὲ, ἥκομεν, ἔφασαν, ἐπεὶ σοὶ ἐπιβουλεύει Περέννιος. &c. quocum Lampridius consentit.

para-

paratus, postremo paterni casus ignarus, cum quidam nuntii dictitarent, etiam paternis ipsum verbis acciri, qui ne ipse quidem scribere supersedisset, nisi satis momenti habituras imperatorias literas existimasset, credidit videlicet adolescens: & quamvis iniquo animo ferret, interpellari sua consilia, tamen paterna fretus potentia, quam esse adhuc incolumem putabat, ad reditum se comparat. Tum deinde ut attigit Italiam, per eos quibus negotium datum fuerat, occiditur. Hunc illi exitum habuerunt.

XXIX. Post hæc Commodus duos constituit præfectos, tutius fore ratus, tantam illam potestatem non uni duntaxat credere: sed dissectam in partes, imbecilliorem, eo pacto contra principem reddere.

XXX. Verum haud longè post, aliæ in illum hujuscemodi insidiæ intenduntur. Maternus erat quidam miles, multa ausus nefaria: Is repentè desertis castris, atque aliquot in societatem commilitonibus ascitis, magnam perditorum manum brevi collegerat: vicosque primò, & agros populabatur. Magna dein pecuniæ vi collecta, plures quotidie sibi ex facinorosis copulabat: pollicensque ingentia cuique operæ pretia, & in prædæ communionem invitans, eo rem adduxit, ut non jam latronum, sed justorum hostium haberent autoritatem. Quippe magnas etiam urbes occupabant, effra-

μήτε τι τῶν κατὰ τὸν πατέρα εἰδὼς, τῶν τε ἀγγέλων εἰπόντων, ταῦτα καὶ τὸν πατέρα ἐντετάλθαι ῥήμασι, μηδὲν δὲ ἐπεσταλκέναι τοῖς βασιλείοις ἀρκούμενον γράμμασι, πιστεύσας ὁ νεανίας ἀσχάλλων μὲν καὶ δυσφορῶν, ὅτι δὴ ἀτελῆ κατέλιπε τὰ βεβουλευμένα, ὅμως δὲ θαῤῥῶν τῇ τοῦ πατρὸς, ὡς ἔτι συνεστώσῃ δυνάμει, ποιεῖται τὴν ἔξοδον. γενόμενον δὲ αὐτὸν κατὰ τὴν Ἰταλίαν, οἷς τοῦτο ἐντέταλτο, διεχρήσαντο. τοιοῦτον μὲν δὴ τέλος ἐκείνους κατέλαβεν.

κθ'. Ὁ δὲ Κόμμοδος δύο τοὺς ἐπάρχους καταστήσας, ἀσφαλέστερον ᾠήθη μὴ ἑνὶ πιστεύειν τοσαύτην ἐξουσίαν. μερισθεῖσαν δὲ αὐτὴν ἀσθενεστέραν ἔσεσθαι ἤλπισε πρὸς τὴν βασίλειον ἐπιθυμίαν.

λ'. Χρόνου δὲ οὐ πολλοῦ διαγενομένου, ἑτέρα τις ἐπιβουλὴ τοιαύτη κατὰ τὸ αὐτὸ συνεσκευάσθη. Μάτερνος ἦν τις, στρατιώτης μὲν πρότερον, πολλὰ δὲ καὶ δεινὰ τολμήσας· τήν τε τάξιν λιπὼν, καὶ πείσας ἑτέρους ἀπὸ τῶν αὐτῶν ἔργων συναποδρᾶν, χεῖρα πολλὴν κακούργων ἐν ὀλίγῳ ἀθροίσας χρόνῳ, τὰ μὲν πρῶτα κώμαις τε καὶ ἀγροῖς ἐπιτρέχων ἐλῄστευεν. ἐπεὶ δὲ πολλῶν χρημάτων ἐγκρατὴς ἐγένετο, μεῖζόν τι πλῆθος ἤθροισε κακούργων μεγάλαις τε δωρεῶν ὑποσχέσεσι, καὶ τῶν ἁλισκομένων κοινωνίᾳ, ὡς μηκέτι λῃστῶν, ἀλλὰ καὶ πολεμίων ἔχειν ἀξίωμα. πόλεσι γὰρ ἤδη μεγίσταις ἐπετίθεντο,

θεντο, καὶ τὰ ἐν αὐτῇ δεσμωτήρια βίᾳ ῥηγνύντες, τοὺς ἐφ' οἵαις δὴ καθειρχθέντας αἰτίαις, δεσμῶν ἐλευθέρους ἀφιέντες, ἄδειάν τε ὑπισχνούμενοι, εὐεργεσίαις ἐς τὴν συμμαχίαν προσήγοντο. πᾶσάν τε κατατρέχοντες τὴν Κελτῶν καὶ Ἰβήρων χώραν, πόλεσί τε ταῖς μεγίσταις ἐπιόντες, καὶ μέρη μὲν ἐμπιπράντες, τὰ δὲ λοιπὰ [1] ἁρπαγῆς ποιούμενοι, ἀνεχώρουν.

λα'. Ὡς δὲ ταῦτα ἐδηλώθη τῷ Κομμόδῳ, μετὰ πάσης ὀργῆς τε καὶ ἀπειλῆς ἐπιστέλλει τοῖς τῶν ἐθνῶν ἡγουμένοις, ῥαθυμίαν ἐγκαλῶν, καὶ κελεύει στρατὸν ἐπ' αὐτοὺς ἀθροισθῆναι. μαθόντες δὲ ἐκεῖνοι δύναμιν ἀγειρομένην ἐπ' αὐτούς, τῶν μὲν χωρίων, ἃ ἐπόρθουν, ἀπέστησαν. λαθόντες δὲ διὰ [2] ταχείας καὶ ἀβάτου ὁδοιπορείας, κατ' ὀλίγους εἰς τὴν Ἰταλίαν παρεδύοντο, καὶ περὶ βασιλείας ἤδη, καὶ μειζόνων πραγμάτων, ὁ Μάτερνος ἐβουλεύετο. ἐπεὶ γὰρ αὐτῷ τὰ προπεπραγμένα πάσης ἐλπίδος μεῖζον ἦν προχωρήσαντα, ᾤετο ἤδη δεῖν μέγα τι δράσας κατορθῶσαι, ἢ ἐπείπερ ἅπαξ ἐν κινδύνῳ καθειστήκει, μὴ ἀσήμως, μηδ' ἀδόξως τελευτῆσαι.

λβ'. Ἐπεὶ δὲ αὐτῷ μὴ τοσαύτην ὑπάρχειν δύναμιν ἡγεῖτο, ὡς ἐξ ἀντιστάσεως ἰσορρόπου, καὶ φανερᾶς ἐφόδου συστῆναι πρὸς τὸν Κόμμοδον (τό, τε γὰρ πλῆθος τοῦ Ῥωμαίων δήμου ἐλογίζετο εὔνουν ἔτι Κομμόδῳ ὑπάρχον, τήν τε περὶ αὐτὸν τῶν δορυφόρων εὔνοιαν) τέχνῃ καὶ σοφίᾳ ἤλπισε πε-

ctisque per vim carceribus captivos sine discrimine omnes vinculis eximebant, eosque sibi impunitate ac beneficiis adjungebant. Igitur Galliam omnem atque Hispaniam incursibus vastabant, & ut quamque ex magnis urbibus vi ceperant, incensa, direptaque protinus abibant.

XXXI. Quæ ubi Commodus cognovit, rectoribus gentium plenas iræ atque minarum mittit epistolas, castigans & ignaviam exprobrans, simul comparare adversus illos exercitum imperans. Quod ubi latrones acceperunt, decedendum sibi ex illis regionibus rati, clam per avia quædam compendia, seorsum alii ab aliis, in Italiam pervenerunt, ac jam de regno majoribusque rebus Maternus cum suis deliberabat. Nam quando hactenus omnia illi spe ulterius processerant, aut aliquid magnum invadendum sibi existimabat: aut certè quando in id discriminis inciderat, non obscurè neque ignavè moriendum.

XXXII. Sed quoniam se non tantis esse viribus intelligebat quantæ ad resistendum Commodo collata acie satis essent, quippe & Romanæ plebis, & prætorianorum militum propensa in Commodum voluntas credebatur, arte sibi consilioq; grassandum statuebat. Quo-

---

1. Leg. ἁρπαγήν. 2. Sylburgius τραχείας.

circa

circa tale quiddam comminiscitur. Veris initio, solennique die, pompam Matri Deum Romani celebrant. In ea quæ apud quemque sunt divitiarum præcipua, supellexque pleraque imperatoria materiæ aut artis spectandæ, præferri ante Deam solent. Passimque omnibus ludendi licentia permissa, sic ut personas induant, quas cuique libitum, nullamque non magistratuum quoque imaginem, prout cujusque studium, repræsentent, sic ut non temere à falsis veros dignoscas. Putavit hoc Maternus idoneum celandis insidiis tempus: ratus fore, ut si personam stipatoris alicujus indueret, suosque ad eandem similitudinem armis ornaret, ac se hastatis immiscerent, sic ut pars esse comitatus imperatorii crederentur, nullo videlicet præcavente, repente impetu facto Commodum obtruncarent.

XXXIII. Sed proditus Imperatori à sociis quibusdam, qui unà cum ipso venerant in urbem, indignantibus scilicet, siquidem eum non pro latrone jam, sed pro principe habituri forent, antequam festus dies adesset, & ipse comprehensus, ac mulctatus capite, & qui ejusdem factionis erant, meritis suppliciis affecti.

ειέσεσθαι. καὶ μηχανᾶται τοιόνδε τι. ἦρος ἀρχῇ ἑκάστου ἔτους, ὡρισμένης ἡμέρας, ι μητρὶ θεῶν πομπὴν τελοῦσι Ῥωμαῖοι. καὶ πάντα ὅσα παρ᾽ ἑκάστοις πλούτου σύμβολα, κειμήλιά τε βασιλέων, ὕλης τε ἢ τέχνης θαύματα τῆς θεοῦ προπομπεύει. ἄνετός τε πᾶσι δέδοται ἐξουσία παντοδαπῆς παιδιᾶς, ἕκαστός τε, ὃ βούλεται, σχῆμα ὑποκρίνεται· οὐδ᾽ ἔστιν οὕτω μέγα ἢ ἐξαίρετον ἀξίωμα, ὃ μὴ παντὶ τῷ βουλομένῳ ἀμφιεσθέντι ὑπάρχει παῖξαί τε καὶ κρύψαι τὴν ἀλήθειαν, ὡς μὴ ῥᾳδίως διαγνῶναι τόν τε ὄντα, καὶ τὸν μιμούμενον. ἔδοξε δὴ τῷ Ματέρνῳ καιρὸς ἐπιτήδειος εἶναι, εἰς τὸ τὴν ἐπιβουλὴν λαθεῖν. ἤλπισε γὰρ αὐτός τε ἀναλαβὼν τὸ τῶν δορυφόρων σχῆμα, καὶ τοὺς σὺν αὐτῷ ὁπλίσας ὁμοίως, ἀναμίξας τε τῷ πλήθει τῶν αἰχμοφόρων, καὶ τῆς πομπῆς νομισθεὶς μέρος, μηδενός τε προφυλαττομένου, αἰφνιδίως ἐπιπεσὼν, τὸν Κόμμοδον διαχειρήσασθαι.

λγ΄. Ἀλλὰ προδοσίας γενομένης, καί τινων τῶν σὺν αὐτῷ προκατεληλυθόντων εἰς τὴν πόλιν, καὶ ἐπιβουλὴν καταειπόντων (φθόνος γὰρ αὐτοὺς εἰς τοῦτο παρώξυνεν, εἰ δὴ ἔμελλον ἀντὶ λῃστοῦ δεσπότην ἕξειν, καὶ βασιλέα) πρὶν ἐλθεῖν τὴν ἑορτὴν, αὐτός τε ὁ Μάτερνος συλληφθεὶς τὴν κεφαλὴν ἀπετμήθη, καὶ οἱ συνωμόται ἀξίας ὑπέσχον δίκας.

---

1. Quam Phrygiam appellant & Magnam deam; à locis autem Idæam, Dindymenem, Pylenem, Pessinuntida, Cybelen. *Strabo.* In Sacris Phrygiis, quæ Matris deum dicunt, per annos singulos arbor pinea cæditur, & in media arbore simulachrum juvenis subligatur. *Julius Firmicus.* Vide, si libet, plura apud Arnobium lib. 5.

λδ΄. Ὁ δὲ Κόμμοδος θύσας τε τῇ θεῷ, καὶ χαριστήρια ὁμολογήσας, τὴν ἑορτὴν ἐπετέλει, παρέπεμπέ τε τὴν θεὸν χαίρων, καὶ σωτήρια τοῦ βασιλέως ὁ δῆμος μετὰ τῆς ἑορτῆς ἐπανηγύριζε. θρησκεύουσι δὲ μάλιστα τὴν θεὸν τὴν δε Ῥωμαῖοι, ἐξ αἰτίας τοιαύτης, ὡς ἱστορίᾳ παρειλήφαμεν, ἧς ἐπιμνησθῆναι ἔδοξε, διὰ τὴν παρ' Ἑλλήνων τισὶν ἀγνωσίαν.

λε΄. Αὐτὸ μὲν τὸ ἄγαλμα διοπετὲς, ὥς λέγουσιν· οὔτε τὴν ὕλην, οὔτε τεχνίτην ὅς τις ἐποίησεν ἐγνωσμένον, οὐδὲ ψαυστὸν χειρὸς ἀνθρωπίνης. τοῦτο δὲ πάλαι μὲν ἐξ οὐρανοῦ κατενεχθῆναι λόγος εἴς τινα τῆς Φρυγίας χῶρον, Πεσινοῦς δὲ ὄνομα αὐτῷ, τὴν δὲ προσηγορίαν λαβεῖν τὸν τόπον, ἐκ τοῦ πεσόντος ἀγάλματος ἐξ οὐρανοῦ, καὶ πρῶτον ἐκεῖσε [1] ὀφθῆναι. ὡς δὲ παρ' ἑτέροις εὕρομεν, Ἴλῳ τῷ Φρυγὶ, καὶ Ταντάλῳ τῷ Λυδῷ, πόλεμον ἐκεῖ γενέσθαι λέγουσιν, οἱ μὲν περὶ ὁδῶν, οἱ δὲ περὶ τῆς Γανυμήδους ἁρπαγῆς. ἰσορρόπου δὲ ἐπὶ πολὺ τῆς μάχης γενομένης ἑκατέρωθεν πεσεῖν ἱκανοὺς, καὶ τὴν συμφορὰν ὄνομα δοῦναι τῷ χωρείῳ. ἔνθα καὶ τὸν Γανυμήδην ἁρπασθέντα, ἀφανῆ γενέσθαι λόγος, ἀνθελκόντων αὐτὸν τοῦ ἀδελφοῦ καὶ τοῦ ἐραστοῦ· ἀφανοῦς δὲ γενομένου τοῦ σώματος, ἐκθειασθῆναι τὸ πάθος τοῦ μειρακίου ἐς μῦθον, καὶ τὴν Διὸς ἁρπαγήν. ἐν δὲ τῷ προειρη-

XXXIV. At Commodus facta re divina, gratulatusque deæ festum agitabat, pompamque gaudens frequentabat. Sed & populus omnis pro Imperatoris salute diem lætabundus celebrabat. Quæ autem ratio sit, cur huic deæ tantum honorem Romani habeant, non alienum videtur, quantum ex historia accepimus, commemorare, præsertim cum ea res plerisque Græcorum ignota esse videatur.

XXXV. Ipsum igitur simulachrum cœlitus, ut aiunt, demissum, neque quæ sit materia, nec à quo fabricatum artifice satis constat, neque plane hominum manibus creditur factum. Hoc igitur decidisse cœlitus ferunt in quendam Phrygiæ agrum, cui nomen Pesinunti, à casu ejus simulachri factum putant; ibi enim à principio comparuisse: licet apud alios comperiam, pugnam illic Ilum Phryga, Tantulumque Lydum inter se conseruisse, sive de via ortam, sive potius ob raptum Ganymedis. Cumque diu æquis viribus decertatum foret, ac permulti utrinque cecidissent, nomen ex ea clade loco esse impositum. Hic etiam fama fert Ganymedem ipsum trahentibus in diversa germani atque amatoris manibus, vita esse orbatum, sublatumque è medio, pro calamitatis solatio relata ad Jovem raptorem fabula divinis fuisse honoribus affectum. In hoc, quem

1. Stephanus, ὀφθέντος.

dixi-

diximus, Pesinunte Phryges olim Orgia colebant, ad ipsum fluvium Gallum, à quo etiam evirati Deæ Sacerdotes cognominantur. Sed ubi res Romana crevit, responso accepto mansurum imperium, atque ad summam auctum iri, si Pesinuntiam Deam ad se transferrent, missi in Phrygiam legati sunt, petitum Deæ simulachrum. Quod quidem facile concessum est, consanguineos se dictantibus, atque oriundos ab Ænea Phryge. Cum itaque navigio devectum simulachrum ad ipsius Tyberis fauces appulisset, quibus tum Romani vice portuum utebantur, confestim divina quadam vi navigium substitit, neque ullis Romani populi certatim trahentis moveri viribus potuit, donec Vestalis sacerdos adesset. Ea cum virginitatem perpetuo servandam polluisse falsò argueretur, damnationem metuens, supplex petiit à populo ut judicium de se Deæ Pesinuntiæ committerent: quo impetrato, zonam recinxit, clare precata, ut si intemeratam se esse, ac virginem Dea sciret, navim progredi juberet. Quæ ubi dixit, statim alligatam zonam manu ducta navis sequi cœpit. Ita sunt pariter, Romani manifestam numinis divinitatem, at-

μένῳ Πεσσινοῦντι, πάλαι μὲν Φρύγες ὠργίαζον ἐπὶ τοῦ ποταμοῦ Γάλλῳ παραῤῥέοντι, ἀφ' οὗ τὴν ἐπωνυμίαν φέρουσιν οἱ τῇ θεῷ τομίαι ἱερωμένοι. ἐπεὶ δὲ Ῥωμαίων ηὔξετο τὰ πράγματα, φασὶν αὐτοῖς χρησθῆναι, μένειν τε τὴν ἀρχὴν, καὶ εἰς μέγα προχωρήσειν, εἰ τὴν Πεσσινουντίαν θεὸν μεταγάγοιεν ὡς αὐτούς. πέμψαντες δὲ πρέσβεις εἰς Φρύγας, τὸ ἄγαλμα ᾔτουν. ἔτυχον δὲ ῥᾳδίως, συγγένειαν προβαλλόμενοι, καὶ τὴν ἀπ' Αἰνείου τοῦ Φρυγὸς εἰς αὐτοὺς διαδοχὴν καταλέγοντες. κομισθὲν δὲ ἐπὶ νεὼς τὸ ἄγαλμα, καὶ γενόμενον ἐν ταῖς τοῦ Θύμβριδος ἐκβολαῖς (ταύταις γὰρ ἀντὶ λιμένων ἐχρῶντο Ῥωμαῖοι) ἔστησε θείᾳ δυνάμει τὸ σκάφος. ἐπιπολὺ δὲ πανδημεὶ τῶν Ῥωμαίων τὴν ναῦν ἑλκόντων, ἀντεχούσης τῆς ἰλύος, οὐ πρότερον ἡ ναῦς ἀνέδραμε, πρὶν ἢ τὴν [1] ἱέρειαν ἐνεχθῆναι τῆς θεοῦ, ἥτις τῆς Ἑστίας ἦν. ταύτην ἔδει παρθενεύεσθαι· αἰτίαν δὴ διαφθορᾶς εἶχεν, ὡς μέλλουσα δὲ κριθήσεσθαι, ἱκέτευει τὸν δῆμον ἐπιτρέψαι τῇ Πεσσινουντίᾳ θεῷ τὴν κρίσιν. καὶ λυσαμένη τὴν ζώνην, ἐπαφῆκε τῇ πρώρᾳ τῆς νεὼς, προσευξαμένη εἰ παρθένος εἴη καὶ ἁγνὴ, [2] πεισθῆναι τὸ σκάφος. ῥᾳδίως δὲ τῆς ζώνης ἐξηρτημένης, ἡ ναῦς ἠκολούθησεν. ὁμοῦ

1. Gentis ejusdem utraque Claudia fuit, & quæ navem cum sacris matris deum Ideæ, obhærentem Tiberino vado extraxit, precata propalam ut ita demum sequeretur si sibi pudicitia constaret. *Suetonius in vita Tiberii.*

2. Ut quasi exorari se sineret navigium. σπασθῆναι *Steph.*

δὲ τὸ ἐναργὲς τῆς θεοῦ, καὶ τὸ σεμνὸν τῆς παρθένου, Ῥωμαῖοι ἐθαύμασαν. τοσαῦτα μὲν δὴ τῆς Πεσσινουντίας θεοῦ φιλοτιμότερον ἱστορείσθω, οὐκ ἄχαριν ἔχοντα γνῶσιν τοῖς τὰ Ῥωμαίων οὐκ ἀκριβοῦσιν.

λϛʹ. Ὁ δὲ Κόμμοδος ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλὴν, πλείονί τε περὶ αὑτὸν ἐχρῆτο φρουρᾷ, καὶ σπανίως τοῖς δήμοις ἐπεφαίνετο, τὰ πλεῖστα ἐν προαστείοις, καὶ τοῖς ἀπωτέρω τῆς πόλεως βασιλικοῖς κτήμασι διατρίβων, καὶ ἑαυτὸν δικαστηρίων ἀπείργων, καὶ βασιλικῶν πράξεων. συνέβη δὲ κατ' ἐκεῖνο καιροῦ λοιμώδη νόσον καταχεῖν τὴν Ἰταλίαν. μάλιστα δὲ τὸ πάθος τῇ Ῥωμαίων πόλει ἤκμασεν, ἅτε πολυανθρώπῳ τε οὔσῃ, καὶ τοὺς πανταχόθεν ὑποδεχομένῃ. πολλή τέ τις φθορὰ ἐγένετο ὑποζυγίων ἅμα καὶ ἀνθρώπων. τότε ὁ Κόμμοδος, συμβουλευσάντων αὐτῷ τινων ἰατρῶν, εἰς τὴν Λαύρεντον ἀνεχώρησεν, εὐψυχέστερον γὰρ τὸ χωρίον καὶ μεγίστοις κατάσκιον δαφνηφόροις ἄλσεσιν (ὅθεν καὶ τὸ ὄνομα τῷ χωρίῳ) [1] σωτήριον εἶναι ἐδόκει, καὶ πρὸς τὴν τοῦ ἀέρος φθορὰν ἀντέχειν ἐλέγετο, εὐωδίᾳ τε τῇ τῶν δαφνῶν ἀποφορᾶς, καὶ [2] τῆς τῶν δένδρων ἡδείας σκιᾶς. ἀλλὰ καὶ οἱ κατὰ τὴν πόλιν, κελευόντων τῶν ἰατρῶν, μύρου εὐωδεστάτου τάς τε ὀσφρήσεις, καὶ τὰ ὦτα ἐνεπίμπλασαν.

que innocentiam virginis admirati. Sed hæc hactenus de Pesinuntia Dea, prolixius etiam fortasse quam decuit, haud insuavem tamen scientiam allatura iis, qui res Romanas minus cognitas habeant.

XXXVI. Commodus autem evitatis Materni insidiis, majore se custodia muniebat, rarus prodire in publicum, plerunque temporis in suburbanis, aut in principalibus prædiis procul ab urbe consumere, abstinere prorsus ab jurisdictione, omnique actu imperatorio. Per idem tempus accidit, ut ingens Italiam quidem universam pestilentia occuparet, sed in civitatem Romanam vehementius tamen sæviret, utpote quæ & per se populo abundaret, & advenas toto orbe confluentes exciperet. Quare magna jumentorum atque hominum strages consecuta. Tum Commodus (ita scilicet quidam medicinæ periti persuaserant) Laurentum secessit, quod frigidior ea regio sit, silvisque è lauro permultis opaca, à quo etiam regioni ind tum nomen. Valere enim plurimum aiebant ad aëris evitandam contagionem, cum odores laurorum, tum ipsarum amœnitatem umbrarum. Quocirca in ipsa quoque urbe de medicorum sententia, plerique unguentis suavissimis nares atque aures opple-

1. Melius fortasse σωτήριον. Insolentior enim est istiusmodi formatio à τηρέω.

2. Scr. ταῖς τῶν δένδρων ἡδείαις σκιαῖς. Aliter justâ constructionis lege ad [εὐωδίᾳ] referri debet. Ecquis vero sensu adeo subtili, ut etiam umbras subodoretur?

bant,

bant, suffituque & odoramentis assidue utebantur, quod meatus sensuum (ut quidam dicunt,) odoribus illis occupati, neque admittant aëra tabificum: & si maximè admiserint, tamen eum majore quasi vi longe superari. Cæterum nihilo secius morbus ingravescere, hominesque passim & pecora inter homines agitantia interire.

XXXVII. Sed & fames eodem tempore civitatem oppresserat, hac de causa. Cleander erat quidam Phryx genere, ex ea nota hominum, qui publicè per præconem veneunt. Hic cum in domum imperatoriam servitio esset traditus, & cum ipso Commodo accrevisset, eo scilicet honoris atque autoritatis provectus est, ut & corporis custodiam, & cubiculi curam, præterea militum præfecturam solus obtineret. Cæterum divitiæ ac luxus, etiam illum ad imperii spem instigabant. Quocirca grandi coacta pecunia plurimum frumenti coëmit. Id autem occlusum habebat, sperans sibi Romani populi, atque exercitus voluntates, adjuncturum, si prius rerum necessariarum penuria laborantes magnis repente largitionibus demereretur. Idem gymnasium quoque maximum exædificaverat, publicatis etiam

θυμιάμασί τε καὶ ἀρώμασι συνεχῶς ἐχρῶντο, φασκόντων τινῶν, τὴν εὐωδίαν φθάσασαν ἐμπιπλάναι τοὺς πόρους τῶν αἰσθήσεων, καὶ κωλύειν δέχεσθαι τὸ φθινῶδες τοῦ ἀέρος. ἢ εἰ καί τι παρεμπέσοι, κατεργάζεσθαι δυνάμει κρείττονι. πλὴν οὐδὲν ἧττον ἡ νόσος ἐπὶ πλεῖστον ἤκμασε, πολλῆς ἀνθρώπων φθορᾶς γινομένης, πάντων τε ζώων τοῖς ἀνθρώποις συνοίκων.

λζʹ. [1] Ὑπέσχε δὲ κατ' αὐτὸ καὶ λιμὸς τὴν πόλιν, ἐξ αἰτίας τοιαύτης. [2] Κλέανδρός τις ἦν, τὸ μὲν γένος Φρὺξ, τῶν δημοσίᾳ εἰωθότων ὑπὸ κήρυκι πιπράσκεσθαι· οἰκέτης δὲ βασιλικὸς γενόμενος, συναυξηθείς τε τῷ Κομμόδῳ, εἰς τοσοῦτον ὑπ' αὐτοῦ τιμῆς καὶ ἐξουσίας προήχθη, ὡς τήν τε τοῦ σώματος φρουρὰν καὶ τὴν τοῦ θαλάμου ἐξουσίαν, τήν τε τῶν στρατιωτῶν ἀρχὴν ἐγχειρισθῆναι. ὑπὸ δὲ πλούτου καὶ τρυφῆς ἀνεπείσθη καὶ πρὸς βασιλείας ἐπιθυμίαν. ἀθροίζων δὲ χρήματα, καὶ σῖτον πλεῖστον συνωνούμενος, καὶ ἀποκλείων, ἤλπιζε προσάξεσθαι τόν τε δῆμον καὶ τὸ στρατόπεδον, [3] εἰ πρότερον ἐν σπάνει τῶν ἐπιτηδείων καταστήσας, ἐπιδόσεσι λαμπραῖς, ἁλόντας, πόθῳ τοῦ χρειώδους προσαγάγοιτο. μέγιστον δὲ γυμνάσιον κατασκευάσας λουτρὸν δη-

1. Scrib. ἐπίεζε.

2. Vide Xiphil. in excerptis Dionis, καὶ ἐπράθη μετὰ τῶν ὁμοδούλων, &c.

3. Zonaras frumenti penuriam Cleandro non ascribit. Σιτοδείας γὰρ, inquit, ἐν Ῥώμῃ συμβάσης, πλέον αὐτὴν Παπίριος Διονύσιος ἐπὶ τοῦ σίτου τεταγμένος ἐπέτεινεν, ὡς ἂν τὸν Κλέανδρον μισήσωσί τι καὶ διαφθείρωσι, ὡς αἴτιον τοῦ κακοῦ διὰ κλέμματα.

μόσιον

μόστον ἀνῆκεν αὐτοῖς. ὁ μὲν οὖν οὕτω τὸν δῆμον ἐδελέαζεν.

λη'. Οἱ δὲ Ῥωμαῖοι, ἀπεχθῶς ἔχοντες πρὸς αὐτὸν, καὶ τῶν δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέροντες, μισοῦντες αὐτοῦ [1] τὸ ἀκόρεστον τῆς τοῦ πλούτου ἐπιθυμίας, τὰ μὲν πρῶτα ἐν θεάτροις συνιστάμενοι, κατὰ πλήθη, κακῶς ἠγόρευον. καὶ τὸ τελευταῖον, διάγοντος ἐν προαστείῳ τοῦ Κομμόδου, ἐπελθόντες πανδημεὶ ἐβόων, καὶ τὸν Κλέανδρον εἰς θάνατον ᾔτουν. ταραχῆς δὲ οὔσης περὶ τὸ προάστειον, τοῦ τε Κομμόδου ἐν τοῖς ἀνακεχωρηκόσι τόποις ἡδοναῖς σχολάζοντος, ἀγνοοῦντός τε τὰ θρυλλούμενα, ἐπείπερ ὁ Κλέανδρος ἀγγέλλεσθαί τι τῶν πραττομένων ἐκώλυεν αὐτῷ, αἰφνιδίως οὐ προσδοκῶντος τοῦ δήμου, ἐπιφαίνονται ὡπλισμένοι, κελεύσαντος τοῦ Κλεάνδρου, πάντες οἱ βασίλειοι ἱππεῖς, τούς τε ἐντυγχάνοντας ἔβαλλον, καὶ ἐτίτρωσκον. ὁ δὲ δῆμος οὐδὲ ἀντιστῆναι οἷός τε ἦν, ἄνοπλοι πρὸς ὡπλισμένους, καὶ πεζοὶ πρὸς ἱππεῖς. τροπῆς δὲ γενομένης, ἔφυγον εἰς τὴν πόλιν. ἐφθείρετο δὲ ὁ δῆμος οὐ μόνον βαλλόμενος ὑπὸ τῶν στρατιωτῶν, οὐδὲ πατούμενος ὑπὸ τῶν ἵππων, ἀλλὰ καὶ ὑπὸ τοῦ πλήθους ὠθούμενος. καὶ ὑπὸ τῶν ἱππέων ἐπάλληλοι πίπτοντες, πολλοὶ ἀπώλοντο. μέχρι μὲν οὖν τῶν τῆς Ῥώμης πυλῶν, ἀκωλύτως οἱ ἱππεῖς διώκοντες τοὺς ἐμπίπτοντας ἀφειδῶς ἀνῄρουν. ἐπεὶ δὲ οἱ ἐν τῇ πόλει μείναντες, αἰσθόμενοι τὸ κατειληφὸς

balneis, ut eo modo populum inescaret.

XXXVIII. At Romani infensi jampridem, ac totius caussam pestilentiæ in eum conferentes, simul perosi hominem divitiis inexplebilem, prius quidem confertim per theatra identidem traducebant. Deinde agente in suburbanis Commodo repente universi magnis clamoribus concurrerunt, Cleandrum ad necem deposcentes. Cum autem suburbanum omne tumultu compleretur, & Commodus ipse in alto secessu voluptatibus indulgeret, inscius quæ gererentur (nam id Cleander caverat) repente extra omnium expectationem armati equites principis eruperunt, Cleandri jussu proruentes obvium quenque, ac vulnerantes. Neque scilicet populus excipere illorum impetum valebat, inermis armatorum, pedester equitum. Quare fuga facta in urbem rejiciuntur: ibique permulti, neque modo quos ferro milites conficiebant, neci dediti, sed quos etiam ipsi proculcaverunt equites, quique aut conferta turba, aut equitum incursu conflictabantur. Igitur ad urbis portas sine ullo impedimento persecuti, magnam populi partem interfecerunt. Qui autem in urbe remanserant, calamitate suorum intellecta,

1 Omnia Cleander pecuniâ venditabat. *Lamprid.*

clausis

clausis domibus cum in tecta & culmina evasissent, lapidibus tegulisque equites desuper incessebant. Itaque statim conversa fortuna est, nullo manibus decertare auso, sed omni multitudine desuper quasi ex tuto dimicante. Quocirca saucii magna pars cum tolerare jam ulterius nequirent, terga fugæ mandarunt. Multi itaque cadebant crebro telorum jactu: multi equis excutiebantur, inter devolutos lapides fallente fastigio lapsantibus. Sed & pedites, qui in urbe stationes habebant, populo suppetias adversus invisos sibi equites raptim tulerunt.

XXXIX. Itaque cum civile bellum esset, nemo tamen quæ gererentur nunciare Commodo audebat, metu Cleandri potentiæ. Donec maxima natu soror Fadilla nomine, accurrens ad imperatorem (quippe facilis aditus sorori) crinibus solutis projecta humi, ac plane in lugubrem habitum deformata. Tu quidem, inquit, ô Princeps, otium agitans, & omnium quæ gerantur ignarus, extremo in periculo versaris. Nos autem sanguis tuus, propemodum occidimus. Actum de populo Romano, actum magna ex parte etiam de exercitu est: & quæ

πάθος, ἀποκλείσαντες τὰς τῶν οἰκιῶν εἰσόδους, εἴς τε τὰ δώματα ἀναβάντες λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππεῖς. οἱ δὲ ἔπασχον, ἅπερ δεδράκεσαν, οὐδενὸς μὲν αὐτοῖς συστάδην μαχομένου, τοῦ δὲ πλήθους ἐξ ἀσφαλοῦς ἤδη βάλλοντος αὐτούς. τιτρωσκόμενοι τοίνυν, καὶ μὴ φέροντες, ἐς φυγὴν ἐτράπησαν. πολλοὶ δὲ αὐτῶν διεφθείροντο ὑπό τε τῆς τῶν λίθων συνεχοῦς βολῆς. οἱ δὲ ἵπποι κυλινδουμένοις τοῖς λίθοις ἐπιβαίνοντες, ὠλίσθανον, καὶ τοὺς ἐπιβάτας ἀπωθοῦντο. πολλῶν δὲ ἑκατέρωθεν πιπτόντων, ἐπεβοήθουν τῷ δήμῳ καὶ οἱ τῆς πόλεως πεζοὶ στρατιῶται, μίσει τῶν ἱππέων.

λθʹ. Ὄντος δὲ πολέμου ἐμφυλίου, δῆλος μὲν οὐδεὶς ἀγγεῖλαι τὰ πραττόμενα τῷ Κομμόδῳ ἐβούλετο, δέει τῆς Κλεάνδρου ἐξουσίας. [1] ἡ δὲ πρεσβυτάτη τῶν Κομμόδου ἀδελφῶν (Φαδίλλα ἦν ὄνομα αὐτῇ) εἰσδραμοῦσα πρὸς τὸν βασιλέα (ῥᾳδία δὲ ἡ εἴσοδος αὐτῇ, καὶ ἀκώλυτος, ἅτε ἀδελφῇ) λυσαμένη τὰς τρίχας, ῥίψασά τε εἰς τὴν γῆν ἑαυτὴν, οὐδὲν ἀλλ' ἢ πένθους σχῆμα δείξασα· σὺ μὲν, ἔφη, ὦ βασιλεῦ, μένων ἐπὶ ἡσυχίᾳ, τῶν πραττομένων ἀγνοίᾳ, ἐσχάτῳ καθέστηκας κινδύνῳ· ἡμεῖς δὲ τὸ σὸν γένος, ὅσον οὐδέπω ἀπολούμεθα. οἴχεται δέ σοι ὅ, τε δῆμος Ῥωμαίων, καὶ τὸ πλεῖστον τοῦ στρατιωτικοῦ.

1. Narrat Xiphilinus rem Commodo delatam à Marcia pellice. Porro Cleandri interitum aliunde repetit Lampridius, ob interfectum sc. Antoninum, fictis in illum criminibus. Sed in uno homine tot flagitiorum consensus, historicorum dissidiis causam dedit.

ἃ δὲ πρὸς μηδενὸς βαρβάρων πείσεσθαι προσεδοκῶμεν, ταῦτα δρῶσιν ἡμᾶς οἱ οἰκέται. καὶ οὓς μάλιστα εὐηργέτησας, τούτους ἐχθροὺς ἔχεις. Κλέανδρος ἐπὶ σέ τόν τε δῆμον, καὶ τὸ στρατιωτικὸν ὥπλισεν. ἐκ δὲ διαφόρου, καὶ ἐναντίας γνώμης, οἱ μὲν μισοῦντες αὐτὸν, ὁ δῆμος, οἱ δὲ στέργοντες, πᾶν τὸ ἱππικὸν τάγμα, ἐν ὅπλοις εἰσί. καὶ φθείροντες ἀλλήλους, ἐμφυλίου αἵματος τὴν Ῥώμην ἐπλήρωσαν. τὰ δ' ἑκατέρου τοῦ πλήθους δεινὰ ἡμᾶς προσλήψεται, εἰ μὴ τὴν ταχίστην πρὸς τὸν θάνατον ἐκδώσεις πονηρὸν οἰκέτην, ὀλέθρου τοσούτου τοῖς μὲν αἴτιον ἤδη γεγονότα, ἡμῖν δὲ ἐσόμενον ὅσον οὐδέπω.

μ'. Τοιαῦτά τινα εἰποῦσα, ῥηξαμένη τε τὴν ἐσθῆτα, καὶ τῶν παρόντων τινὲς θαῤῥήσαντες τοῖς τῆς ἀδελφῆς τοῦ βασιλέως λόγοις, τὸν Κόμμοδον ἐτάραξαν. ἐκπλαγεὶς ἐκεῖνος, τόν τε ἐπικείμενον κίνδυνον οὐ μέλλοντα, ἀλλὰ παρόντα ἤδη φοβηθεὶς, μεταπέμπεται τὸν Κλέανδρον, οὐδὲν μέν τοι εἰδότα τῶν ἀπηγγελμένων, οἰόμενον δέ. ἐλθόντα δὲ αὐτὸν συλληφθῆναι κελεύει. καὶ τὴν κεφαλὴν ἀποτεμὼν, δόρατί τε ἐπιμήκει ἐγκαταπήξας, ἐκπέμπει τερπνὸν καὶ ποθεινὸν τῷ δήμῳ θέαμα.

μα'. Ἔστη γὰρ οὕτω τὸ δεινὸν, καὶ ἑκάτεροι πολεμοῦντες ἐπαύσαντο, οἱ μὲν στρατιῶται ἀνῃρημένον ἰδόντες, ὑπὲρ οὗ ἐμάχοντο, δέει τε τῆς τοῦ βασιλέως ὀργῆς. (συνίεσαν γὰρ ἐξηπατῆσθαι, καὶ τὰ δρασθέντα παρὰ γνώμην αὐτοῦ τετολμηκέναι) ὁ δὲ δῆμος

ne à barbaris quidem nos passuros expectabamus, ea nobis domestici faciunt: & in quos maxima contulisti beneficia, eos primos inimicos habes. Cleander adversus te populum & exercitum armavit: quorumque alteris invisus est, alteris charus, utrique tamen in armis sunt, cædem inter se patrant, & civili sanguine Romam replent. Sed in nos videlicet utriusque multitudinis recidet calamitas. Nisi tu quamprimum neci dederis sceleratissimum famulum, qui tantæ cladis illis jam fuit, nobis mox futurus est autor.

XL. Hæc loquens, vestem scidit, multique item qui aderant, sumpta de verbis mulieris audacia, Commodum territabant. Is expavefactus, cum jam non ut impendens, sed ut præsens periculum formidaret, acciri ad se Cleandrum propere jubet, nihil dum certi scientem, sed tamen aliquid suspectantem imperatori renunciatum. Accedentemque ad se, imperat comprehendi, & caput ejus amputatum, contoque præfixum circumferri, voluptuosum scilicet atque optatum populo spectaculum præbiturus.

XLI. Ita id malum sedatum, atque utrinque dimicatio dirempta. Siquidem milites cum occisum viderent, pro quo decertabant, iram quoque imperatoris formidabant cui verba data, nihilque non factum contra illius sententiam compere

pere

pererant. Populus contra satisfactum sibi autoris supplicio putabat. Sed & liberi Cleandri (binos enim virilis sexus habebat) & quotquot illius amici fuerant, ad unum omnes contrucidati, tractaque per urbem cadavera, & contumeliosissime habita, postremo in cloacas abjecta. Hæc finis Cleandri fatorum fuit, quasi in uno illo velut ambitiosius ostentaret natura (ut sic dixerim) humana posse ex infimo loco ad supremum fastigium evehi hominem, atque evectum dein rursum deturbari quamlibet exiguo atque insperato fortunæ momento.

XLII. Cæterum Commodus, tametsi verebatur, ne quid fortasse populus etiam contra se novi moliretur: tamen suadentibus amicis in urbem reversus est. Ac lætis acclamationibus magnoque comitatu exceptus, in aulam principalem se contulit. Enimvero ex illo tot aditis jam periculis, cœpit nulli satis confidere: sed occidere hunc atque illum, nulli non calumniæ fidem accommodans. Ad hæc neminem, cui virtus ulla esset, amicum sibi adjungebat, sed à cunctis æque rectis studiis animum avocaverat. Quippe quem die noctequE aliæ ex aliis effrenæ corporis voluptates gravissimo servitio premebant, neminemque non ab limine velut insidiatorem submovebat, quemcunque

κεκόρεστο, τιμωρίαν παρὰ τοῦ τὰ δεινὰ δράσαντος εἰληφώς. προσανεῖλον δὲ καὶ τοὺς παῖδας τοῦ Κλεάνδρου (δύο δὲ ἦσαν ἄρρενες αὐτῷ.) πάντας τε ὅσους ᾔδεσαν ἐκείνῳ φίλους, διεχρήσαντο, σύροντές τε τὰ σώματα, καὶ πᾶσαν ὕβριν ἐνυβρίσαντες. τέλος, λελωβημένους εἰς τοὺς ὀχετοὺς ἔρριψαν φέροντες. τοιούτῳ μὲν δὴ τέλει Κλέανδρός τε καὶ οἱ περὶ αὐτὸν ἐχρήσαντο, φιλοτιμησαμένης, ὡς ἄν τις εἴποι, τῆς ἀνθρωπίνης φύσεως, ἐν ἑνὶ δεῖξαι, ὅτι ἐκ τῆς ἐσχάτης εὐτελείας εἰς τὸ μέγιστον ὕψος ἆραι, καὶ πάλιν τὸν ἀρθέντα ῥῖψαι, ὀλίγη καὶ ἀνέλπιστος δύναται τύχης ῥοπή.

μβ'. Ὁ δὲ Κόμμοδος, δεδιὼς μὲν ἀπὸ τοῦ δήμου κίνησιν, μή τι καὶ περὶ αὐτοῦ νεωτερίσῃ, ὅμως δὲ παρορμησάντων αὐτὸν τῶν οἰκείων, κατῆλθεν ἐς τὸ ἄστυ, μετὰ πάσης εὐφημίας τε καὶ παραπομπῆς τοῦ δήμου ὑποδεχθεὶς, εἰς τὴν βασίλειον ἐπανῆλθεν. πειραθεὶς δὲ τοσούτων κινδύνων, ἀπίστως προσεφέρετο πᾶσιν, [1] ἀφειδῶς τε φονεύων, καὶ πάσαις διαβολαῖς ῥᾳδίως πιστεύων, μηδὲ τινὰ προσιέμενος τῶν λόγου ἀξίων· ἀλλὰ τῆς μὲν περὶ τὰ καλὰ σπουδῆς ἀπῆγεν ἑαυτόν, ἐδεδούλωντο δὲ πᾶσαν αὐτοῦ τὴν ψυχὴν, νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐπάλληλοι, καὶ ἀκόλαστοι σώματος ἡδοναί. καὶ σώφρων μὲν πᾶς, καὶ παιδείας κἂν μετρίως μεμνημέ-

1. Finxisse etiam quandam contra se conspirationem dicitur ut multos occideret. *Lamprid.*

νος, τῆς αὐλῆς ὡς ἐπίβουλος ἐδιώκετο.

μγ'. Γελωτοποιοὶ δὲ καὶ τῶν αἰσχίστων ὑποκριταὶ, εἶχον αὐτὸν ὑποχείριον. ἁρμάτων τε ἡνιοχείας, καὶ θηρίων ἐξ ἀντιστάσεως μάχας ἐπαιδεύετο, τῶν μὲν κολάκων εἰς ἀνδρείας δόξαν αὐτὰ ὑμνούντων, τοῦ δὲ ἀπρεπέστερον μετιόντος ἢ βασιλεῖ σώφρονι ἥρμοζεν.

μδ'. Ἐγένοντο δέ τινες κατ' ἐκεῖνο καιροῦ καὶ διοσημίαι. ἀστέρες γὰρ ἡμέρας συνεχῶς ἐβλέποντο, [1] ἕτεροί τε εἰς μῆκος κεχαλασμένοι, ὡς ἐν μέσῳ ἀέρι κρέμασθαι δοκεῖν· ζῶά τε παντοῖα, καὶ τὴν ἑαυτῶν φύσιν μὴ τηροῦντα, σχήμασί τε ἀλλοδαποῖς καὶ μέρεσι σώματος ἀναρμόστοις πολλάκις ἀπεκυήθη. μέγιστον δὲ δεινὸν καὶ τὸν παρόντα καιρὸν ἐλύπησε, καὶ πρὸς τὸ μέλλον, οἰωνίσματι καὶ φαύλῳ συμβόλῳ χρωμένους πάντας ἐτάραξεν· οὔτε γὰρ ὄμβρου προϋπάρξαντος, οὔτε νεφῶν ἀθροισθέντων, σεισμοῦ δὲ ὀλίγου προγενομένου γῆς, εἴτε σκηπτοῦ νύκτωρ κατενεχθέντος, εἴτε καὶ πυρός ποθὲν ἐκ τοῦ σεισμοῦ διαρρυέντος, [2] πᾶν τὸ τῆς Εἰρήνης τέμενος κατεφλέχθη, μέγιστον καὶ κάλλιστον γενόμενον τῶν ἐν τῇ πόλει ἔργων. πλουσιώτατον δὲ ἦν πάντων ἱερῶν διὰ ἀσφάλειαν ἀναθήμασι [3] κεκοσμημένον.

aut probitas, aut disciplina ulla etiam mediocris illustraret.

XLIII. Scurræ vero, & qui turpissima quæque repræsentabant, quasi addictum sibi habebant. Aurigando etiam, bestiisque conficiendis supra modum exercebatur, ob quæ studia adulatores eum fortitudinis gloria celebrabant, quare illa minus decore tractabat, quam modesto principi conveniebat.

XLIV. Extitere ea tempestate etiam quædam in cœlo prodigia. stellæ enim per diem perpetuo apparuerunt, quædamque ex iis in longum productæ, medio quasi aëre suspensæ videbantur. Præterea animalia genus omne, minime suam naturam servantia, cum figura corporis prodigiosa, tum membris haudquaquam congruentibus edebantur. Maximum autem nefas cum in præsens dolorem attulit, tum in futurum pessimo augurio universos conterruit. Nam cum neq; imbres ulli, neq; nubes, tantumq; exiguus terræ motus antecessisset, seu nocturni casu fulminis, sive igni aliquo in ipso terrarum motu velut extrito, totum de improviso Pacis templum consumptum incendio est, quod unum scil. opus cunctorum tota urbe maximum fuit atque pulcherrimum: idem templorum omnium opulentissimum, egregieque munitum, multoque ornatum auro & argento. Quippe

1. Crinita stella apparuit. Lampr. quem pariter & Zonaram consule de cæteris prodigiis.

2. Εἰρηναῖον Xiph. qui circa finem Commodi, damnorum, quibus pop. R. illud affecerat incendium, fusiorem exhibet ἐπιλύπωσιν.

3. Leg. κεκοσμημένον.

universi ferme suas illic divitias quasi in thesaurum congerebant: ideoque per noctem debacchatus ignis, multos ex opulentis egenos reddidit. Quapropter communem quidem jacturam publice omnes, suam autem quisq; privatim deplorabant.

XLV. Sed ubi templum omne consumtum ignibus est, plurima quoque & pulcherrima urbis ædificia conflagrarunt. Inter quæ etiam Vestæ templum, sic ut Palladium quoque conspiceretur: quod in primis colunt, atque in arcano habent Romani, Troja (ut perhibent) avectum, ac tum primum postquam in Italiam devenit, conspectum ab hominibus. Quippe raptum id Vestales virgines media Sacra via in aulam Imperatoris transtulerunt. Multæ præterea pulcherrimæque urbis partes combustæ: plurimosque dies pervagatum incendium, non prius sedatum est, quam repentinis imbribus extingueretur.

XLVI. Itaque totam rem Diis imputabant ejus ætatis mortales, quorum scilicet voluntate & inchoasse incendium, & desiisse arbitrabantur: ac portendi bella, quæ sunt deinceps insecuta, consumto Pacis templo, interpretabantur. Quam deinceps famam rerum eventus comprobavit.

νων χρυσοῦ τε καὶ ἀργύρου, ἕκαστος δὲ, ἃ εἶχεν, ἐκεῖσε ἐθησαυρίζετο. ἀλλὰ τὸ πῦρ ἐκ τῆς νυκτὸς, πολλοὺς ἐκ πλουσίων πένητας ἐποίησεν. ὅθεν ὠλοφύροντο κοινῇ μὲν πάντες τὰ δημόσια, ἕκαστος δὲ τὰ ἴδια αὐτοῦ.

με΄. Καταφλέξαν δὲ τὸ πῦρ τόν τε νεὼν, καὶ πάντα τὸν περίβολον, ἐπενεμήθη καὶ τὰ πλεῖστα τῆς πόλεως καὶ κάλλιστα ἔργα. ὅτε καὶ τῆς Ἑστίας τοῦ νεὼ καταφλεχθέντος ὑπὸ τοῦ πυρὸς, γυμνωθὲν ὤφθη [1] τὸ τοῦ Παλλάδος ἄγαλμα, ὃ σέβουσι καὶ κρύπτουσι Ῥωμαῖοι, κομισθὲν ἀπὸ Τροίας, (ὡς λόγος) ὅτε πρῶτον καὶ μετὰ τὴν ἀπ᾽ Ἰλίου εἰς Ἰταλίαν ἄφιξιν, εἶδον οἱ καθ᾽ ἡμᾶς ἄνθρωποι. ἁρπάσασαι γὰρ τὸ ἄγαλμα αἱ τῆς Ἑστίας ἱέρειαι παρθένοι, διὰ μέσης τῆς ἱερᾶς ὁδοῦ, εἰς τὴν τοῦ βασιλέως αὐλὴν μετεκόμισαν. κατεφλέχθη δὲ καὶ πλεῖστα ἄλλα τῆς πόλεως μέρη κάλλιστα. ἱκανῶν τε ἡμερῶν πάντα ὁδὸν τὸ πῦρ ἐπεβόσκετο· οὐδὲ πρότερον ἐπαύσατο πρὶν ἢ καταῤῥαγέντες ὄμβροι ἐπέσχον αὐτοῦ τὴν ὁρμήν.

μς΄. Ὅθεν καὶ τὸ πᾶν ἔργον ἐξεθειάσθη, πεσόντων κατ᾽ ἐκεῖνο καιροῦ τῶν τότε ἀνθρώπων, ὅτι γνώμῃ θεῶν καὶ δυνάμει ἤρξατό τε τὸ πῦρ, καὶ ἐπαύσατο. συνεβάλλοντο δέ τινες ἐκ τῶν καταληφθέντων, πολέμων σημεῖον εἶναι, τὴν τοῦ νεὼ τῆς Εἰρήνης ἀπώλειαν. τὰ γοῦν ἀκολουθήσαντα, (ὡς ἐν

1. Palladium & dii penates Troia advecti, fatale pignus imperii colebantur, ad quod, nulli hominum nisi vestalibus & Pontificibus adire fas erat. *Alex. ab Alex. genial. dierum lib. 5. c. 12.*

τοῖς ἑξῆς ἐροῦμεν) ἐκ τῆς ἀποβάσεως τὴν προϋπάρχουσαν φήμην ἐπιστώσατο. πολλῶν δὴ καὶ δεινῶν συνεχῶς κατειληφότων τὴν πόλιν, [1] οὐκέτι ὁ Ῥωμαίων δῆμος μετ᾽ εὐνοίας τὸν Κόμμοδον ἐπέβλεπεν· ἀλλὰ καὶ τὰς αἰτίας τῶν ἐπαλλήλων συμφορῶν εἰς τοὺς ἐκείνου ἀδίκους φόνους, καὶ τὰ λοιπὰ τοῦ βίου ἀνέφερεν ἁμαρτήματα. οὐδὲ γὰρ ἐλάνθανε τὰ πραττόμενα πάντας, ἀλλ᾽ οὐδὲ αὐτὸς λανθάνειν ἤθελεν. ἃ δὲ πράττων οἴκοι διεβάλλετο, ταῦτα καὶ δημοσίᾳ δείξας ἐτόλμησεν· εἰς τοσοῦτόν τε μανίας καὶ παροινίας προὐχώρησεν· ὡς πρῶτον μὲν τὴν πατρῴαν προσηγορίαν παραιτήσασθαι, ἀντὶ δὲ Κομμόδου, καὶ Μάρκου υἱοῦ, [2] Ἡρακλέα τε καὶ Διὸς υἱὸν αὐτὸν κελεύσας καλεῖσθαι. ἀποδυσάμενός τε τὸ Ῥωμαίων καὶ βασίλειον σχῆμα, λεοντῆν ὑπεστρώννυτο, καὶ [3] ῥόπαλον μετὰ χεῖρας φέρειν, ἀμφιέννυτό τε ἁλουργεῖς καὶ χρυσοϋφεῖς ἐσθῆτας, ὡς εἶναι καταγέλαστον αὐτόν, καὶ ὑφ᾽ ἑνὶ σχήματι θηλειῶν πολυτέλειαν καὶ ἡρώων ἰσχὺν μιμούμενον. τοιοῦτος μὲν δὴ προϊὼν ἐφαίνετο. ἤλλαξε δὲ καὶ τῶν [4] ἐνιαυσιαίων μηνῶν τὰ ὀνόματα, ὅσα μὲν ἀρχαῖα καταλύσας, πάντας δὲ ταῖς ἑαυτοῦ

Enimvero plurimis maximisque incommoditatibus laborante civitate, non jam ut antea multitudo, benevolè Commodum aspicere, sed referre omnes ejus calamitatis causam in illius injustos actus, & reliqua vitæ crimina. Siquidem neque latebant populum scelera hominis, neque latere ipse volebat: sed quæ domi non sine infamia patrabantur, ea etiam in publicum ostentare haud verebatur, eoque vecordiæ petulantiæque processit, ut paternum primo cognomen repudiaret, ac pro Commodo Marci filio, Herculem se Jovis filium jusserit appellari: depositoque principum Romanorum cultu, leonis pellem substerneret, manuque clavam gestaret: simul purpureas sibi atque auro intextas vestes circundaret, non sine omnium irrisione. Quippe eodem schemate & feminarum luxum, & heroum virtutem repræsentabat. Talem se videlicet quotidie præstabat. Idemque mensium nomina demutavit, ac pro vetustis appellationibus novas de

1. Ἦν δὲ ἁπάντων νοσημάτων καὶ κακουργημάτων χαλεπώτερος Ῥωμαίοις ὁ Κόμμοδος. *Xiphil.*

2. Appellatus est etiam Romanus Hercules, quod feras Lanuvii in amphitheatro occidisset. *Lamprid.*

3. Ἡρακλέος ῥοπάλῳ παίων ἀπέκτεινε. *Zonaras.*

4. Quorum series ita se habet. Ἀμαζόνιος, Januarius, & sic deinceps. Ἀνίκητος, Εὐτυχὴς, Εὐσεβὴς, Λούκιος, Αἴλιος, Αὐρήλιος, Κόμμοδος, Αὔγουστος, Ἡράκλειος, Ῥωμαῖος, Ὑπεραίρων. Quanquam ordinem hunc interturbat Casaubonus, & Commodianum annum à primo prænomine, Lucio sc. auspicari contendit. Dioni & Zonaræ secum in hoc calculo magis convenit.

suis

ſuis cognominibus impoſuit, quorum ad Herculem pleraque tanquam ſcilicet ad fortiſſimum referebantur. Quin ſtatuas quoque ſibi tota urbe poni juſſit, inque iis unam pro curia, quæ arcum contenderet, ut etiam imagines ipſæ terrores atque minas præ ſe ferrent, quam dein tamen ſenatus poſt illius obitum ſuſtulit, proque ea libertatis imaginem repoſuit.

XLVII. Commodus autem cum temperare jam ſibi ultra non poſſet, publice ſpectacula edere profeſſus, omnes ſe ſua manu feras occiſurum pollicebatur, & cum fortiſſimis quibuſq; juvenum ſingulari certamine depugnaturum. Ea cum rumoribus celebrarentur, concurrebant ex Italia omni ac finitimis gentibus univerſi ad id ſpectaculum, quod nec antea oculis uſurpaverant, neq; unquam fando audiverant. Siquidem ita eſſe certa manus illius dicebatur, ut quodcunq; deſtinaret, jaculo ſagittave contingeret. Erantq; cum illo aſſidue Parthorum lectiſſimi ſagittarii, ac Numidæ jaculatores, quos ille tamen omnes longe artificio ſuperabat. Ubi autem ſpectaculi dies adfuit, pleno amphitheatro exædificatus Commodo peridromus fuerat, per quem decurrere in orbem poſſet, ne comminus cum beſtiis pugnans periclitaretur, ſed ſuperne ac de tuto loco tela jaciendo, jaculandi potius ſcientiam quam fortitudinem oſtentaret. Cervos igitur & damas, item cornigera alia præter tauros, currens pariter ipſe, atq; inſequens impetebat, ac præ-

προσηγορείαις ὀνομάσας. ὧν αἱ πλεῖσται εἰς Ηρακλέα δῆθεν, ὡς ἀνδρειότατον, ἀντεφέροντο. ἔστησε δὲ καὶ ἀνδριάντας αὐτοῦ κατὰ πᾶσαν τὴν πόλιν, ἀλλὰ μὴν καὶ ἀντικρὺ τοῦ τῆς συγκλήτου συνεδρίου τόξον διηγκυλημένον· ἐβούλετο γὰρ δὴ καὶ τὰς εἰκόνας αὐτοῦ φόβον ἀπειλεῖν. Τὸν μὲν οὖν ἀνδριάντα μετὰ τὴν ἐκείνου τελευτὴν καθελοῦσα ἡ σύγκλητος, Ελευθερείας εἰκόνα ἱδρύσατο.

μζʹ. Ο δὲ Κόμμοδος μηκέτι κατέχων ἑαυτοῦ δημοσίᾳ θέας ἐπετέλεσεν, ὑποσχόμενος τά τε θηρία πάντα ἰδίᾳ χειρὶ κατακτείνειν, καὶ τοῖς ἀνδρειοτάτοις τῶν νεανιῶν μονομαχήσειν. διαδραμούσης δὲ τῆς φήμης, συνέθεον ἔκ τε τῆς Ιταλίας πάσης καὶ τῶν ὁμόρων ἐθνῶν, θεασόμενοι ἃ μὴ πρότερον μήτε ἑωράκεσαν, μήτε ἠκηκόεισαν. καὶ γὰρ διηγγέλλετο αὐτοῦ τῆς χειρὸς τὸ εὔστοχον, καὶ ὅτι ἔμελλεν αὐτοῦ ἀκοντίζοντι καὶ τοξεύοντι μὴ παίειν. συνῆσαν δὲ παιδεύοντες αὐτὸν Παρθυαίων οἱ τοξικὴν ἀκριβοῦντες, καὶ Μαυρουσίων οἱ ἀκοντίζειν ἄριστοι, οὓς πάντας εὐχειρίᾳ ὑπερέβαλλεν. ἐπεὶ δὲ κατέλαβον αἱ τῆς θέας ἡμέραι, τὸ μὲν ἀμφιθέατρον πεπλήρωτο. τῷ δὲ Κομμόδῳ περίδρομος κύκλῳ κατεσκεύαστο, ὡς μὴ συστάδην τοῖς θηρίοις μαχόμενος κινδυνεύοι, ἄνωθεν δὲ καὶ ἐξ ἀσφαλοῦς ἀκοντίζων, εὐτοξίας μᾶλλον ἢ ἀνδρείας παρέχοιτο δεῖξιν. ἐλάφους μὲν οὖν καὶ δορκάδας, ὅσα τε κερασφόρα, πλὴν ταύρων, συνθέων αὐτοῖς, καὶ καταδιώκων ἔβαλλε, φθάνων τε αὐ-

τῶν

τῷ τὸν δρόμον, καὶ πληγαῖς καιρίοις ἀναιρῶν. λέοντας δὲ καὶ παρδάλεις, ὅσα τε ζῷα γενναῖα περιθέων ἄνωθεν κατηκόντιζεν. οὐδὲ τις εἶδεν ἀκόντιον δεύτερον, οὐδὲ τραῦμα ἄλλο, πλὴν τοῦ θανατηφόρου. ἅμα γὰρ τῇ τοῦ ζῴου ὁρμῇ, κατά τε μετώπου ἢ κατὰ καρδίας ἔφερε τὴν πληγήν. καὶ οὐδέποτε σκοπὸν ἄλλον εἶχεν, οὐδὲ ἐπ' ἄλλο μέρος ἦλθε τὸ ἀκόντιον τοῦ σώματος, ὡς μὴ ἅμα τε τρῶσαι καὶ φονεῦσαι. τὰ δὲ πανταχόθεν ζῷα ἠθροίζετο αὐτῷ. Τότε γοῦν εἴδομεν, ὅσα ἐν γραφαῖς ἐθαυμάζομεν. ἀπό τε γὰρ Ἰνδῶν καὶ Αἰθιόπων, εἴ τι πρότερον ἄγνωστον ἦν, μεσημβρίας τε καὶ τῆς ἀρκτῴας γῆς ζῷα πάντα φονεύων Ῥωμαίοις ἔδειξε. Τὸ δ' εὔστοχον τῆς χειρὸς αὐτοῦ πάντες ἐξεπλήττοντο. Λαβὼν γοῦν ποτε βέλη ὧν αἱ ἀκμαὶ ἦσαν μηνοειδεῖς, τὰς Μαυρουσίας στρουθοὺς ὀξύτατα φερομένας καὶ ποδῶν τάχει καὶ κολπώσει πτερῶν, ἐπαφιεὶς τὰ βέλη κατ' ἄκρον τοῦ τραχήλου, ἐκαρατόμει, ὡς τῶν κεφαλῶν ἀφῃρημένας, ὁρμῇ τοῦ βέλους ἔτι περιθεῖν αὐτὰς, ὡς μηδὲν παθούσας. παρδάλεως δέ ποτε ὀξυτάτῳ δρόμῳ τὸν ἐκκαλούμενον καταλαβούσης, φθάσας τῷ ἀκοντίῳ μέλλουσαν δήξεσθαι, τὴν μὲν ἀπέκτεινε, τὸν δ' ἐρρύσατο, φθάσας τῇ τοῦ δόρατος αἰχμῇ τὴν τῶν ὀδόντων

venta fuga certissimis ictibus prosternebat. Leones vero & pantheras, aliaq; id genus nobilissima animalia, currens in orbem superne jaculis confodiebat, sic ut nec telum quisquam secundum, nec vulnus viderit nisi letiferum. Nam ut primum se fera concitaverat, statim illam vel in fronte, vel in corde sauciabat, nullo præterea usus scopo, neq; ad aliam corporis partem telo destinato, sic ut pariter cum vulnere ipso conficeretur. Cæterum bestiæ conquirebantur undique, ac tum primum vidimus, quæ antea in picturis mirabamur. Quippe ex India, Æthiopiaque, itemque à meridie & à septentrionibus quicquid incognitum prioribus seculis fuerat, confecit ille pariter, atq; ostendit, nullo non obstupefacto, tam certa illa manu, tamq; nusquam telis oberrantibus. Idem aliquando sagittas lunatæ cuspidis in Maurusias struthos intorquebat, quæ & pedum celeritate, & alarum quasi velis ocyssimè ferebantur, sic ut summum contingeret collum, atq; ita capita amputaret, ut exsectis cervicibus (qui teli impetus fuerat) aliquamdiu tamen viventibus similem cursum continuarent. Quin & pantheram quæ scilicet eductum quendam in harenam cursu acerrimo comprehenderat, sic ut jam jam laniatura videretur; ita opportuno vulnere consequutus est, ut interfecta bellua hominem servaverit, ac dentium quoq; aciem cuspide ipsa jaculi præve-

1. Avium grandissimi & pæne bestiarum generis, Struthiocameli Africi vel Æthiopici, altitudinem equitis insidentis equo excedunt, celeritate vincunt; ad hoc demum datis pennis ut currentes adjuvent. *Plinius Sen.*

niret.

niret. Leones item cavea centum eductos, totidem missilibus universos occidit, ita suo ordine jacentibus corporibus ut numerari facillime singula possent, nullo scilicet supervacuo incidente telo.

ἀκμῇ. λεόντων δέ ποτε ἐξ ὑπογαίων ἑκατὸν ἀναρριφθέντων, ἰσαρίθμοις ἀκοντίοις πάντας ἀπέκτεινεν, ὡς ἐπὶ πολὺ κειμένων τῶν πτωμάτων, δι' αὐτὸ τοῦτο ἐπὶ σχολῆς πάντας ἀριθμῆσαι, καὶ μηδὲν ἰδεῖν περιττὸν ἀκόντιον.

XLVIII. Hactenus igitur quæ gerebantur, quamvis à principe aliena viderentur, tamen quoniam fortitudinem, scientiamq; præ se ferrent, popularem quandam gratiam emerebantur. Verum ubi jam nudus ingressus amphitheatrum est, sumtisque armis numeros gladiatorios implebat, tum vero triste Romano populo spectaculum id visum; nobilissimum imperatorem post tam multos parentis sui, majorumque triumphos, non quidem adversus Barbaros arma capere militaria, vel Romanorum imperio congruentia, sed amplissimam dignitatem, turpissimo fœdissimoque cultu contaminare. Facile autem dimicans suos compares superabat: neq; tamen ultra vulnera procedebat, dante unoquoque manus, atque imperatorem potius quàm gladiatorem agnoscente. Eoque vesaniæ profectus est, ut deserere principalem aulam, atque in ludum gladiatorium migrare instituerct: neque se amplius Herculem appellari patiebatur, adoptato nobilissimi gladiatoris nomine, qui jam vita excessisset: quin simulachro illi

μη'. Μέχρι μὲν τούτων, εἰ καὶ βασιλείας τὰ πραττόμενα ἦν ἀλλότρια, πλὴν ἀνδρείας καὶ εὐστοχίας, παρὰ τοῖς δημώδεσιν εἶχέ τινα χάριν. ἐπεὶ δὲ καὶ γυμνὸς εἰς τὸ ἀμφιθέατρον εἰσῆλθεν, ὅπλα τε ἀναλαβὼν, ἐμονομάχει, τότε σκυθρωπὸν εἶδεν ὁ δῆμος θέαμα· τὸν εὐγενῆ καὶ Ῥωμαίων βασιλέα, μετὰ τοσαῦτα τρόπαια πατρός τε καὶ προγόνων, οὐκ ἐπὶ βαρβάροις ὅπλα λαμβάνοντα στρατιωτικὰ, ἢ Ῥωμαίων ἀρχῇ πρέποντα, καθυβρίζοντα δὲ τὸ ἀξίωμα, αἰσχίστῳ καὶ μεμιασμένῳ σχήματι. ὁ μὲν οὖν μονομαχῶν, ῥᾳδίως τῶν ἀνταγωνιστῶν περιεγένετο, καὶ μέχρι τραυμάτων προεχώρει, ὑπεικόντων ἁπάντων, καὶ τὸν βασιλέα οὐ τὸν μονομάχον ἐννοούντων. εἰς τοσοῦτον δὲ προεχώρησε μανίας, ὡς μηκέτι βούλεσθαι, μὴ δὲ τὴν βασίλειον ἑστίαν οἰκεῖν. ἀλλὰ γὰρ μετοικισθῆναι ἐβούλετο εἰς τὸ τῶν μονομάχων καταγώγιον. ἑαυτὸν δὲ οὐκέτι Ἡρακλέα, ἀλλὰ τῶν μονομαχούντων [1] ἐνδόξου τινὸς, προτετελευτηκότος ὀνόματι καλεῖσθαι προσέταξε. τοῦ δὲ μεγίστου ἀγάλματος

1. Appellatus est sane inter cætera triumphalia nomina, sexcenties vicies Palus primus sequutorum. *Lamprid.* quem Lampridii locum (Dione licet suffragante) ita immutandum censet Salmasius, ut legi debeat [Πρωτόπαλος] qui is est cujus sors in gladiatorio munere primo exit.

1 κολοσ-

[1] κολοσσιαίου, ὅπερ σέβουσι Ῥωμαῖοι, εἰκόνα φέρον ἡλίου, τὴν κεφαλὴν ἀποτεμών, ἱδρύσατο ἑαυτοῦ, ὑπογράψας τῇ βάσει, οὐχ ἃς εἰώθασι βασιλικὰς καὶ πατρῴους προσηγορίας· ἀντὶ δὲ Γερμανικοῦ, [2] μονομάχους χιλίους νικήσαντος.

μθʹ. Ἔδει δὲ ἄρα ποτὲ κἀκεῖνον παύσασθαι μεμηνότα, καὶ τὴν Ῥωμαίων ἀρχὴν τυραννουμένην· νέου μὲν γὰρ ἔτους τῆς ἐπιούσης ἔμελλεν ἡμέρας, σέβουσί τε τὴν ἑορτὴν Ῥωμαῖοι, εἰς θεὸν ἀρχαιότατον, τῆς Ἰταλίας ἐπιχώριον ἀναφέροντες. φασὶ γὰρ αὐτοῦ καὶ Κρόνον ὑπὸ Διὸς ἐκβληθέντα τῆς ἀρχῆς, κατελθόντα εἰς γῆν, γενέσθαι ξένον, δεδιότα δὲ τὴν τοῦ παιδὸς δυναστείαν, παρ᾽ αὐτῷ κρυπτόμενον λαθεῖν; ὅθεν καὶ τὸ ὄνομα δοθῆναι τῷ χώρῳ τῆς Ἰταλίας, Λάτιόν τε κληθῆναι, ἀπὸ τῆς ἑλλάδος φωνῆς εἰς τὴν ἐπιχώριον παραχθέν. διά ταῦτά τοι καὶ μέχρι νῦν Ἰταλιῶται, τὰ μὲν Κρόνια προεορτάζουσι θεῷ τῷ λαθόντι· τὴν δὲ τοῦ ἔτους ἀρχήν, ἱερομηνίαν ἄγουσι τῷ τῆς Ἰταλίας ἔθει. διπρόσωπον δὲ αὐτοῦ ἵδρυται τὸ ἄγαλμα, ἐπειδὴ εἰς αὐτὸν ὁ ἐνιαυτὸς ἄρχεταί τε καὶ παύεται. ταύτης δὲ τῆς ἑορτῆς προϊούσης, ἐν ᾗ μάλιστα Ῥωμαῖοι δεξιοῦνταί τε ἀλλήλους καὶ προσαγορεύουσι, [3] νομισμάτων τε ἀντιδόσεσι καὶ κοινωνίᾳ τῶν γῆς καὶ θαλάττης καλῶν εὐφραίνουσιν αὑτούς, ἀρχαί τε [4] ἐπώνυμοι τότε πρῶτον τὴν ἔνδοξον καὶ ἐνιαύσιον

Colosseo, quod Romanis venerabile est, Solis effigiem gerens, capite demto suum imposuit, atque in basi subscripsit, non quos consuesset imperatoris paternosque titulos, sed pro Germanico, mille gladiatorum victorem.

XLIX. Cæterum ipsum quoque desinere aliquando ab sua vecordia, & civitatem tyrannide liberari oportebat, idque anno ineunte, quem diem Romani festum agunt, ad Janum, vetustissimum Italiæ Deum referentes: cujus etiam Saturnum ipsum ab Jove filio pulsum fuisse hospitem prædicant: & quod ibi latuisset, nomen Latio inditum. Quocirca etiam nunc Romani Saturnalia prius, dein vero initium anni more suo concelebrant. Estque ejus Dei biceps imago, ut à quo incipit, & in quem desinit annus. Cum igitur hunc diem festum civitas agitaret, in quo Romani invicem se colunt, salutantque, & nomismata alter alteri, cæteraque omnifariam munera missitant, summique magistratus conspicuam

1. Colossi autem caput demsit quod Neronis esset, ac suum imposuit, & titulum more solito subscripsit. *Lamprid.* ut merito existimet Casaubonus tollendam negativam particulam [οὐχ] proxime sequentem.

2. In literas refertur tantum palmaram gladiatoriarum confecisse vel victis retiariis vel occisis, ut mille contingeret. *Lamprid.*

3. De strenis ex mutuo comitatis officio datis & acceptis, vulgata omnia.

4. Consules, quorum nomina illo anno fastis præscribebantur.

sibi

sibi & solennem purpuram induunt. Universis diem concelebrantibus, statuit Commodus non quidem ex imperatoriis (ut mos erat) ædibus, sed ex ipso gladiatorio ludo prodire in publicum; ac pro eleganti vestitu, purpuraque imperatoria procedere armatus, deducente gladiatorum agmine, in conspectum Romani populi.

L. Quod ubi consilium suum ad Martiam retulit, unam è suis concubinis, cui scilicet plurimum deferebat, ac prope uxoris eam loco habebat, sic, ut præter ignem, omnes honores velut Augustæ tribuerentur. Intellecto mulier tam absurdo turpique consilio, orare multis lacrimis, supplexque ad genua accidere, ne aut Romanum imperium pollui pateretur, aut ipse vitam suam perditis ac deploratis hominibus tam periculosè committeret. Sed cum nihil profecisset, lacrimans discessit.

LI. Ille præfectum exercitibus, Lætum nomine, & Electum cubiculi custodem, ad se accitos, parare jubet in ludo ipso gladiatorio, quo se dormitum recipiat, ut illinc ad sacrificandum mane procederet, ac se armatum Romano populo ostentaret. Illi multis precibus persuadere tentabant, ne quid indignum principe conaretur.

[1] πορφύραν περιτίθενται. πάντων ἑορταζόντων, ὁ Κόμμοδος ἐβουλεύετο, οὐκ ἐκ τῆς βασιλείου, ὡς ἔθος, προελθεῖν οἰκίας, ἀλλ' ἐκ τῆς τῶν μονομάχων καταγωγίου. ἀντὶ δὲ τῆς εὐπαρύφου καὶ βασιλικῆς πορφύρας, ὅπλα τε αὐτὸς φέρων, καὶ συμπαριόντων τῶν λοιπῶν μονομάχων ὀφθῆναι τοῖς Ῥωμαίοις.

ν'. Επεὶ δὲ τὴν γνώμην αὐτοῦ ταύτην ἀνήνεγκε πρὸς Μαρκίαν ἣν εἶχε τῶν παλλακίδων τιμιωτάτην, ἣ οὐδέν τι ἀπεῖχε γαμετῆς γυναικός, ἀλλὰ πάντα ὑπῆρχεν ὅσα Σεβαστῇ, πλὴν τοῦ [2] πυρός· ἡ μαθοῦσα τὴν παράλογον οὕτω καὶ ἀπρεπῆ βούλησιν αὐτοῦ, τὰ πρῶτα ἐλιπάρει, καὶ προσπίπτουσα, μετὰ δακρύων ἐδεῖτο, μήτε τὴν Ῥωμαίων ἀρχὴν καθυβρίσαι, μήθ' ἑαυτὸν ἐπιδόντα μονομάχοις καὶ ἀπεγνωσμένοις ἀνθρώποις, κινδυνεῦσαι. ἐπεὶ δὲ πολλὰ ἱκετεύουσα οὐκ ἐτύγχανεν αὐτοῦ, ἡ μὲν δακρύουσα ἀπέστη.

να'. Ο δὲ Κόμμοδος μεταπεμψάμενος Λαῖτον, τὸν ἔπαρχον τῶν στρατοπέδων, Εκλεκτόν τε, τὸν τῶν θαλάμων προεστῶτα, ἐκέλευεν αὐτοῦ παρασκευάσαι, ὡς διανυκτερεύσων ἐν τῷ μονομάχων καταγωγίῳ, κἀκεῖθεν προελευσόμενος ἐπὶ τὰς θυσίας τῆς ἱερομηνίας, ὡς Ῥωμαίοις ἔνοπλος ὀφθείη. οἱ δ' ἱκέτευον, καὶ πείθειν ἐπειρῶντο, μηδὲν ἀνάξιον τῆς βασιλείας ποιεῖν.

1. Festis Saturni diebus servatum est, magistratus purpuram induere, reliquos in veste candidâ diem concelebrare. *Alex. ab Alex. lib.* 2. *c.* 22. *ubi de Saturnalibus, si libet, plura.*

2. Vide supra, cap. 20.

νβ'. Ο

νβʹ. Ὁ δὲ Κόμμοδος ἀσχάλλων, τοὺς μὲν ἀπεπέμψατο, αὐτὸς δὲ ἐπανελθὼν εἰς τὸ δωμάτιον, ὡς δὴ καθευδήσων (καὶ γὰρ μεσημβρίας εἰώθει τοῦτο ποιεῖν) λαβὼν γραμματεῖον τούτων δὴ τῶν [1] ἐκ φιλύρας εἰς λεπτότητα ἠσκημένων, ἐπαλλήλῳ τε ἀνακλάσει ἀμφοτέρωθεν ἐπτυγμένων, γράφει οὓς χρὴ τῆς νυκτὸς φονευθῆναι. ὧν πρώτη μὲν ἦν Μαρκία. εἵποντο δὲ Λαῖτός τε καὶ Ἔκλεκτος. ἐπὶ δὲ τούτοις πολὺ πλῆθος τῶν συγκλήτου πρωτευόντων. τοὺς μὲν γὰρ πρεσβυτέρους, καὶ λοιποὺς πατρῴους φίλους ἀποσκεδάσασθαι πάντας ἤθελεν, [2] αἰδούμενος ἔχειν αἰσχρῶν ἔργων σεμνοὺς ἐπόπτας. τῶν δὲ πλουσίων τὰς οὐσίας χαρίσασθαι ἐβούλετο, μερίσαι τε εἰς τοὺς στρατιώτας καὶ τοὺς μονομαχοῦντας· τοὺς μὲν, ἵνα φυλάττοιεν αὐτόν· τοὺς δὲ, ἵνα τέρποιεν.

νγʹ. Γράψας δὴ γραμματεῖον, τίθησιν ἐπὶ τοῦ σκίμποδος, οἰηθεὶς μηδένα ἐκεῖθεν εἰσελεύσεσθαι. ἦν δὲ καὶ παιδίον πάνυ νήπιον, [3] τούτων δὴ τῶν γυμνῶν μὲν ἐσθῆτος, χρυσῷ δὲ καὶ λίθοις πολυτίμοις κεκοσμημένων, οἷς ἀεὶ χαίρουσι Ῥωμαίων οἱ τρυφῶντες. ὑπερηγάπα δὲ αὐτὸ Κόμμοδος, ὡς συγκαθεύδειν πολλάκις. Φιλοκόμμοδός τε ἐκαλεῖτο, δεικνυούσης καὶ τῆς προσηγ-

LII. Quibus Commodus ira percitus, facessere ab se jussis: statim in cubiculum reversus, ut quemadmodum consueverat, meridiaretur, sumto in manus libello, quales de philyra tenuissimi, atque in utranque partem replicabiles fiunt, conscribit in eo quoscunque illa nocte interficere destinaverat. Ex quibus prima erat Martia, mox Lætus atque Electus: post hos ingens eorum numerus, qui plurimum autoritatis in senatu obtinebant. Siquidem senes universos paternos amicos tollere è medio, ne censura illorum sua interpellarentur flagitia; bonaque ipsa divitum dilargiri partim militibus, partim gladiatoribus decreverat, ut alteri se defenderent, alteri oblectarent.

LIII. Eum igitur libellum ita conscriptum, supra lectulum deposuit, neminem ad se introiturum suspectans. Erat autem pusio quidem infans adhuc ex ea nota, qui vestitu cætero nudi, sed auro gemmisque ornati, solent delicatissimo cuique Romanorum esse oblectamento. Is ita Commodo carus erat, ut cum illo sæpe etiam cubaret, ac Philocommodus appellaretur: ipso

1. Postea scribi cæptum in tenuioribus arborum philyris, quæ inter ipsam corticem & arboris lignum sunt, & Latinis *libri* dicuntur. Panciroll. cap. de chartæ invent. lib. 2.

2. Adhibitos custodes vitæ suæ honestiores ferre non potuit. *Lampr.*

3. Παιδίον τι τῶν ψιθύρων οἷα αἱ γυναῖκες γυμνὰ, ὡς πλῆθος, ἀθύρουσαι τρέφουσι. *Dio lib.* 58. *de nuptiis Liviæ & Augusti loquens.*

indi-

indicante nomine amorem principis. Hic itaque puer forte ludibundus, occupato inter balnea & crapulas Commodo, cubiculum (ut consueverat) ingressus, sumto in manus libello, quîcum lusitaret, foras processit. Ac sorte quadam in Martiam incidit, quæ cum puerum etiam ipsa diligeret, complexa prius atque deosculata, libellum manu aufert, verita ne quid ob infantiam inscius puer rerum fortasse graviorum labefaceret. Agnita dein Commodi manu, ac legendi cupidine illecta, ubi funesta contineri, ac se primam peti intellexit, Lætumque & Electum subsequi, tantamque reliquorum futuram cædem, hæc secum ingemiscens consusurrabat. Euge, Commode, hæccine præmia benevolentiæ amorisque sunt? ita scilicet de te merui, cum tam multos annos contumelias, ebrietatemque tuam pertuli? Sed nequaquam tibi hæc ita successerint, viro temulento adversus sobriam mulierem. His dictis Electum ad se arcessit, quem etiam ipsa aliquando per se convenire, utpote cubiculi custodem, solita, & cum eo quoque stupri habuisse consuetudinem credebatur: traditoque in manus libello. Vide (inquit) Electe, cujusmodi sumus hac nocte festum celebraturi.

γορίας τὴν στοργὴν, τὴν εἰς τὸν παῖδα τοῦ βασιλέως. τὸ δὴ παιδίον τοῦτο ἔξω ἀθύρον, προελθόντος τοῦ Κομμόδου ἐπὶ τὰ συνήθη λουτρά τε καὶ κραιπάλας, εἰσδραμὸν εἰς τὸν θάλαμον, ὥσπερ εἰώθει, τὸ γραμματεῖον ἐπὶ τοῦ σκίμποδος κείμενον, ἀνελόμενον, ἵνα δὴ παίζειν ἔχοι, [1] πρόεισι τοῦ οἴκου. κατὰ δέ τινα δαίμονα, συναντᾷ τῇ Μαρκίᾳ. ἡ δὲ (καὶ αὕτη γὰρ ἔστεργε τὸ παιδίον) περιπλέξασα καὶ φιλοῦσα, τὸ γραμματεῖον ἀφαιρεῖται, δεδοικυῖα δὴ, μή τι τῶν ἀναγκαίων, ὑπὸ νηπιότητος ἀγνοοῦν, παῖζον διαφθείρῃ. γνωρίσασα δὲ τὴν Κομμόδου χεῖρα, ταύτῃ καὶ μᾶλλον ἐσπούδαζε διεξελθεῖν τὴν γραφήν. ἐπεὶ δὲ εὗρεν αὐτὸ θανατηφόρον, καὶ πρὸ ἁπάντων αὐτήν τε μέλλουσαν τεθνήξεσθαι, Λαῖτόν τε καὶ Εκλεκτον ἐπακολουθήσοντας, τόν τε λοιπῶν τοιοῦτον φόνον ἀνοιμώξασα, καθ' ἑαυτήν τε εἰποῦσα· Εὖγε ὦ Κόμμοδε, ταῦτα χαριστήρια εὐνοίας τε καὶ στοργῆς, ὕβρεώς τε καὶ παροινίας τῆς σῆς, ἧς ἐτῶν τοσούτων ἠνεσχόμην; ἀλλ' οὐ καταπροΐξῃ αὐτὸς, μεθύων νηφούσης γυναικός. Ταῦτα εἰποῦσα τὸν Εκλεκτον μεταπέμπεται. ἔθος δὲ ἦν αὐτῷ προσιέναι, ἅτε τοῦ θαλάμου φύλακι, ἔτι τε καὶ ἐπὶ συνουσίᾳ αὐτοῦ διεβάλλετο. δοῦσα δὲ τὸ γραμματεῖον, ὅρα (ἔφη) ποίαν μέλλομεν παννυχίζειν ἑορτήν. ὁ δὲ Εκλεκτος ἀ-

1. Multos præterea paraverat interimere, quod per parvulum quendam proditum est, qui tabulam è cubiculo ejecit, in quâ occidendorum erant nomina scripta. *Lamprid.*

ναγνοὺς τε καὶ ἐκπλαγεὶς, (ἦν δὲ τὸ γένος Αἰγύπτιος, τολμῆσαί τε ἅμα καὶ δρᾶσαι θυμῷ τε δουλεῦσαι πεφυκὼς) κατασημηνάμενος οὖν τὸ γραμματεῖον, διά τινος τῶν ἑαυτῷ πιστῶν ἀναγνωσθησόμενον πέμπει τῷ Λαίτῳ· ὁ δὲ καὶ αὐτὸς ταραχθεὶς, ἀφικνεῖται πρὸς Μαρκίαν, ὡς δὴ συσκεψόμενος αὐτοῖς περὶ ὧν ἐκέλευσεν ὁ βασιλεὺς, καὶ τῆς τῶν μονομάχων καταγωγῆς· προσποιησάμενοι δὲ περὶ τῶν ἐκείνῳ διαφερόντων σκέπτεσθαι, συντίθενται φθάσαι τι δρᾶσαι, [1] ἢ παθεῖν, οὐδὲ καιρὸν εἶναι μελλήσεως, ἢ ἀναβολῆς.

νδʹ. Ἀρέσκει δὴ δοῦναι φάρμακον δηλητήριον τῷ Κομμόδῳ, ὑπέσχετο δ' αὐτὸ ῥᾷστα δώσειν ἡ Μαρκία, εἰώθει γὰρ αὐτὴ κιρνᾶναί τε, καὶ διδόναι τὴν πρώτην πόσιν, ὡς ἥδιον πίοι παρ' ἐρωμένης. ἐλθόντι δὲ αὐτῷ ἀπὸ τοῦ λουτροῦ, ἐμβαλοῦσα εἰς κύλικα τοῦ φαρμάκου, οἴνῳ τε κεράσασα εὐώδει δίδωσιν. ὁ δ' ὡς συνήθη φιλοτησίαν, μετὰ πολλὰ λουτρὰ καὶ γυμνάσια τὰ πρὸς θηρία διψῶν, ἔπιεν ἀναισθήτως. εὐθέως δὲ κάρος ἐπέπεσεν αὐτῷ, εἰς ὕπνον τε καθελκόμενος, ὑπὸ καμάτου πάσχειν οἰηθεὶς, ἀνεπαύσατο. Ὁ δὲ Ἔκλεκτος καὶ Μαρκία, πάντας ἀποστῆναι κελεύσαντες, εἰς τε τὰ οἰκεῖα ἀπιέναι, ἡσυχίαν δὴ παρεσκεύαζον αὐτῷ. εἰώθει δὲ καὶ ἐπὶ ἄλλων τοῦτο πάσχειν ὁ Κόμμοδος, ὑπὸ κραιπάλης. πολλάκις γὰρ λουόμενος, καὶ πολλάκις ἐσθίων, οὐδένα καιρὸν εἶχεν εἰς ἀνάπαυσιν

Is eo lecto expavefactus (erat autem Ægyptius genere, audax homo, ac promtus & irasci facilis) statim signatum libellum, per hominem sibi fidum, Læto legendum mittit. Qui item exterritus, ad Martiam contendit, simulans de iis ire se consultatum, quæ ad concinnandum ex jussu principis ludum gladiatorium pertinerent. Hoc igitur usi prætextu, constituunt aut faciendum sibi quamprimùm, aut patiendum aliquid: nullum moræ locum, nullum procrastinationi esse.

LIV. Placitum autem est, rem veneno agi: quod se facilè daturam, Martia recepit. Quippe solita primum illi miscere atque offerre poculum, ut ab amica porrectum suavius biberetur. Igitur redeunti ex balneis conmixtum vino odoratissimo venenum in calice obtulit. Ille diu lavando, venandoque collecta siti, veluti de more propinatum sibi, temerè interbibit. Quare statim capitis gravedine occupatus, atq; in soporem prolapsus, cum id ex labore accidisse opinaretur, quieti se tradidit. Electus autem & Martia recedere omnes confestim, & suam quemq; domum reverti jubent, ne somni indigum Commodum expergefacerent. id autem aliàs quoque ex ebrietate nimia facere consueverat. Nam cum vel balneis, vel epulis operam daret, nullum scilicet habebat præstitutum quieti tempus. Ete-

1. Forte μᾶλλον ἢ παθεῖν.

nim

nim aliæ ex aliis voluptates, eæque inter se maximè diversæ, servire sibi hominem etiam invitum quocunque tempore subigebant. Pauxillum igitur cum requievisset, ac jam se ad stomachum & aluum veneni vis insinuasset, oborta vertigine, vomitus & quidem affatim consecutus est, sive ipso cibo, quem largiter ante sumsisset, multaque meri potione virus expellente: seu quoniam principibus mos est, antequam cibum capiant, medicamento uti, quo venena prohibeantur.

LV. Cæterùm cum multum evomuisset, veriti illi ne veneno quoque omni ejecto, colligeret sese, utque unà omnes cædi imperaret, persuaserunt magna mercede Narcisso cuidam audaci strenuoque adolescenti, ut ipsum in cubiculo strangularet. Hic irrumpens illum & veneno & crapulâ languescentem constricto gutture interficit. Hunc finem vitæ Commodus habuit, tredecim annos post parentis obitum imperio administrato: unus omnium ante se imperatorum nobilissimus, omniumque ejus ætatis hominum formosissimus. Quod si dicendum de fortitudine quoque est, ne in hoc quidem cuiquam, præsertim destinandis ictibus, concessurus. Sed tamen totam vitæ rationem studiis (ut dictum est) fœdissimis contaminavit.

ὠθισμένον· ἀλλ' ἐπ' ἀλλήλοις καὶ διαφόροις συγκεχυμένος ἡδοναῖς, αἷς δὴ καταλαβούσῃ ὥρᾳ καὶ ἄκων ἐδούλευεν. ἐπ' ὀλίγον μὲν οὖν ἡσύχασε, περὶ στόμαχον δὲ καὶ κοιλίαν τοῦ φαρμάκου γενομένου, ἴλιγγός τε αὐτὸν καταλαμβάνει, ἔμετός τε πολὺς ἐπιγίγνεται, ἢ τῆς προεμπεφορημένης τροφῆς ἅμα ποτῷ πολλῷ ἐξωθούσης τὸ φάρμακον, ἢ διὰ τὸ προλαμβανόμενον (ὅπερ εἰώθασι βασιλεῖς ἑκάστοτε πρὸ πάσης τροφῆς λαμβάνειν) κώλυμα δηλητηρίων.

νε'. Πλὴν διὰ πολλοῦ γε ὄντος τοῦ ἐμέτου, φοβηθέντες μὴ πᾶν ἐξεμέσας τὸ φάρμακον ἀνανήψῃ, καὶ πάντες ἀπόλωνται, [1] νεανίαν τινὰ ὀνόματι Νάρκισσον, γενναῖόν τε καὶ ἀκμαστὴν, πείθουσιν εἰσελθόντα, τὸν Κόμμοδον ἀποπνίξαι, μεγάλα δώσειν ἔπαθλα ὑποσχόμενοι. ὁ δὲ εἰσδραμὼν παρειμένον αὐτὸν ὑπὸ τοῦ φαρμάκου καὶ μέθης, ἀποσφίγξας τὸν τράχηλον, φονεύει. τοιούτῳ μὲν τέλει βίου ὁ Κόμμοδος ἐχρήσατο, βασιλεύσας ἔτη τρισκαίδεκα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, εὐγενέστατός τε τῶν πρὸ αὐτοῦ γενομένων βασιλέων, κάλλει τε τῶν καθ' ἑαυτὸν ἀνθρώπων εὐπρεπέστατος. εἰ δέ τι δεῖ καὶ περὶ ἀνδρείας εἰπεῖν, οὐδενὸς ἥττων εὐστοχίᾳ τε καὶ εὐχειρίᾳ, εἰ μὴ τὴν τούτων εὐμοιρίαν αἰσχροῖς ἐπιτηδεύμασι κατῄσχυνεν ὡς προείρηται.

1. Primum ei venenum dederunt, quod cum minus operaretur, per Athletam, cum quo exerceri solebat, eum strangulaverunt. *Lamprid.*

ΗΡΩ.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΔΕΥΤΕΡΟΝ.

HERODIANI

LIBER SECUNDUS.

BREVIARIUM LIBRI SECUNDI.

OCciso Commodo, qui apoplexiâ periisse dicebatur, Pertinax, ut optimus, ad imperium eligitur: quod cum exoratus vix suscepisset, à populo, & milite, ac senatu Romano Augustus salutatur. Dein oratione habitâ, sacrisque factis, in aulam principalem se contulit. Posthac imperium æquissimè administravit: unde civibus carus, provinciis gratus, hostibus formidabilis fuit: verùm militibus, qui à rapinis prohibebantur, intolerabilis: unde illum conspiratione factâ obtruncant. Posthæc in castra se recipiunt, atque inde proclamant, Venale esse imperium Romanum. Id Julianus licitando emercatus est, ac turpissimè administravit: quare ad Nigrum, Syriæ præfectum, defertur, qui Antiochiæ illud sibi usurpavit. Sed cùm negligentius res ageret, Severus imperium arripuit, Pertinacis cædem se ulturum simulans. Igitur in Pannoniis Imperator salutatur: mox Romam contendit: ibi senatus imperium Severo, ac Juliano necem decernit: qui etiam à Tribuno interimitur. Severus itaque eos milites qui Pertinacem occiderant, exauctoravit: res imperii sibi vindicans, Albinum Britanniæ Præsidem sibi adjungens in Asiam profectionem contra Nigrum ingenti apparatu instituit.

ΑΝελόντες δὲ τὸν Κόμμοδον οἱ ἐπιβουλεύσαντες, ὡς ἐν πρώτῳ συντάγματι

OCciso Commodo, quemadmodum superiore volumine demonstravimus, cum celare

celare factum interfectores, & aulicas excubias fallere vellent, vili quodam ſtragulo involutum, conſtrictumque corpuſculum, ac duobus exploratæ fidei famulis impoſitum, ædibus exportandum, velut aliquid ſupervacuum ex cubiculi ſupellectile, curaverunt. Qui exportabant, per medios evaſere cuſtodes, partim ebrios, dormitanteſque, ac manu languida tenentes haſtilia: partim etiam ſocordes eorum, quæ ad ſe parum pertinere arbitrabantur. Ita corpus principis furtim elatum, ac per noctem vehiculo impoſitum, in Ariſteum miſerunt.

II. Lætus autem & Electus, Martiaque, quid agendum foret diu deliberato, tandem decernunt, ita, de ejus morte rumores ſerere, quaſi repente in apoplexiam incidiſſet: quod facile de illo creditum iri exiſtimabant, quem conſtabat identidem ſolitum immoderatis epulis ſaginari. Sed ante omnia tamen viſum eſt, aliquem provectum ætate, ac modeſtum hominem deligere ad imperium, per quem & ipſi incolumes forent, & omnes à ſæva immoderataque tyrannide reſpirarent. Igitur diu conſultato, neminem ſic idoneum invenerunt, ut Pertinacem.

τῆς ἱστορίας δεδήλωται, κρύψαι τε τὸ γενόμενον βουλόμενοι, ὡς ἂν τοὺς φυλάσσοντας τὴν βασίλειον αὐλὴν δορυφόρους λάθοιεν, εἱλίξαντες στρωμνῇ τινὶ εὐτελεῖ τὸ σωμάτιον καὶ καταδήσαντες, ἐπιθέντες δυσὶν οἰκέταις τῶν πιστῶν ἑαυτοῖς, ἐκπέμπουσιν, ὡς δή τι σκεῦος τῶν ἐκ τοῦ θαλάμου περιττῶν. οἱ δὲ φέροντες, διὰ μέσων ἐκφέρουσι τῶν φυλάκων. ὧν οἱ μὲν ὑπὸ μέθης ἐκραιπάλων, οἱ δὲ ἐγρηγορότες, κἀκεῖνοι εἰς ὕπνον κατεφέροντο, κατέχουσαι τε ταῖς χερσὶ τὰ δοράτια ἐπανεπαύοντο. οἶδ' οὐ πάνυ τὸ ἐκφερόμενον τοῦ θαλάμου, ὅτι πότ' εἴη, ἐπολυπραγμόνουν, ἐπεὶ μηδὲ αὐτοῖς διέφερε ταῦτ' εἰδέναι. τὸ μὲν οὖν σῶμα τοῦ βασιλέως οὕτω κλαπὲν ἐκκομισθέν τε τῆς αὐλείου θύρας, νύκτωρ ὀχήματι ἐπιθέντες, εἰς τὸ [1] Ἀριστεῖον ἀπέπεμψαν.

β'. Ὁ δὲ Λαῖτος, καὶ Ἔκλεκτος, ἅμα τῇ Μαρκίᾳ τὸ πρακτέον ἐβουλεύοντο. ἔδοξε δὲ αὐτοῖς περὶ μὲν τοῦ θανάτου φήμην ἐγκατασπεῖραι ὅτι δὴ αἰφνιδίως τετελευτήκοι, ἀποπληξίας ἐπιπεσούσης. καὶ γὰρ ἐνδεχομένην πίστιν ἕξειν ᾤοντο τὴν φήμην, προδιαβεβλημένης τῆς ἀκορέστου, καὶ ὑπερβαλλούσης ἐκείνου τροφῆς. πρῶτον δὲ ἔδοξεν αὐτοῖς ἐπιλέξασθαι ἄνδρα, πρεσβύτην τινὰ, καὶ σώφρονα, τὸν διαδεξόμενον τὴν ἀρχὴν, ὅπως αὐτοί τε σωθεῖεν, καὶ ἀπὸ τῆς πικρᾶς καὶ ἀκολάστου τυραννίδος πάντες ἀναπνεύσειαν. καθ' ἑαυτοὺς δὲ ἀναλογιζόμενοι, οὐδένα οὕτως ἐπιτήδειον εὕρισκον, ὡς Περτίνακα.

1. Legunt alii, neſcio quâ fide, προαστεῖον.

γ'. Ην

γ'. Ἦν δὲ ὁ Περτίναξ τὸ μὲν γένος [1] Ἰταλιώτης, ἐν δὲ πολλαῖς στρατιωτικαῖς τε καὶ πολιτικαῖς εὐδοκιμήσας πράξεσι, πολλὰ δὲ κατὰ Γερμανῶν καὶ τῶν ὑπὸ τὴν ἀνατολὴν βαρβάρων ἐγείρας τρόπαια, μόνος τε περιλειφθεὶς τῶν σεμνῶν πατρῴων τῷ Κομμόδῳ φίλων, ὃν οὐκ ἀπέκτεινε, ἢ διὰ σεμνότητα αἰδούμενος, ἢ ὡς [2] πένητα τηρήσας· ἦν γὰρ αὐτοῦ καὶ τοῦτο μέρος τῶν ἐγκωμίων, ὅτι πλεῖστα πάντων ἐγχειρισθεὶς, πάντων οὐσίαν εἶχεν ἐλάττονα.

δ'. Πρὸς δὴ τοῦτον τὸν Περτίνακα νυκτὸς ἀκμαζούσης, πάντων τε ὕπνῳ κατειλημμένων, ἀφικνοῦνται ὁ Λαῖτος καὶ Ἔκλεκτος, ὀλίγους τῶν συνωμοτῶν ἐπαγόμενοι. Ἐπιστάντες δὲ αὐτοῦ κεκλεισμένης τῆς οἰκίας ταῖς θύραις, διεγείρουσι τὸν φυλάττοντα. ἀνοίξας δὲ ἐκεῖνος, καὶ θεασάμενος στρατιώτας ἐφεστῶτας καὶ Λαῖτον, ὃν ᾔδει ἔπαρχον ὄντα, ἐκπλαγεὶς καὶ ταραχθεὶς, ἀγγέλλει. Ὁ δὲ ἥκειν αὐτοὺς κελεύει, δεινὰ, προσδοκώμενα ἑαυτῷ ἑκάστοτε, συμβήσεσθαι φάσκων. Ἐν τοσαύτῃ γοῦν αὐτὸν φασὶ μεῖναι ψυχῆς ἀταραξίᾳ, ὡς μηδ' ἀναθορεῖν τοῦ σκίμποδος, μεῖναι δὲ ἐπὶ τοῦ σχήματος, καὶ τὸν Λαῖτον ἅμα τῷ Ἐκλέκτῳ εἰσελθόντα, καί τι δο-

III. Erat autem Pertinax genere Italus, domi, bellique rebus gestis clarus, multisque insignis trophæis, qnæ adversum Germanos, atq; Orientales barbaros erexerat; Unusq; erat reliquus è gravissimis illis, quos pater Commodo amicos reliquisset, cuique plurimum ex omnibus sociis ducibusque contulerat. Tutus hactenus, vel gravitatem ipsam verito, vel ob paupertatem hominis dissimulante Commodo: siquidem quoque illius laudibus accedebat, quod cum plurima omnium administrasset, tamen erat omnium pauperrimus.

IV. Hunc igitur Pertinacem nocte intempesta sopitis omnibus, Lætus atque Electus cum paucis ejusdem factionis adeunt: & cum januam occlusam offendissent janitorem excitarunt, qui ubi adaperuit, militesque & Lætum præfectum adesse vidit, perterritus, atque expavefactus, Pertinaci renunciat. Is admitti illico jubet, eventura mox inquiens, quæ sibi ad eum diem mala præsagiverat. Tanta porro fuit animi constantia, ut ne lecto quidem se moverit, aut habitum oris demutaverit: sed ingressis Læto atque Electo; quamvis ad se occidendum mis-

1. Xiphilinus Λίγυν cui assentit Victor, Capitolinus natum tradit in Apennino in villâ Martis. Ut mirari subeat, quod in Zonarâ scriptum reperio [Λίβυς ἦν ἐκ τῆς Αλβης Πομπηΐας] quod nec satis animadvertit Ipsius interpres cum ita reddiderit, [*Afer ex Albâ Pompeiâ*] ideoque mendum irrepsisse suspicor γ in β perperam mutato.

2. Nam post excessum Marci, *referente Capitolino*, pecuniæ studuit.

sos,

ſos crederet; pleno audaciæ vultu minimeque pallenti; Jampridem, inquit, hunc exitum vitæ ſingulis etiam noctibus ſperabam, qui ex omnibus paternis amicis unus adhuc eſſem reliquus. Itaque demirabar, quonam tamdiu rem differret Commodus. Proinde quid ſtatis, quin facitis imperata: meque à triſti aliquando, ac perpetua formidine liberatis? Ad hæc Lætus: Deſine, inquit, indigna te, & ſuperiore vita tua fabulari: neque nos mortem tuam, ſed ſalutem cum noſtram tum Romani imperii petitum venimus. Jacet enim tyrannus, debitaſque luit pœnas, ea paſſus à nobis, quæ in nos facere moliebatur. Quare huc adſumus, imperium tibi tradituri: quem unum ex omni ſenatu, vel temperantia vitæ; vel autoritate, vel ætate etiam & gravitate morum ſcimus eſſe præſtantiſſimum, carumque populo, & venerabilem: ſperantes quod agimus, & optabile illis, & nobis ſalubre futurum.

V. Ad hæc Pertinax: Deſinite, inquit, ſenem ludere hominem, atque ita timiditatis arguere, ut prius decipere, dein occidere ſtudeatis. Atqui, inquit, Electus, quando nobis parum credis, cape libellum hunc (nam manum certè agnoſcis Commodi) ac tutè lege: cognoſces proculdubio, quantum effugerimus periculi, neque tentamentum aliquod in noſtris verbis,

ἥκοντας ἐπὶ φόνῳ ἥκειν, προσειπεῖν τε, καὶ θαρροῦντι, μὴ δ' ὠχριάσαντι τῷ προσώπῳ, πάλαι μὲν (φάναι) καὶ πάσης νυκτὸς τόδε τὸ τέλος τοῦ βίου εἶχον δι' ἐλπίδος, μόνος τε τῶν πατρῴων περιλειπόμενος φίλων ἔτι. ἐθαύμαζον ἐπ' ἐμοὶ Κόμμοδον βραδύνοντα, τί δὴ μέλλετε; ὑμεῖς τε γὰρ δράσετε τὸ κεκελευσμένον, ἐγώ τε πονηρᾶς ἐλπίδος καὶ φόβου συνεχοῦς ἀπαλλάξομαι. πρὸς ταῦτα ὁ Λαῖτος, οὐ παύσῃ, ἔφη, ἀνάξια σαυτοῦ, καὶ τῶν προβεβιωμένων σοι λέγων; οὐ γὰρ ἐπ' ὀλέθρῳ τῷ σῷ ἥδε ἡμῶν ἡ ἄφιξις, ἀλλ' ἐπὶ σωτηρίᾳ τῇ τε ἡμῶν αὐτῶν, καὶ τῆς Ῥωμαίων ἀρχῆς. κεῖται μὲν γὰρ ὁ τύραννος, δίκην δοὺς τὴν προσήκουσαν· καὶ ἅπερ αὐτὸς ἡμᾶς δρᾶσαι διενοεῖτο, ταῦτα πρὸς ἡμῶν παθών. ἡμεῖς δὲ ἥκομέν σοι τὴν βασιλείαν ἐγχειριοῦντες, ὃν ἴσμεν προὔχοντα ἐν τῇ συγκλήτῳ βουλῇ, σωφροσύνῃ βίου, μεγέθει τε ἀξιώματος, καὶ ἡλικίας σεμνότητι, ποθούμενόν τε καὶ τιμώμενον ὑπὸ τοῦ δήμου, ὅθεν κἀκείνοις εὐκταῖον, καὶ ἡμῖν σωτήριον τὸ πραττόμενον ἔσεσθαι προσδοκῶμεν.

ε'. Πρὸς ταῦτα ὁ Περτίναξ οὐ παύσεσθε, ἔφη, χλευάζοντες πρεσβύτην, καὶ τοσαύτην μου δειλίαν καταγνωκότες, ὡς πρότερον ἀπατῆσαι βούλεσθε, εἶθ' οὕτω φονεῦσαι; ἀλλὰ μήν, ἔφη ὁ Ἔκλεκτος, ἐπεὶ λέγουσιν ἡμῖν οὐ πιστεύεις, λαβὼν τουτὶ τὸ γραμματεῖον, γνωρίζεις δὲ τὴν Κομμόδου χεῖρα, ἥτις σοι τῆς ἀναγνώσεως ἐν συνηθείᾳ, ἐπίσκεψαι. οὕτω γὰρ γνώσῃ τίνα τε κίνδυνον ἐφύγομεν, καὶ ὅτι μὴ σκῆψις,

ἀλλ' ἀλήθεια πρόσεστι τοῖς λεχθεῖσιν. ἐπιγνοὺς δὴ τὰ γεγραμμένα ὁ Περτίναξ, πιστεύσας τε ἀνδράσι, καὶ πρότερον αὐτοῦ φίλοις, πάντα πυθόμενος τὰ πεπραγμένα, ἐπιδίδωσιν ἑαυτόν. καὶ πρῶτον ἀρέσκει προελθεῖν ἐπὶ τὸ στρατόπεδον, καὶ πεῖραν τῆς γνώμης τῶν στρατιωτῶν λαβεῖν. πείσειν δὲ αὐτοὺς ὁ Λαῖτος ὑπισχνεῖτο, ἐπείπερ αὐτοῖς ἐπάρχων ὄντι μετρίαν ἀπένεμον αἰδῶ. συμπαραλαβόντες οὖν καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν, ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. ἤδη δὲ καὶ τὸ πλεῖστον τῆς νυκτὸς προκεχωρήκει καὶ τῆς ἑορτῆς ἐνισταμένης, πρὸ ἡμέρας πάντα ἐπράττετο, διαπέμπουσι δή τινας τῶν πιστῶν τοὺς διαβοήσοντας, ὅτι ὁ Κόμμοδος τέθνηκε μὲν, ὁ Περτίναξ δὲ εἰς τὸ στρατόπεδον βασιλεύσων ἄπεισι.

ς'. Διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐνθουσιῶντι ἐοικὼς ἐξεβακχεύετο. διέθεόν τε, καὶ τοῖς οἰκείοις ἕκαστος χαίρων διήγγελλε, καὶ μάλιστα τοῖς ἐπ' ἀξιώσεως, ἢ πλουσίοις. ἐκείνοις γὰρ καὶ ἐπιβουλεύοντα ᾔδεσαν τὸν Κόμμοδον. ἔθεόν τε περί τε τὰ ἱερὰ καὶ βωμοὺς, θεοῖς χάριτας ὁμολογοῦντες. ἐβόων δὲ διάφορα, οἱ μὲν κεῖσθαι τὸν [1] τύραννον λέγοντες, οἱ δὲ τὸν μονομάχον, ἄλλοι δὲ ἀπρεπέστερα βλασφημοῦντες, καὶ ὅσα πρότερον ἐπεῖχεν ὁ φόβος ῥήματα, ταῦτα, προελθούσης ἀδείας, καὶ ἐλευθερίας, ῥᾳδίως ἐλέγετο. πλεῖστον

ſed veri fidem deprehendes. Quod ubi Pertinax fecit, jam profecto viris antea quoque ſibi amiciſſimis credendum ratus, intellecta omni re, totum ſe illorum poteſtati permiſit. Placuit igitur primo exercitum adiri, ac militum tentari animos: quos tamen Lætus in ſententiam ſuam facile ſe adducturum pollicetur, quippe cujus aliqua, utpote præfecti, futura eſſet apud illos autoritas. Quocirca omnes quotquot aderant, ad exercitum feſtinant, cum jam multum noctis proceſſiſſet, inſtante Kalend. Januariarum die. Mittunt præterea fidos homines, qui paſſim rumorem diſſeminent, vita defunctum Commodum, Pertinacemque jam imperaturum, contendere ad exercitum.

VI. Qui ubi rumor evagatus, repentè populus univerſus lymphato ſimilis, ebacchari, & diſcurrere per vias, ac lætabundi omnes renunciare pro ſe quiſque amicis, quibus aut dignitas aut divitiæ ſuperabant: namque illis potiſſimum diſcrimen impendebat à Commodo. Ibant igitur ad templa & aras, diis gratulatum, alii alia vociferantes. Quidam jacere tyrannum, pars gladiatorem, nonnulli etiam multo his fœdiora. Quæque hactenus metus repreſſerat, ea nunc licentia ac libertate oborta, impunè jactabantur. Sed &

1. Ἀλιτήριον δὲ τινὰ καὶ Τύραννον ἀποκαλοῦντες προσεπιτίθεσαν ἐπισκώπτοντες τὸν Μονομάχον, τὸν Ἁρματηλάτην, τὸν Ἀριστερὸν, τὸν Κηλήτην. Xiphil. de Commodo.

plera-

pleraque pars populi cursu concitato ad exercitum tendebant, veritis omnibus ut satis libenter imperatorem Pertinacem milites acciperent: quippe moderatum principem, non sanè nimis ex sententia futurum sperabant militibus: qui scilicet tyrannidi servire, vimque omnem ac rapinas exercere consuevissent. [1] Itaque velut ad obsequium impulsuri, confluxere ad castra frequentes. Quò ubi perventum, ingressi Lætus & Electus unà cum Pertinace sunt, ibi convocatis militibus ad hunc modum Lætus verba facit.

δὴ τοῦ δήμου συνέθει δρόμῳ, καὶ ἐπὶ τὸ στρατόπεδον ἠπείγετο, τοῦτο μάλιστα δεδιότες, μή πως ἄρα οἱ στρατιῶται ὀκνηρότερον ἐπακούσωσι τῇ Περτίνακος ἀρχῇ. [1] ἐσόμενον γὰρ σώφρονα, μὴ πάνυ τι ἀποδέξασθαι τοὺς στρατιώτας προσεδόκων, τυραννίδι δουλεύειν εἰθισμένους, ἁρπαγαῖς τε καὶ βίαις ἐγγεγυμνασμένους. ἵν' οὖν αὐτοὺς ἐκβιάσοντο ὑπακοῦσαι πανδημεὶ συνῆλθον. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὅ Λαῖτός τε καὶ Ἔκλεκτος εἰσῆλθον, ἄγοντες τὸν Περτίνακα, συγκαλέσας τοὺς στρατιώτας ὁ Λαῖτος, ἔλεξε τοιάδε.

Oratio Læti ad milites.

Δημηγορεία Λαίτου πρὸς τοὺς στρατιώτας.

VII. Commodus imperator vester apoplexiæ morbo interiit. Causa mortis nemo alius, sed est ipsemet sibi. Nam cum frustra nos optima atque salubria subjiceremus, gerens ille se quemadmodum omnes nostis, cibo potuque nimio suffocatus est. Atque is quidem suo sibi fato extinctus periit. Quippe non una eademque cunctis hominibus mortis causa, sed aliæ aliis, cunctæque tamen ad eundem tendentes vitæ finem. Verum pro illo adducimus vobis ipsi, ac Romanus populus, virum ætate gravem, vita moderatum, militaris disciplinæ peritissimum. Cujus

ζ'. Κόμμοδος μὲν ἡμῖν ὁ βασιλεὺς τέθνηκεν ἀποπληξίᾳ. αἴτιος δὲ τοῦ τοιούτου θανάτου οὐκ ἄλλος ἀλλ' αὐτὸς αὑτῷ. συμβουλεύουσι γὰρ ἡμῖν αὐτῷ τὰ ἄριστα καὶ σωτήρια, οἷς μὴ πειθόμενος, βιοὺς δὲ ὡς οὐκ ἀγνοεῖτε, ὑπὸ πλήθους ἀποπνιγεὶς διεφθάρη. Τὸν μὲν οὖν κατέλαβε τέλος τὸ πεπρωμένον. οὐδὲ γὰρ μία, οὐδ' ἡ αὐτὴ πᾶσιν ἀνθρώποις θανάτου αἰτία· διάφοροι δὲ οὖσαι, εἰς ἓν τέρμα βίου συντείνουσιν. ἀλλ' ἀντ' ἐκείνου γὰρ ὑμῖν ἄγομεν ἡμεῖς τε καὶ ὁ δῆμος ὁ Ῥωμαίων, ἄνδρα τὴν μὲν ἡλικίαν σεμνὸν, τὸν δὲ βίον σώφρονα, ἀρετῆς δὲ τῆς ἐν ἔργοις ἔμπειρον.

1. In re simili Tacitus. *Legatos ac duces magnâ ex parte luxus, egestatis, scelerum sibi conscios, nisi pollutum obstrictumque meritis suis principem non passuros.*

ὧν οἱ μὲν πρεσβύτεροι, καὶ τῶν στρατιωτικῶν αὐτοῦ παραταξέων ἐπειράθητε· οἱ δὲ λοιποὶ τῆς πόλεως ἐπάρχοντα τοσούτων ἐτῶν ἀεὶ διὰ τιμῆς τε καὶ θαύματος ἔχετε, δίδωσί τε ὑμῖν ἡ τύχη οὐ βασιλέα μόνον, ἀλλὰ καὶ πατέρα χρηστόν. εὐφρανεῖ τε ἡ τοῦδε ἀρχὴ οὐ μόνον ὑμᾶς τοὺς ἐνταῦθοῖ δορυφοροῦντας, ἀλλὰ καὶ τοὺς ἐπὶ ταῖς ὄχθαις τῶν ποταμῶν, καὶ τοὺς ἐπὶ τοῖς ὅροις τῆς Ῥωμαίων ἀρχῆς ἱδρυμένους, οἳ τὴν πεῖραν αὐτοῦ τῶν ἔργων φέρουσι διὰ μνήμης. τό, τε γὰρ βάρβαρον οὐ χρήμασιν ἔτι θεραπεύσομεν, πείρᾳ δὲ ὧν πρὸς αὐτοῦ πεπόνθασι στρατηγοῦντος, φόβῳ ὑποτάξονται.

η'. Τοιαῦτα δὴ λέγοντος τοῦ Λαίτου, μὴ κατασχὼν ἑαυτὸν ὁ δῆμος, μελλόντων καὶ ὀκνούντων ἔτι τῶν στρατιωτῶν, Σεβαστόν τε ἀναγορεύει, καὶ πατέρα καλεῖ, πάσαις τε γεραίρει εὐφημίαις· τότε καὶ οἱ στρατιῶται οὐχ ὁμοίᾳ μὲν προθυμίᾳ, τῇ δὲ ἐκ τοῦ παρόντος πλήθους ἀνάγκῃ (καὶ γὰρ ἦσαν πανταχόθεν ὑπὸ τοῦ δήμου περιειλημμένοι, ὀλίγοι τε, καὶ ἄνευ τῶν ὅπλων, ὡς ἐν ἱερομηνίᾳ) τὴν αὐτὴν συνεξεβόησαν, καὶ Σεβαστὸν προσεῖπον τὸν Περτίνακα, εἴς τε τὸ ἐκείνου ὄνομα τοὺς συνήθεις [1] ὅρκους ὀμόσαντες, καὶ θύσαντες, δαφνηφοροῦντες πᾶς ὁ δῆμος καὶ τὸ στρατιωτικόν.

θ'. Ἐπεὶ δὲ ἱδρύθη ἐν τῇ βασιλείῳ ἑστίᾳ, τῶν τε στρατιωτῶν καὶ τοῦ δήμου, ὡς προείρηται, νύκτωρ ἀναγαγόντων, φροντίσι μεγίσταις τὴν γνώ-

bellicam virtutem nos quidem veterani sæpenumerò experti, cæteri tot annos urbi præfectum non honore solum, sed etiam admiratione dignissimum judicastis. Igitur fortuna non principem solum vobis dat, sed parentem quoq; optimum. Cujus principatus non vobis modo, qui eum præsentes tuemini, sed iis etiam jucundissimus futurus est, qui ripas fluviorum, ac Romani terminos imperii defensant, videlicet res ejus præclarè gestas memoria retinentibus. Neque verò jam barbaros nobis precio conciliabimus: sed eorum memores, quæ hoc duce perpessi sunt metu potius subigentur.

VIII. Hæc dicente Læto, minimè jam se cohibuit populus, quin cessante adhuc & dubitabundo milite, Augustum illum declararet, patremque appellaret, & faustis omnibus acclamationibus prosequeretur. Idem etiam milites factitabant. Quanquam non pari alacritate, sed circumfusa, undique inermibus, festumque agitantibus diem, populi turba, facile illos acclamare, ac Pertinacem vocare Augustum coegit. Mox jurati de more in illius nomen, factaque re divina laureati omnes populus atque exercitus prosequebantur.

IX. Sed postquam in aulam imperatoriam per noctem (ut diximus) à milite populoque deductus, magnis curarum motibus æstuabat. Et quam-

1. De sacramento militari lege *Alex. ab Alex. lib. 1. cap. 20.*

vis

vis animo esse forti constantique videretur, tamen illum vehementer præsentia territabant, non de salute sua magnopere solicitum, quippe alias graviora pericula contemserat; sed repentinæ tyrannidis mutationem animo versantem, nobilitatemque nonnullorum reputantem, quos minimè passuros arbitrabatur, post imperatorem generosissimum recidisse principatum ad hominem privatæ stirpis, atque obscuræ. Nam etsi vita ipsius planè temperans ac frugalis audiebat, maximamque in bellicis negogociis gloriam fuerat adeptus, attamen claritate generis impar habebatur. Igitur postquam diluxit, in curiam se contulit, neque ignem sibi præferri neque ulla principatus insignia passus attolli, donec Senatus sententiam scitaretur.

X. Sed eum omnes simulatque viderunt, lætis acclamationibus unanimiter exceperunt, Augustumque & Imperatorem consalutarunt. At ille recusare instituit, tanquam rem invidiosam, nomen Imperii, excusare senectutem, veniamque orare: multos esse dictitans patricios viros, quibus magis imperium conveniret. Simul Glabrionem manu comprehensum protra-

μένῳ ἐταράττετο, πάνυ τε αὐτὸν, καίτοι δοκοῦντα ψυχῆς εἶναι ἐῤῥωμένης, καὶ πρὸς πάντα ἀνδρεῖον, τὰ παρόντα ἐφόβει, οὐχ ὑπὸ προνοίας τῆς ἑαυτοῦ σωτηρίας, κινδύνων γὰρ καὶ μειζόνων πολλάκις ἦν καταφρονήσας. ἐλογίζετο δὲ τήν τε αἰφνίδιον τῆς τυραννίδος μεταβολὴν, τήν τε ἐν τῇ συγκλήτῳ βουλῇ τινῶν εὐγένειαν, οὓς ὑπώπτευεν οὐκ ἀνεξομένους, μετὰ βασιλέα εὐγενέστατον τῆς ἀρχῆς μεταπεσούσης εἰς ἄνδρα ἐξ ἰδιωτικοῦ καὶ ἀσήμου γένους ἐπὶ τοῦτο ἐλθόντα. εἰ γὰρ καὶ ὁ βίος αὐτοῦ διὰ σωφροσύνην ἐπῃνεῖτο, καὶ τὰ ἐν ταῖς στρατιωτικαῖς πράξεσιν ἦν εὐκλεῆ, ἀλλ' ὅσον δυσγενείας χάριν πολὺ τῶν εὐπατριδῶν ἀπελείπετο. [1] ἡμέρας οὖν καταλαβούσης, κατῆλθεν ἐπὶ τὸ συνέδριον τῆς βουλῆς, οὔτε τὸ [2] πῦρ ἐάσας ἑαυτοῦ προπομπεύεσθαι, οὔτε τι ἄλλο τῶν βασιλικῶν συμβόλων εἰς ὕψος αἴρεσθαι, πρὶν ἢ μαθεῖν τὴν γνώμην τῆς συγκλήτου βουλῆς.

ι'. Ἐπεὶ δὲ αὐτὸν ἅμα τῷ ἐπιφανῆναι πάντες ὁμοθυμαδὸν εὐφήμησαν, [3] σεβάσμιόν τε καὶ βασιλέα προσηγόρευσαν. ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο τῆς ἀρχῆς τὸ ἐπίφθονον, γῆράς τε προϊσχόμενος, συγγνώμης ἐδεῖτο· εἶναί τε πολλοὺς εὐπατρίδας ἔφασκεν, οἷς ἡ βασιλεία μᾶλλον ἁρμόζει. καὶ λαβόμενος τῆς χειρὸς [4] Γλαβρίωνος, εἷλκεν αὐτὸν, καθίζεσθαι

1. Νυκτὸς ἔτι οὔσης ἀφίκετο. Xiphil. noctè scilicet nondum præteritâ, die tamen appetente.

2. Vide quæ supra annot: in vitâ Commodi.

3. Alii Σεβαστὸν, eo enim nomine insigniti sunt Imperatores Romani.

4. De Glabrione nihil habeo comperti. Secundum Capitolinum, Claudium Pompeianum hortatus est ut imperium sumeret, sed ille recusavit quia jam Pertinacem Imperatorem videbat.

κελεύων

κελεύων ἐπὶ τοῦ βασιλείου θρόνου. ἦν δὲ ἐκεῖνος εὐγενέστατος μὲν πάντων εὐπατριδῶν· ἀνέφερε γοῦν εἰς Αἰνείαν τὸν Ἀφροδίτης καὶ Ἀγχίσου, τὴν τοῦ γένους διαδοχήν. ἔτι δὲ καὶ τὴν ὕπατον ἀρχὴν τελέσας δεύτερον. ὁ δὲ, ἀλλ' αὐτός τε (ἔφη) ἐγὼ, ὃν σὺ νομίζεις πάντων ἀξιώτατον, σοί τε τῆς ἀρχῆς παραχωρῶ, καὶ πᾶσαν τὴν ἐξουσίαν ἐγὼ καὶ οἱ λοιποὶ πάντες ψηφιζόμεθά σοι διδόντες. τότε δὲ πάντων αὐτὸν ἐκβιασαμένων, ἐκλιπαρησάντων τε, ὀκνῶν καὶ μόλις ἀνελθὼν ἐπὶ τὸν βασίλειον θρόνον, ἔλεξε τοιάδε.

hens, ſeſſitare imperatoria ſella jubebat. Erat enim ille omnium patriciorum nobiliſſimus, ad Æneam Veneris & Anchiſæ filium ſeriem generis referens: idemque iterum conſul, qui tamen ita tum loquutus eſt: Equidem egomet, quem tu omnium putas digniſſimum, cedo tibi imperio, atque unà mecum Senatus omnis ſummam tibi poteſtatem decernimus. Ibi verò ille vim penè afferentibus, atque impenſe rogantibus univerſis, vix tandem dubitabundus ſellam imperatoriam conſcendit, atque orationem hujuſcemodi habuit.

Δημηγορία Περτίνακος.

ιά. [1] Τὸ μὲν πάνυ δεξιὸν ὑμῶν τῆς πρός με τιμῆς, καὶ τῆς σπουδῆς ὑπερβάλλον, ἐπιλεξάντων τε εἰς πρόκρισιν τοσαύτης παρ' ὑμῖν εὐγενείας καὶ ἔχον κολακείας ὑποψίαν, ἀλλὰ δεῖξιν καὶ πίστιν εὐνοίας, ἄλλον μὲν ἄν τινα θάρσος καὶ προθυμίαν ἐνέδωκεν, εἰς τὸ ἑτοίμως δέξασθαι τὰ ἐγκεχειρισμένα, ἐλπίδα τε ῥᾳστώνης ὑποφέρειν ἂν ὡς εὐμαρῶς τὴν ἀρχὴν διοίσοντα, ἐν ἀρχομένοις οὕτως εὐνοοῦσιν. ἐμοὶ δὲ ταῦτα μεγάλα ὄντα καὶ ἐξαίρετα, τιμῆς τε αἰσθήσει ἐκπλήττει, δέος τε καὶ ἀ-

Oratio Pertinacis.

XI. Conſenſus hic veſter, ſtudiumque eximium, uni mihi plurimum in tanta iſta nobilitate deferendi, cum omni adulationis ſuſpicione vacet, argumentumque benevolentiæ, fidemque præferat, alium fortaſſis audaciorem atque alacriorem redderet ad ea quæ traderentur ſuſcipienda ſperantem facili ſe gubernatione uſurum, qui tantam in vobis benevolentiam animadverteret. Me autem contrà, magna iſta ſcilicet atque egregia, ſicut honoris ſenſu obſtupefaciunt, ita

1. Orationem hanc pro Herodiani ingenio magis quàm re natâ formatam credo. Dio enim ejuſdem ætatis Hiſtoricus, Pertinacem ἐξ αὐτοσχεδίου oratiunculam hanc habuiſſe teſtatur. Ὠνόμασμαι μὲν ὑπὸ τῶν στρατιωτῶν αὐτοκράτωρ. οὐδὲν μέντοι τῆς ἀρχῆς δέομαι, ἀλλ' ἐξίσταμαι ἤδη καὶ τήμερον αὐτῆς διά τε τὴν ἐμαυτοῦ ἡλικίαν καὶ ἀῤῥωστίαν.

metu

metu quodam curaque solicitant, siquidem, arduum inprimis est, magnis acceptis beneficiis paria referre. Nam in beneficiorum vicissitudine, si magnam gratiam referat, qui parvam debuerit, non tam facilitas remunerandi expenditur, quam in ipso argumentum grati animi commendatur. Sed cum prior quispiam eximia in te quædam contulerit, tum si illum parum amplè demerearis, non tam deesse quod reponas, quam ipse inops sensuum, ac planè ingratissimus videare. Cerno igitur jam animo, quam mihi arduum sit propositum certamen, ne tanto à vobis accepto honore parum me fortasse dignum exhibeam. Quippe non in sella ipsa fastigium dignitatis, sed in operibus situm, quæ illam minimè dedecorent. Nam quantum præterita odimus, tantum de futuris bene speramus. Et ut tenax est injuriarum memoria (quod enim offendit, nunquam obliteratur) sic beneficia in ipso excidunt usu: siquidem non tam delectat libertas, quam servitus offendit. Neque habendam quisquam gratiam putat, quod rebus suis pro arbitrio utatur: quippe id sibi deberi jure autumat. Qui verò suis exuitur bonis, nunquam sanè injuriarum obliviscitur. Neque quisquam lucro apponit,

γῶνα οὐ μικρὸν ἐμποιεῖ. μεγάλων γὰρ εὐεργεσιῶν προϋπαρχουσῶν, τὸ ἰσότιμον δυσέφικτον. ἀλλ' ἐν ταῖς ἀμοιβαῖς, καὶ μικρὰ μὲν λαβοῦσιν, ἀντιδοῦναι μεῖζον, οὐχ οὕτως εὐμαρὲς ὡς εὐχάριστον δοκεῖν. ὁπηνίκα δὲ ἂν ὁ πρότερός τι δράσας ἀγαθὸν, ἀνυπέρβλητον καταθῆται χάριν, τὸ μὴ κατ' ἀξίαν ἀντιδοθὲν, οὐχ οὕτω δυσπόριστον, ὡς ἀναίσθητον ἅμα καὶ ἀχάριστον ὀνομάζεται. ὁρῶ δὴ οὐ τὸν τυχόντα μοι ἐπηρτημένον ἀγῶνα, πρὸς τὸ ἄξιον ἐμαυτὸν παρασχεῖν τῆς τοσαύτης παρ' ὑμῶν τιμῆς. οὐ γὰρ ἐν τῇ καθέδρᾳ ἢ προεδρίᾳ, ἀλλ' ἐν τοῖς ἔργοις, εἴπερ αὐτὴν μὴ καταισχυνοῖ. ὅσῳ δὲ τὰ [1] γεγενημένα ὡς φαῦλα μισεῖται, τοσούτῳ τὰ μέλλοντα ὡς ἀγαθὰ [2] μεγάλως ἐλπίζεται. καὶ τὰ μὲν δεινὰ τῶν ἔργων ἀεὶ μνημονεύεται. Τὸ γὰρ λυπῆσαν, δυσεξάλειπτον. Τὰ δὲ χρηστὰ ἅμα τῇ ἀπολαύσει καὶ τὴν περὶ αὐτῶν μνήμην συναναλίσκει. ἐπεὶ μὴ ὁμοίως εὐφραίνει ἐλευθερία, ὡς λυπεῖ δουλεία. οὐδέ τις ἀδεῶς τὰ ἑαυτοῦ ἔχων, ἐν χάριτος μοίρᾳ τίθεται, τὰ ἴδια καρποῦσθαι νομίζων. ὁ δὲ τῶν οἰκείων στερηθεὶς, αἰώνιον ἔχων τὴν μνήμην τοῦ λελυπηκότος, οὐδ' εἴ τις εἰς τὸ κοινὸν χρηστὴ γένοιτο μεταβολὴ, αὐτός τε πλέον νομίζει

1. Mallem γενόμενα, Nam de præteritis sermo est,

2. Μεγάλα Stephanus & Sylburg. quia vix ferendum est Atticis auribus τοσούτῳ μᾶλλον μεγάλως. μᾶλλον enim utrinque subintelligitur.

κερ-

καρποῦσθαι. ἐπεὶ τὰ μὲν δημωφελοῦς, καὶ κοινῇ διαφέροντος, ὀλίγη τοῖς καθ' ἕνα φροντίς. τὸ δὲ καθ' αὐτὸν ἕκαστος, εἰ μὴ κατὰ γνώμην προχωροίη, οὐδέν τι μέγα ὠφελεῖσθαι νομίζει. Οἵ τε εἰθισμένοι ταῖς τῆς τυραννίδος ἀκρίτοις καὶ ἀφειδέσι μεγαλοδωρεαῖς ἐντρυφᾶν, τὴν εἰς τὸ σωφρονέστερον καὶ μεμετρημένον διὰ σπάνιν χρημάτων μεταβολήν, οὐ φιλοσώφρονα, οὐδὲ σύμμετρον καὶ κεκριμένην διοίκησιν ὀνομάζουσιν, ἀλλὰ μικρολογίαν καὶ ἀθλιότητα βίου ὀνειδίζουσιν, οὐκ εἰδότες, ὅτι τὸ μὲν μεγάλα, καὶ ὡς ἔτυχε, χαρίζεσθαι, οὐκ ἂν περιγένοιτο, εἰ μὴ ἐκ τοῦ ἁρπάζειν καὶ βιάζεσθαι. τὸ δὲ λογισμῷ πάντα καὶ κατ' ἀξίαν ἑκάστου νέμειν, ἄνευ τοῦ δεινόν τι δρᾶσαι, μὴ παρέχον ἄδικον εὐπορίαν χρημάτων, διδάσκει φειδὼ σώφρονα τῶν καλῶς πορισθέντων. ταῦτα δὴ ὑμᾶς ἐγνωκότας χρὴ συναίρεσθαι, καὶ κοινὴν τὴν ἀρχῆς τὴν διοίκησιν νομίζοντας, ἀριστοκρατίαν τε ἀλλ' οὐ τυραννίδα ὑπομένοντας, αὐτούς τε ἀγαθὰς ἔχειν ἐλπίδας, καὶ πᾶσι τοῖς ἀρχομένοις ταῦτα ὑπισχνεῖσθαι.

ιβ'. Τοιαῦτα ὁ Περτίναξ εἰπών, ὑπήρεισέ τε τὴν σύγκλητον βουλήν, καὶ πρὸς πάντων εὐφημισθείς, [1] πάσης τε τιμῆς καὶ αἰδοῦς παρ' αὐτῶν τυχών, εἴς τε τὸν τοῦ Διὸς νεὼν καὶ τὰ λοιπὰ ἱερὰ πεμφθείς, τάς τε ὑπὲρ τῆς βασιλείας θυσίας τελέσας,

quod utilitatem in commune pariat. Quæ enim publicè prosunt, parum cuique curæ sunt. Sin quæ propria cujusque sunt, minus ex sententia ceciderint: tum nemo satis secum benignè agi putat. Ad hæc, quicunque enormibus tyrannorum, atque immensis largitionibus insuêrunt, ii si frugalius paulo, aut continentius ex pecuniæ inopia agere instituas, non tam id moderatæ cuidam dispensationi prudentique attribuunt, quàm avaritiam continuò tibi & sordes exprobrant. Neque autem cogitant, neminem posse magna cuivis dilargiri, qui se à vi atque à rapinis abstineat. Qui autem rectè ac pro cujusque dignitate dispensat, non modo nihil cuiquam injustè eripit, sed & cæteros frugi esse docet, & parcere parto. Hæc igitur cum animis vestris reputantes; adnitimini vos quoque mecum Patres, communemque hanc imperii administrationem existimate. Quippe in republica, optimatium, non autem sub tyrannide victuri, cum ipsi optimam habere spem, tum reliquis etiam debetis polliceri.

XII. Hæc loquutus Pertinax, Senatui animum addidit: votisque exceptus & acclamationibus, habitusq; honorificentissimè, Jovis aliorumque Deorum templis consalutatis, sacrificioque de more facto in aulam Palatinam se contulit.

1. Appellatus est eadem die Augustus & Pater Patriæ; datum porrò est Illi jus quartæ relationis. *Vide Capitolinum.*

Postea

Postea vero quam fama vulgavit, quæ ille vel in Senatu dixisset, vel ad populum scripsisset, læti omnes agitare, sperantes serium se & clementem principem, parentemque adeò magis quàm imperatorem habituros. Nam & militibus edixit, ne cui ex populo contumeliam facerent, néve quem viatorem pulsarent, cunctaque denique ad honesti cultum, modestiamque referebat.

XIII. Ipse cum aut ingrederetur, aut jus diceret, comem scilicet ac mansuetam indolem ostendebat. Et cum Marcum in primis referre videretur, seniores quidem admonitu delectabat: reliquos autem à crudeli, contumeliosaque tyrannide ad modestam vitam tranquillamque vindicatos, facile ad se amandum impulerat. Quæ cum fama latius evagaretur, nationes omnes atque exercitus subjectos Romanis, aut amicos, ad deferendos ei divinos honores incitavit. Quin Barbari quoque, si qui aut frœnos depulerant, aut seditiones moliebantnr, metu virtutis quam præstitisse eum superioribus bellis meminissent, justitiæque fide, cum neminem ab illo scirent ultro offendi, sed gratiam cuique pro meritis referri, vimque abesse & crudelitatem, sponte se dediderunt.

XIV. Legationes præterea undique confluebant, gratulatum Romano populo, quod Pertinacis imperio gubernaren-

εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν. ἐπεὶ δὲ διεφοίτησεν ἡ φήμη τῶν τε λεχθέντων ὑπ' αὐτοῦ ἐν τῇ συγκλήτῳ, καὶ τῶν πρὸς τὸν δῆμον γραφέντων, ὑπερήδοντο πάντες σεμνὸν καὶ ἤπιον ἄρχοντα, καὶ πατέρα, οὐ βασιλέα ἕξειν ἐλπίζοντες. Τούς τε γὰρ στρατιώτας ἐκέλευσε παύσασθαι τῆς πρὸς τοὺς δημότας ὕβρεως, καὶ μήτε παίειν τινὰ τῶν παριόντων, εἴς τε τὸ κόσμιον καὶ εὔτακτον μετάγειν πάντα ἐπειρᾶτο.

ιγ'. Ἔν τε ταῖς προόδοις καὶ τοῖς δικαστηρίοις, [1] πρᾶον καὶ ἥμερον ἦθος ἐπεδείκνυτο. καὶ τῆς Μάρκου ἀρχῆς ζήλῳ τε καὶ μιμήσει τοὺς μὲν πρεσβυτέρους ὑπομιμνήσκων εὔφραινε· τοὺς δ' ἄλλους πάντας, ἐξ ὠμῆς καὶ ἐφυβρίστου τυραννίδος εἰς σώφρονα καὶ ἀμέριμνον βίον μεταχθέντας, ῥᾷστα εἰς εὔνοιαν ᾠκειώσατο. τῆς τε ἡμέρου ἀρχῆς ἡ φήμη διαθέουσα, πάντα ἔθνη καὶ πάντα στρατόπεδα, ὅσα τε Ῥωμαίοις ὑπήκοα, καὶ ὅσα φίλα, ἐκθειάζειν αὐτοῦ τὴν ἀρχὴν ἔπεισεν. ἀλλὰ μὴν καὶ τῶν Βαρβάρων ὅσοι πρότερον ἀφηνίαζον, ἢ ἐστασίαζον, φόβῳ τε καὶ μνήμῃ τῆς ἐν ταῖς προτέραις αὐτοῦ στρατείαις ἀρετῆς, πίστει τε γνώμης, ὅτι μηδένα ἑκὼν ἀδικήσει ποτὲ, ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμων, χάριτος ἀπρεποῦς καὶ βίας ὠμῆς ἀλλότριος, ἑκόντες αὐτῷ προσεχώρουν.

ιδ'. Πρεσβεῖαί τε πανταχόθεν ἀφικνοῦντο, συνηδομένων ἁπάντων τῇ Ῥωμαίων ὑπὸ Περτίνακι ἀρχῇ. Οἱ

1. Erat enim secundum Dionem δυσπροσήγορος.

μὲν οὖν ἄλλοι πάντες ἄνθρωποι, καὶ κοινῇ καὶ ἰδίᾳ, τῷ εὐτάκτῳ καὶ ἡμέρῳ τῆς βασιλείας ἔχαιρον. ὃ δὲ πάντας εὔφραινε, τοῦτο μόνους ἐλύπει τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας, οἳ δορυφορεῖν εἰώθασι τοὺς βασιλέας. κωλυόμενοι γὰρ [1] ἁρπάζειν τε καὶ ὑβρείζειν, εἴς τε τὸ εὔτακτον καὶ κόσμιον ἀνακαλούμενοι, τὸ πρᾶον καὶ ἥμερον τῆς ἀρχῆς ὕβρειν αὐτῶν καὶ ἀτιμίαν, καθαίρεσίν τε τῆς ἀνέτου ἐξουσίας νομίζοντες, τὴν τῆς ἀρχῆς οὐκ ἔφερον εὐταξίαν. ἀλλὰ τὰ μὲν πρῶτα κατ' ὀλίγον ὀκνηρούς τε καὶ ἀπειθεῖς αὐτοὺς τοῖς κελευομένοις παρεῖχον· τὸ δὲ τελευταῖον, [2] οὐδ' ὅλων μηνῶν δύο τῆς βασιλείας αὐτῷ προκεχωρηκυίας, ἐπιδειξαμένου τε ἐν ὀλίγῳ χρόνῳ πολλὰ σώφρονα καὶ χρηστὰ ἔργα, ἐλπίδων τε ἀγαθῶν τοῖς ἀρχομένοις ὑποφαινομένων, ἐβάσκηνε πάντα καὶ ἀνέτρεψε πονηρὰ τύχη, ἐκώλυσέ τε θαυμαστὰ καὶ ἐπωφελῆ τοῖς ὑπηκόοις ἔργα εἰς τέλος ἀχθῆναι.

ιε'. Πρῶτον μὲν γὰρ πᾶσαν τήν τε Ἰταλίαν, καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀγεώργητόν τε καὶ παντάπασιν οὖσαν ἀργὸν, ἐπέτρεψεν, ὁπόσην τις βούλεται καὶ δύναται, εἰ καὶ βασιλέως κτῆμα εἴη, καταλαμβάνειν. ἐπιμεληθέντι τε καὶ γεωργήσαντι δεσπότην

tur. Sed quod plerisque omnibus publicè privatimque gratum fuit, modestumque mansuetumque principem populo Romano contigisse; id verò urbanæ cohortes imperatorum custodiæ adhibitæ graviter, molesteque ferebant: siquidem à rapinis injuriisque ad temperatum vitæ cultum revocatæ; ac mitem illam civilemque gubernandi rationem in contumeliam suam ac dedecus accipientes, ut ex quâ licentiam sibi ademptam intelligerent; nullo jam pacto rectorem hujuscemodi tolerandum statuebant. Igitur principio contumaciores se gerere, minusque dicto audientes esse: postremò nondum bimestri imperio expleto, cum quidem ille jam non dubium probitatis specimen dedisset, universis in optimam spem erectis, invidit repentè mala sors, quæ omnia funditus evertit, sic ut egregii illi conatus vehementer omnibus profuturi, in medio quasi cursu prolaberentur

XV. Nam primùm quidem, quicquid in Italia aut alibi gentium inculti soli, etiamque sub regibus vacaret, id totum occupantibus & colentibus adjudicavit: decemque annorum immunitatem,

1. Ἐπεὶ οὖν οὔτε τοῖς στρατιώταις ἁρπάζειν, οὔτε τοῖς καισαρείοις ἀσελγαίνειν ἐπεξῆν, δεινῶς οὗτοι ἐμίσουν αὐτόν. *Xiphil.*

2. Sc. ex quo cœpit parendi dedignatio. Dio enim & Capitolinus Pertinacem regnasse ferunt dies 88. à quibus immane quantum differt Eusebius qui regnasse ait μῆνας ϛ Sed huic computo annumerari debet intervallum illud quo rerum potitus est Julianus; Qui in serie imperatorum omittitur, vel quod imperium turpiter mercatus esset, vel quòd istud intervallum implerent certamina potius de principatu, quàm principatus ipse.

ac perpetuam libertatem agricolis concessit. Imperatoriis autem possessionibus nomen suum inscribi prohibuit, non esse illas dictitans imperantium proprias, sed communes Romanorum, & publicas. Vectigalia quoque omnia, quæ ad contrahendas pecunias tyranni excogitaverant, in fluviorum ripis, in urbium portibus, perque vias & itinera penitùs remisit, atque in antiquam libertatem revocavit. Multaque item ad idem exemplum facturus videbatur.

XVI. Nam & delatores urbe exegerat: & ubi invenirentur, puniri imperaverat; cavens ne cui de vanis criminibus periculum conflaretur. Ergo in maxima tranquillitate sese, beatissimoque rerum statu victuros, Senatus cæterique arbitrabantur: siquidem adeò se æquabilem, paremque cæteris præstabat, ut filium quoque jam adolescentem in aulam Palatinam nunquam adduxerit, sed intra privatos parietes continuerit. Sic ut ad ludum quoque literarium, atque gymnasia de more itaret, nihil privatis absimilis; erudireturque, & omnia perinde ut quis è medio agitaret, neque ullam aut tyrannicam, aut omnino imperatoriam pompam ostentaret.

εἶναι). ἔδωκέ τε γεωργοῦσιν ἀτέλειαν πάντων εἰς δέκα ἔτη, καὶ διὰ παντὸς δεσποτείας ἀμεριμνίαν. τοῖς τε βασιλικοῖς κτήμασιν ἐκώλυσεν αὐτοῦ τὸ ὄνομα ἐπιγράφεσθαι, εἰπὼν [1] αὐτὰ οὐκ ἴδια τοῦ βασιλεύοντος εἶναι, ἀλλὰ κοινὰ καὶ δημόσια τῆς Ῥωμαίων ἀρχῆς. τέλη τε πάντα πρότερον ἐπὶ τῆς τυραννίδος εἰς εὐπορίαν χρημάτων ἐπινοηθέντα, ἐπί τε [2] ὄχθαις ποταμῶν, καὶ λιμέσι πόλεων, ἔν τε ὁδῶν πορείαις καταλύσας, εἰς τὸ ἀρχαῖον καὶ ἐλεύθερον ἀφῆκεν. ἐμέλλησε δ' ἂν ἔτι καὶ πλείονα, ὥς γε τὰ τῆς προαιρέσεως ἐνεδείκνυτο, εὐεργετήσειν τοὺς ὑπηκόους.

ιϛʹ. Ἐπεὶ καὶ τοὺς συκοφάντας τῆς πόλεως ἦν διώξας, καὶ τοὺς πανταχοῦ ἦν κολασθῆναι κηρύξας, τοῦ μηδένα ἐπηρεάζεσθαι, μήτε ματαίοις ἐγκλήμασι περιπίπτειν προσδοκώμενος· ἐν ἀδείᾳ τε καὶ μακαρίῳ βίῳ ἥ τε σύγκλητος μάλιστα, καὶ οἱ λοιποὶ πάντες βιώσεσθαι προσεδόκουν. οὕτω γὰρ μέτριος καὶ ἰσότιμος ἦν, ὡς καὶ τὸν υἱὸν αὐτοῦ ἤδη μειράκιον ὄντα, [3] μήτε εἰς τὴν βασίλειον αὐλὴν ἀναγαγεῖν, ἀλλ' ἔν τε τῇ πατρῴᾳ μένειν οἰκίᾳ, καὶ εἰς τὰ συνήθη προϊόντα διδασκαλεῖα καὶ γυμνάσια ἰδιωτεύοντα, ὁμοίως τοῖς λοιποῖς παιδεύεσθαί τε, καὶ πάντα πράττειν, οὐδαμοῦ τῦφον ἢ πομπὴν παρεχόμενον βασιλικήν.

---

1. *Tandemque imperium principis quàm patrimonium majus est* Plin. in paneg.

2. Erecta sunt duo priora vectigalia propter fluminum & portuum usum, ultimum verò ob cursum vehicularium, uti licet conjicere.

3. Quia, inquit Xiphil. διεφθάρη γὰρ οὐκ ἠθέλησε.

ιζʹ. Τοι-

ιζ΄. Τοιαύτης δὲ εὐμοιρίας καὶ εὐταξίας κατεχούσης τὸν βίον, μόνοι οἱ δορυφόροι ἀσχάλλοντες μὲν ἐπὶ τοῖς παροῦσι, ποθοῦντες δὲ τὰς ἐπὶ τῆς προηγουμένης τυραννίδος ἁρπαγάς τε καὶ βίας, ἔν τε ἀσωτίαις καὶ κραιπάλαις ἐβουλεύσαντο [1] ἀποσκευάσασθαι τὸν Περτίνακα, ὡς ὄντα αὐτοῖς βαρὺν καὶ ἐπαχθῆ· ζητῆσαι δέ τινα τὸν πάλιν αὐτοῖς ἄνετον καὶ ἀκόλαστον παρέξοντα ἐξουσίαν. αἰφνιδίως τοίνυν οὐδενὸς προσδοκῶντος, ἀλλὰ πάντων ἐν ἡσυχίᾳ διατριβόντων, καὶ θυμῷ καὶ ἀλόγῳ ὁρμῇ [2] τοῦ στρατοπέδου δρόμῳ φερόμενοι αὐτοί, ἡμέρας ἀκμαζούσης ἐπεισῆλθον τοῖς βασιλείοις, τά τε δόρατα διατεινάμενοι, καὶ τὰ ξίφη σπασάμενοι. τῷ δὲ παραδόξῳ τοῦ ἔργου καὶ ἀνελπίστῳ, οἱ ἐν τῇ βασιλείῳ ὑπηρεσίᾳ ταραχθέντες, ὀλίγοι τε πρὸς πολλούς, καὶ ἄνοπλοι πρὸς ὡπλισμένους, οὐκ ἔμενον· ἀλλ᾽ ἕκαστος, ἣν ἐνεκεχείριστο φρουρὰν λιπών, ἢ ἐπὶ τῇ αὐλείῳ, ἢ ἐπὶ ταῖς λοιπαῖς εἰσόδοις ἔφευγον. ὀλίγοι δέ τινες τῶν εὐνοούντων, διαγγείλαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, τῇ τε τοῦ δήμου βοηθείᾳ ἑαυτὸν ἐπιδοῦναι. ὁ δὲ καὶ τοῖς συμβουλεύουσιν αὐτῷ πρὸς τὸ παρὸν ὠφέλιμα μὴ πεισθείς, ἀπρεπῆ δὲ καὶ ἀνελεύθερα, βασιλείας τε ἀνάξια, καὶ τοῦ προβεβιωμένου αὐτῷ καὶ προπεπραγμένου νομίσας, φεύγειν μὲν ἢ λαθεῖν οὐκ ἠθέλησεν. ὁμόσε δὲ χωρή-

XVII. Cùm in hac morum vitæque modeſtia ageret, ſoli ſcilicet prætoriani milites, præſentem rerum conditionem non ſatis æquo animo ferentes, veterem illam licentiam violenter ſe gerendi, raptandique omnia affectabant; interque vina & epulas, conſilia inierunt Pertinacem è medio tollendi, gravem ipſis atque oneroſum; alterumque ejus loco imponendi rebus Romanis indulgentem atque intemperantem, nihilque denique non licentiæ præbiturum. Igitur confeſtim haud opinatò cunctis ocium agitantibus, turbidi, ac furentes, militari curſu meridie ipſo, protentis haſtis, nudis gladiis, frequentes ad imperatoris ædes feruntur. Re autem ſubita, inſperataque perterriti cubicularii Palatini, pauci plurimis, & inermes armatis minimè auſi reſiſtere, relicta ſua quiſque ſtatione, diverſi alii aliò defugerunt. Pauci tamen ex amiciſſimis, nunciato militum concurſu, perſuadere Pertinaci conabantur, uti fuga ſibi conſuleret, populique auxilium imploraret. Ille autem tametſi utilia in præſens audiebat, tamen indecorum exiſtimans, atque illiberale, minimeque dignum imperatoria majeſtate, atque anteacta vitâ, fugæ aut latebris ſalutem debere: occurrere periculo, ac pro-

1. Pertinaci factio præparata eſt per Lætum præfectum Prætorii, & eos quos Pertinacis Sanctimonia offenderat. Capitolinus.

2. Scrib. ἐκ τοῦ.

cedere

cedere in medium decrevit, sperans persuasurum quæ vellet, & furentes in præsens animos placaturum. Igitur cubiculo egressus, factusque irruentibus obviàm, quærere causas instititit tam subiti motus, & à fœdissimo illo tumultu absterrere, non attonitus periculo: sed habitum oris gravem, moderatumque retinens, paremque imperatoriæ dignitati; ac nihil humile, nihil pavidum aut obnoxium, nihil denique supplice dignum præ se ferens; ita ad eos verba fecit.

σας τῷ πράγματι, προῆλθεν ὡς διαλεξόμενος αὐτοῖς, ἐλπίσας πείσειν τε αὐτοὺς, καὶ παύσειν τῆς ἀλόγου εἰς τὸ παρὸν ὁρμῆς. καὶ δὴ τοῦ δωματίου προελθὼν, ὑπαντώμενος αὐτοῖς, πυνθάνεσθαί τε ἐπειρᾶτο τὰς αἰτίας τῆς ὁρμῆς, πείθειν τε ἐπεχείρει μὴ ἐνθουσιασμένως· καὶ τότε ἐν σώφρονι καὶ σεμνῷ σχήματι, καὶ τηρῶν τὸ τοῦ βασιλέως ἀξίωμα, οὐδέν τι καταπεπληχότος, οὐδὲ καταδειλιῶντος, καὶ ἱκετεύοντος σχῆμα ἐνδεικνύμενος.

Alia Oratio Pertinacis ad milites Prætorianos.

Ἑτέρα δημηγορία Περτίνακος πρὸς τοὺς δορυφόρους.

XVIII. Me quidem, ô milites, inquit, si occiditis, neq; ipsi rem magnam facitis; neque mihi sanè gravem, homini videlicet hujus ætatis & gloriæ: siquidem humanæ vitæ finis certè est aliquis necessarius. Vos autem principis curæ, custodiæque, & propulsandis aliunde periculis adhibitos, cædem ipsos facere primos; neque civili tantum, sed Imperatorio quoque sanguine polluere dextras; id verò videte, ne vel in præsens flagitiosum sit vobis, vel in posterum periculosum. Neque enim ego ulla vos injuria affeci. Si enim Commodi doletis interitu, nihil profectò novum fuit mori, qui homo natus fuerat. Sin dolo necatum putatis, non meum sanè id crimen: quippe quem ipsi scitis ab omni etiam suspicione procul abesse. Quæ

ιη. Τὸ μὲν ἐμὲ, ἔφη, πρὸς ὑμῶν ἀναιρεθῆναι οὐδέν τι μέγα, ἢ βαρὺ, πρεσβύτῃ εἰς μακρὸν γῆρας ἐνδόξως ἐλάσαντι. παντὶ γὰρ ἀνθρώπων βίῳ, ἀνάγκη τέλος ἐπιτεθῆναι. Τὸ δὲ ὑμᾶς φύλακας καὶ φρουροὺς δοκοῦντας βασιλέως, καὶ τοὺς ἔξωθεν κινδύνους ἀπείργοντας, αὐτοὺς γίνεσθαι φονέας, καὶ μὴ μόνον ἐμφυλίῳ, ἀλλὰ καὶ βασιλείῳ μιᾶναι τὰς δεξιὰς αἵματι, ὁρᾶτε, μὴ πρὸς τὸ νῦν ἀνόσιον, καὶ ὕστερον ὑμῖν ἐπικίνδυνον ᾖ. οὐ γάρ τι ἐμαυτῷ σύνοιδα λυπήσαντι ὑμᾶς. εἰ δὲ καὶ ἐπὶ τῇ Κομμόδου τελευτῇ δυσχεραίνετε, οὐδὲν παράδοξον, ἄνθρωπον ὄντα εἰ τελευτὴ κατέλαβεν. εἰ δὲ τοῦτο ἐξ ἐπιβουλῆς οἴεσθε γεγενῆσθαι, οὐκ ἐμὸν τὸ ἁμάρτημα. ἴστε γὰρ, ἔξω

πάσης

πάσης ὄντα με ὑποψίας, καὶ οὐδὲν ἧττον ὑμῶν ἀγνοοῦντα τὰ τότε πεπραγμένα. ὡς εἴ τι ὑποπτεύετε, ἑτέροις ὑποφέρειν τὸ ἔγκλημα. ἀλλ' ὅμως τετελευτηκότος κἀκείνου, οὐδὲν ὑμῖν τῶν εὐπρεπῶς, καὶ κατ' ἀξίαν, καὶ ἄνευ τοῦ βιάζεσθαί με, ἢ ἁρπάζειν ἐνδεήσει.

ιθ'. Τοιαῦτά τινα λέγειν αὐτοῖς πειρώμενος, ἤδη τινὰς αὐτῶν καὶ πείσειν ἐμέλλησε, καὶ οὐκ ὀλίγοι γε ὑποστραφέντες, ἀνεχώρουν, σεμνοῦ βασιλέως γῆρας αἰδούμενοι· ἔπειτα δὴ λαλοῦντα τὸν πρεσβύτην, ἐπιπεσόντες φονεύουσι. δράσαντές τε οὕτως ὠμὸν ἔργον, δέει τῶν τετολμημένων φθάσαι θέλοντες τὴν τοῦ δήμου ἔφοδον, ἐπιστάμενοί τε ὅτι χαλεπῶς τὸ πλῆθος δυσοίσει τὰ πεπραγμένα, εἰς τὸ στρατόπεδον δρομαῖοι ἀναχωρήσαντες, ἐντὸς τείχους ἔμενον, φρουρὰς ἐπὶ τῶν πύργων καταστήσαντες, ὡς ἀμυνοῦντο εἰ τῷ τείχει προσβάλλοι ὁ δῆμος. Τέλος μὲν δὴ τοιοῦτον κατέλαβε Περτίνακα, χρησάμενον βίῳ καὶ προαιρέσει, ὡς προείρηται.

κ'. Ἐπειδὴ δὲ διεφοίτησεν εἰς τὸν δῆμον ἡ τοῦ βασιλέως ἀναίρεσις, ταραχή τε καὶ πένθος πάντας κατεῖχε, διέθεόν τε ἐνθεαστῶσιν ἐοικότες, κίνησίς τε ἄλογος κατεῖχε τὸν δῆμον, ζητούντων τοὺς δράσαντας, μήτε δὲ εὑρεῖν, μήτε ἀμύνασθαι δυναμένων. μάλιστά τε δεινῶς ἔφερον τὸ πεπραγμένον, καὶ συμφορὰν κοινὴν ἐτίθεντο οἱ

enim tunc acta sunt, vos prius cognita habuistis: ut etiamsi quid obortum suspicionis est, utique alios attigerit. Cæterum ne illo quidem extincto, quicquam de vobis fieri patiemur, quod modestè, atque ex dignitate vestra, non autem per vim & rapinas concupiveritis

XIX. Ita loquente eo, jam quidam ex his permotum iri videbantur: neque sanè pauci abire jam cœperant, veriti sanctimoniam principis, ac senectutem: sed à cæteris facto impetu obtruncatur. Qui statim eo perpetrato scelere, multitudinem declinantes indignissimè laturam id facinus occupant in castra abire, muroque continent se, dispositis pro turribus armatis, qui populum à mœnibus arcerent. Hunc finem Pertinax sortitus est vitæ, morumque (ut supra diximus) laudandus.

XX. Sed ubi cædis illius fama per populum dedita, tumultu scilicet, luctuque omnia compleri, discurrere universi furentibus similes, neque certi quid agerent quærere ipsos autores: quos neque invenire tamen poterant, neque ulcisci. Præcipuè verò senatus indignè id ferre, communemque eam calami-

1. Expressior Capitolinus. *Sed cum Tausius quidam unus è Tungris, in iram & timorem milites loquendo adduxisset, hastam in pectus Pertinacis objecit*; hâc voce usus, uti refert Xiphilinus, τοῦτό σοι ξίφος οἱ στρατιῶται πεπόμφασι.

calamitatem existimare, desiderans parentem optimum, ac principem indulgentissimum: rursumque tyrannidem metuens quam cordi esse militibus intelligebat.

XXI. Sed quum dies unus itemque alter abiisset, plebsque universa suo quisque metu quietem ageret; & qui dignitate, autoritateque pollebant in sua prædia quàm longissimè poterant ab urbe secessissent, ne quid in eligendo successore gravius objiceretur: cognito milites & quietum esse populum, & existere neminem qui principem interfectum vindicaret, ipsi quidem castris se continebant. Constituto autem suprà murum vocalissimo quoque, edicunt venale imperium, traditurosque se ei qui plurimum pecuniæ pollicceretur, tutoque in aulam deducturos. Id auditum, neminem in senatu gravitate atque autoritate præditum, neminemque è nobilitate, aut ex his denique permovit, quicunque adhuc opulenti superabant, tenues reliquiæ Commodi tyrannidis, neque ausus quisquam aut muro succedere aut turpem contumeliosumque dominatum pecunia pacisci.

τὴν σύγκλητον βουλὴν νέμοντες, πατέρα τε ἤπιον καὶ χρηστὸν προστάτην ἀποβαλόντες. πάλιν τε τυραννίδος ἦν δέος, ἐπεὶ τούτῳ χαίρειν τοὺς στρατιώτας ἤλπιζον.

κα'. Μιᾶς δήπου καὶ δευτέρας ἡμέρας διαδραμούσης, οἱ μὲν δημόται, ἕκαστος τὸ καθ' αὑτὸν δεδιὼς, ὑπανεχώρει. οἵ τε ἐν ἀξιώσει ὄντες εἰς τὰ πορρωτάτω τῆς πόλεως κτήματα ἀπεδίδρασκον, ὅπως ἂν μή τι δεινὸν ἐκ τῆς ἐσομένης ἀρχῆς παρόντες πάθοιεν. Οἱ δὲ στρατιῶται, ἐπεὶ τόν τε δῆμον ἡσυχάζοντα ἔγνωσαν, μή τέ τινα τολμῶντα ἐπεξελθεῖν τῷ τοῦ βασιλέως αἵματι, ἔμενον μὲν ἐντὸς τοῦ τείχους κατακλείσαντες ἑαυτούς. ἀναγαγόντες δὲ τοὺς εὐφωνοτάτους ἑαυτῶν ἐπὶ τὸ τεῖχος, [1] προσεκήρυττον ὤνιον τὴν βασιλείαν· τῷ τε πλεῖον ἀργύριον δώσοντι, ἐγχειριεῖν ὑπισχνοῦντο τὴν ἀρχὴν, καὶ διὰ τῶν ὅπλων αὐτὸν ἀνάξειν ἀδεῶς εἰς τὴν βασίλειον αὐλήν. ἐπεὶ δὲ τὸ κήρυγμα διεφοίτησεν, οἱ μὲν σεμνότεροί τε καὶ εὐσταθέστεροι τῆς συγκλήτου βουλῆς, ὅσοι τε εὐπατρίδαι, ἢ ἔτι πλούσιοι, λείψανα ὀλίγα τῆς Κομμόδου τυραννίδος, οὔτε προσῆλθον τῷ τείχει, οὔτε ἀπρεπεῖ καὶ ἐπονειδίστῳ χρήμασι κτήσασθαι τὴν ἀρχὴν ἠθέλησαν.

1. Ὥσπερ γὰρ ἐν ἀγορᾷ καὶ πωλητηρίῳ τινὶ καὶ αὐτὴ, *scil. Roma* καὶ ἡ ἀρχὴ αὐτῆς πᾶσα ἀπεκηρύχθη *Dion.*

2. Χρηματιστὴς ἄπληστος καὶ ἀναλωτὴς ἀσελγής *Idem.* Longè verò dissentit Spartianus qui hoc de Juliano refert. *Tantæ parsimoniæ fuisse perhibetur, ut per triduum porcellum, per triduum leporem divideret.* Nam in hac vitâ à Græcis scriptoribus procul abit Spartianus, quod semel monuisse suffecerit.

κβ'. Ἰουλι-

κβ'. Ἰουλιανῷ δέ τινι ἤδη μὲν τὴν ὕπατον τετελεκότι ἀρχὴν, δοκοῦντι δὲ ἐν εὐπορείᾳ χρημάτων εἶναι, ἑστιωμένῳ δὲ περὶ δείλην ἑσπέραν διηγγέλθη τὸ στρατιωτικὸν κήρυγμα παρὰ μέθην καὶ κραιπάλην. ἦν γὰρ καὶ τῶν ἐπὶ βίῳ μὴ σώφρονι διαβεβλημένων. πείθουσιν οὖν αὐτὸν ἥ τε [1] γυνὴ καὶ ἡ θυγάτηρ, καὶ τὸ τῶν παρασίτων πλῆθος, ἀναθορόντα τοῦ σκίμποδος δραμεῖν ἐπὶ τὸ τεῖχος, καὶ τὸ πραττόμενον μαθεῖν, παρά τε πᾶσαν τὴν ὁδὸν συμβουλεύοντες, ἐρριμμένην τὴν ἀρχὴν ἁρπάσαι, ἀφθόνως δὲ χρημάτων ἔχοντα μεγαλοδωρεᾷ ἅπαντας ὑπερβαλεῖν, εἰ καί τινες ἀμφισβητοῖεν. ἐπεὶ τοίνυν τῷ τείχει προσῆλθεν, ἐβόα τε, πάντα δώσειν ὅσα βούλονται, ὑπισχνούμενος, παρεῖναί τε αὐτῷ πάμπλειστα χρήματα καὶ θησαυροὺς, χρυσοῦ καὶ ἀργύρου πεπληρωμένους ἔλεγε. κατὰ δὲ τὸν αὐτὸν καιρὸν Σουλπικιανὸς καὶ αὐτὸς ἀνὴρ τῶν ὑπατευκότων, ἔπαρχός τε τῆς πόλεως γενόμενος (πατὴρ δὲ ἦν τῆς Περτίνακος γυναικὸς) ἧκε τὴν ἀρχὴν ὠνούμενος. ἀλλὰ τοῦτον μὲν οὐ προσίεντο, φοβηθέντες οἱ στρατιῶται [2] τὴν πρὸς τὸν Περτίνακα συγγένειαν, μή τις ἄρα δόλος εἴη εἰς τὸ ἐκδικηθῆναι τὸν ἐκείνου φόνον.

κγ'. Καθέντες δὲ κλίμακα, τὸν Ἰουλιανὸν ἐπὶ τὸ τεῖχος ἀναβιβάζουσιν. οὐ γὰρ πρότερον ἀνοῖξαι τὰς πύλας ἤθελον, πρὶν ἢ [3] τὴν ποσότητα τῶν δοθησομένων χρημάτων μαθεῖν. ὁ δὲ ἀνελθὼν,

XXII. Sed enim Juliano cuidam consulari viro, qui grandem habere pecuniam credebatur, vespere supra cœnam nunciatur inter vinum atque epulas militum edictum. Quippe homo alioquin parum vitæ continentis habebatur. Persuadent igitur uxor atque filia, & parasitorum turba, ut relicta mensa acceleret, & quid agatur intelligat. Ac subinde inter eundum adhortantur, occupet projectum imperium: superaturum largitione omnes, qui tantum divitiarum possideat. Igitur ubi ad muros accessit, clamare occepit, daturum quæ vellent: habere se magnas opes, plenos auri thesauros, atque argenti. Eodemque tempore Sulpicianus, & ipse vir consularis, ac præfectus urbi, socerque Pertinacis, imperium licitabatur. Verum in eo milites suspectam habuerunt Pertinacis propinquitatem, subesse aliquid fraudis suspectantes, quo illius cædes vindicaretur.

XXIII. Ergo Julianum scalis demissis supra muros attollunt: non prius ausi reserare portas, quàm conveniret de numero dandæ pecuniæ. Ille Ingressus in castra, primùm quidem honores Commodi, &

1. Contra Spartianus. *Qui uxorem & filias in Palatium vocatas, trepidas invitasque transisse*, Narrat, *quasi imminens exitium præsagirent.*

2. Monuit enim Julianus *ne eum Imperatorem facerent qui Pertinacem vindicaret.* Fœdam utrinque Licitationem lege apud Dion.

3. Indicavit quanti emeret imperium computo per digitos facto, ideò apud Dionem dicitur τοῖς χερσὶν ἐνδεικνύσθαι.

statuas

ſtatuas quas ſuſtulerat Senatus, inſtauraturum pollicebatur: conceſſurumq; ipſis quam quondam ſub illo licentiam obtinuiſſent, præterea militibus ſingulis plus multo argenti daturum, quàm aut petere auderent, aut accepturos expectaverant. Neque in dando moram futuram: nam domi eam pecuniam adſervari. Quibus adducti rebus milites, atque in tantam ſpem erecti, Julianum declarant principem, ſimul & Commodi cognomen imponunt. Tum ſignis ſublatis, impoſitiſque illius imaginibus, deducere hominem tendunt. Igitur de more ſacrificio in caſtris peracto, exiit majore militum comitatu quàm cæteri conſueverant: ſiquidem per vim, contraque populi voluntatem, perque turpitudinem & dedecus imperium emercatus, jure impetum multitudinis verebatur. Sed induti armaturas milites, circumſeptique undique teſtudine facta, ut etiam ſi res poſceret, dimicarent: receptoque in medium imperatore ſuo, clypeis haſtiſque ſupra capita elatis, ut tutiores forent, ſi fortè lapides è tectis mitterentur, de-

τήν τε Κομμόδου μνήμην αὐτοῖς, καὶ τὰς τιμὰς, καὶ τὰς εἰκόνας, ἃς ἡ σύγκλητος καθεῖλεν ἀνανεώσασθαι ὑπέσχετο, καὶ πάντων δώσειν ἐξουσίαν, ὧν εἶχον ἐπ' ἐκείνου. ἑκάστῳ τε στρατιώτῃ τοσοῦτον ἀργύριον, ὅσον μήτε αἰτῆσαι, μήτε λήψεσθαι προσεδόκησαν. τὰ δὲ χρήματα μὴ μελλήσειν, ἀλλ' οἴκοθεν ἤδη μεταπέμψασθαι. Τούτοις ἀναπεισθέντες οἱ στρατιῶται, καὶ ταύταις ἀρθέντες ταῖς ἐλπίσιν, αὐτοκράτορά τε τὸν Ἰουλιανὸν ἀναγορεύουσι, καὶ πρὸς τῷ οἰκείῳ ἐκ γένους ὀνόματι [1] Κόμμοδον ἀξιοῦσιν ἀποκαλεῖσθαι. Τά τε σημεῖα ἄραντες, καὶ τὰς ἐκείνου εἰκόνας [2] ἀποκαταστήσαντες, προπέμπειν ἐπειρῶντο. θύσας δὲ ὁ Ἰουλιανὸς τὰς νενομισμένας καὶ βασιλείους ἐν τῷ στρατοπέδῳ θυσίας προήγετο ὑπ' αὐτῶν, [3] πλέον τε τῆς συνηθείας δορυφορούμενος, ἅτε γὰρ βίᾳ, καὶ παρὰ γνώμην τοῦ δήμου, μετά τε αἰσχρᾶς καὶ ἀπρεποῦς διαβολῆς ὠνησάμενος τὴν ἀρχὴν, εἰκότως ἐδεδίει τὸν δῆμον ὡς ἐναντιωσόμενον. Αναλαβόντες οὖν τὰς πανοπλίας, καὶ φράξαντες αὐτοὺς οἱ στρατιῶται εἰς φάλαγγος σχῆμα, ὡς, εἰ δέοι, καὶ πολεμήσοντες, ἐν μέσοις αὐτοῖς ἔχοντες τὸν ἴδιον βασιλέα, ὑπέρ τε τῆς κεφαλῆς αἰωροῦντες τὰς ἀσπίδας, καὶ τὰ δόρατα, μήπου καὶ λίθων τις βολὴ ἀπὸ τῶν δωμάτων ἐπὶ τῇ πομπῇ γένοιτο, ἀνήγαγον αὐτὸν εἰς βασίλεια, μηδενὸς τῶν δημοτῶν μή-

1. Καὶ αὐτὸν οἱ στρατιῶται τά τε ἄλλα ἐμεγάλυνον, καὶ Κόμμοδον ἐπωνόμαζον. Dion.

2. Vertit Politianus quaſi legeret ἐπικαταστήσαντες. Sed veriſimilior eſt vulgata lectio, Julianum ſc. Commodi imagines velle reſtitutas, cujus memoriam in ſe recepit reſtituendam.

3. Steph. πλέον τι.

τε ἀντιστῆναι τολμῶντος, μήτε μὴν εὐφημοῦντος, ὥσπερ εἰώθασι προπέμπειν τοὺς βασιλέας. τοὐναντίον δὲ καὶ πόῤῥωθεν ἑστῶτες, 1 ἐβλασφήμουν, καὶ κακῶς ἠγόρευον, ἅτε χρημάτων ἀντικαταλλαξάμενον τὴν ἀρχήν.

κδ'. Τότε δὲ καὶ πρῶτον ὑποδιεφθάρη τὰ τῶν στρατιωτῶν ἤθη. καὶ χρημάτων ἐδιδάχθησαν ἄπληστον καὶ αἰσχρὰν ἐπιθυμίαν, καταφρόνησίν τε τῆς πρὸς τοὺς ἄρχοντας αἰδοῦς. τὸ γὰρ μήτε τοῖς οὕτως ὠμῶς τετολμημένοις ἐν φόνῳ τοῦ βασιλικοῦ ἐπεξιέναι τινά, μήτε τὴν οὕτως αἰσχρῶς ἐπὶ χρήμασι κηρυχθεῖσαν καὶ πραθεῖσαν ἀρχὴν εἶναι τὸν κωλύοντα, ἀρχηγὸν καὶ αἴτιον ἀπρεποῦς καὶ ἀπειθοῦς καταστάσεως, καὶ ἐς τὰ ἐπιόντα ἐγένετο ἀεί, τῆς φιλοχρηματίας αὐτῆς, καὶ τῆς τῶν ἀρχόντων καταφρονήσεως μέχρις αἵματος αὐξηθείσης.

κε'. Ὁ δ' οὖν Ἰουλιανὸς ἐπεὶ παρῆλθεν εἰς τὴν ἀρχήν, τρυφαῖς εὐθέως καὶ κραιπάλαις ἐσχόλαζε, τῆς μὲν τῶν δημοσίων ἐπιμελείας ῥᾳθύμως προσφερόμενος, εἰς δὲ τὸ ἁβροδίαιτον καὶ ἄσεμνον ἐπιδιδοὺς ἑαυτόν. εὑρίσκετό τε καὶ τοὺς στρατιώτας ψευσάμενος καὶ ἀπατήσας, τοῦ μὴ δύνασθαι ἀποπληρῶσαι ἃ ὑπέσχετο. οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα, ὅσα ἠλαζονεύσατο, οὔτε μὴν οἱ δημοσιακοὶ θησαυροὶ εἶχον. ἀλλὰ πάντα προκεκένωτο τῇ Κομμόδου ἀσωτίᾳ καὶ ἀφειδέσι, καὶ ἀκρίτοις ἀναλώμασιν. ἐκ δὲ ταύτης τῆς τόλμης, καὶ τῆς αἰτίας, οἵ τε στρατιῶται σφαλέντες τῆς

ducunt eum in aulam, neque auso resistere populo, neque (ut mos est) faustis acclamationibus prosequente, sed diras procul imprecantibus universis, graviterque exprobrantibus quòd ære sibi imperium paravisset.

XXIV. Tunc primum videlicet corrupti militum mores, fœdaque & insatiabilis pecuniæ cupiditas, & contemtus imperatoriæ majestatis inolevit. Nam quum neque vindex existeret ullus tam crudeliter interfecti principis, neque promercale factum imperium, fœdeque nundinatum quisquam prohibuisset, id verò initium causaque militibus fuit, ut etiam in posterum turpissimi, contumacissimique evaderent, sic ut avaritia in dies ac principum contemtus etiam usque ad sanguinem proveheretur.

XXV. Enimverò Julianus imperium adeptus, deliciis continuò crapulæque se dedere, circa Rempublicam indiligens, vitamque mollissimam, luxuque circumfluentem traducere. Sed & spem militum fefellerat, neq; implere fidem promissorum poterat: siquidem nec opes domi quantas jactabat, & publicum ærarium sumtibus illis insanis jampridem à Commodo exhaustum. Quare cùm

1. Ἐξέκραγον πάντες ὥσπερ ἐκ συγκειμένου τινός, *ex composito*, τόν τε ἀρχῆς ἅρπαγα πάντες καὶ Πατροφόνον ὀνομάζοντες. *Dion.*

mili-

milites habebat infensos, tum à populo totius rei conscio facilè contemnebatur.

XXVI. Itaque & prætereuntem maledictis insectabantur, & turpes ambiguasque voluptates exprobrabant, sic ut propalam etiam in circo, quò maxima vis hominum confluit, Julianum incessserent, ac vindicem Romani imperii, præsulemque summi principatus Nigrum vocitarent: orantes, ut quamprimum adesset, ipsosque à tantis contumeliis assereret.

XXVII. Is Niger consulatum gesserat, ac tum Syriæ præerat universæ: qui honos ea tempestate multo maximus erat. Quippe etiam Phœnices, omnisque ad Euphratem regio, Nigri suberat imperio. Ipse ætatis erat jam ad senectutem spectantis, multisque & magnis in rebus versatus famam obtinuerat mansuetudinis ac dexteritatis, sic ut etiam Pertinacis vitam putaretur æmulari. Quibus maximè rebus populi favorem adeptus videbatur. Hunc igitur assiduè frequentis populi clamores implorabant, ac præsentem Julianum convicio lacerantes, illum etiam absentem universi principalibus acclamationibus, faustisque vocibus prosequebantur.

ἐλπίδων, ὑπηγανάκτουν. ὅ, τε δῆμος αἰσθόμενος τῆς γνώμης τῶν στρατιωτῶν εἶχον ἐν καταφρονήσει.

κς'. Ὡς προσιόντα τε κακῶς ἀγορεύειν, ὑπ' αἰσχραῖς τε καὶ ἀμφιβόλοις ἡδοναῖς σκώπτειν, εἴς τε τὸν ἱππόδρομον, ὅπου μάλιστα τὸ πλῆθος συνιὸν ἐκκλησιάζει, τὸν Ἰουλιανὸν [1] ἐβλασφήμουν, ἀρωγὸν δὲ τῇ Ῥωμαίων ἀρχῇ, καὶ σεμνῆς βασιλείας προστάτην, Νίγρον ἐπεκαλοῦντο. Βοηθεῖν τε αὐτὸν τὴν ταχίστην ἠξίουν, ὡς ἐφύβρεισται πάσχουσιν.

κζ'. Ἦν δὲ ὁ Νίγρος τῶν [2] μὲν πρὸ πολλοῦ ὑπατευσάντων. καθ' ὃν δὲ καιρὸν τὰ προειρημένα ἐν Ῥώμῃ ἐπράττετο, Συρίας ἡγεῖτο πάσης. Πολλὴ δὲ ἦν καὶ μεγίστη ἀρχὴ τότε, τοῦ δὴ Φοινίκων ἔθνους παντὸς, καὶ τῆς μέχρις Εὐφράτου γῆς, ὑπὸ τῇ Νίγρου ὄντων ἐξουσίᾳ. ἦν δὲ αὐτὸς τὴν μὲν ἡλικίαν ἤδη μετρίως προβεβηκὼς, εὐδοκιμήσας δὲ ἐν πολλαῖς καὶ μεγάλαις πράξεσι. Φήμη τε περὶ αὐτοῦ διεφοίτα, ὡς ἐπιεικοῦς καὶ δεξιοῦ, ὡς τὸν τοῦ Περτίνακος βίον ζηλοῦντος, ὑφ' ὧν μάλιστα οἱ Ῥωμαῖοι ἐπείθοντο. ἐκάλουν τε αὐτὸν συνεχῶς τοῦ τοῦ δήμου συνόδοις, καὶ βλασφημοῦντες τὸν Ἰουλιανὸν παρόντα, ἐκεῖνον βασιλικαῖς φωναῖς εὐφήμουν ἀπόντα.

---

1. *In circo occupatis indifferenter omnium subselliis populus geminavit convitia in Julianum; Pescennium Nigrum qui jam imperare dicebatur ad urbis præsidium vocavit.* Spartianus.

2. Steph. τῶν μὲν οὐ πρὸ πολλοῦ.

κη'. Διαγγελθείσης τε τῆς τοῦ δήμου Ῥωμαίων γνώμης, καὶ τῆς ἐπιδήλου ἐν ταῖς συνόδοις βοῆς, εἰκότως ὁ Νίγρος ἀναπτερωθεὶς, ῥᾷστά τε αὐτῷ τὰ πράγματα ὑπακούσεσθαι προσδοκήσας, καὶ μάλιστα τῷ τὸν Ἰουλιανὸν ὑπό τε τῶν περὶ αὐτὸν στρατιωτῶν ἀμελεῖσθαι (διότι τὰς ὑποσχέσεις οὐκ ἐπλήρου τῶν χρημάτων) ὑπό τε τοῦ δήμου καταφρονεῖσθαι ὡς ἀνάξιον ἧς ἐώνητο ἀρχῆς, ἐπιδίδωσιν αὑτὸν τῇ τῆς βασιλείας ἐλπίδι. Καὶ τὰ μὲν πρῶτα κατ' ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρχους, τούς τε τῶν στρατιωτῶν ἐξέχοντας οἴκαδε μεταπεμπόμενος, διελέγετο καὶ ἀνέπειθε τὰ ἐκ τῆς Ῥώμης δηλούμενα φανερὰ ποιῶν, ὡς ἂν διαθέουσα ἡ γνώμη, ἔκπυστα καὶ γνώριμα ποιῇ τοῖς τε στρατιώταις καὶ τοῖς λοιποῖς κατὰ τὴν ἀνατολὴν ἀνθρώποις. οὕτω γὰρ ῥᾷστα ἤλπιζε πάντας αὐτῷ προσχωρήσειν, πυνθανομένους ὅτι μὴ αὐτὸς ἐξ ἐπιβουλῆς μνᾶται τὴν ἀρχήν, ἀλλὰ καλούμενος καὶ βοηθήσων ἄπεισι Ῥωμαίοις δεομένοις. ἀνεπείθοντο δὲ πάντες, καὶ μηδὲ μελλήσαντες προσέκειντο ἐκλιπαροῦντες καὶ αὐτοὶ ἀντιλαμβάνεσθαι τῶν πραγμάτων. Φύσει τε κοῦφον τὸ Σύρων ἔθνος, ἐς καινοτομίαν τε τῶν καθεστηκότων ἐπιτήδειον. ἐνῆν δέ τις αὐτοῖς καὶ πόθος τοῦ Νίγρου ἠπίως τε ἄρχοντος ἅπασι, τὰ πλεῖστά τε αὐτοῖς συμπανηγυρίζοντος. φιλέορτοι δὲ φύσει Σύροι, ὧν μάλιστα οἱ τὴν Ἀντιόχειαν κατοικοῦντες, μεγίστην πόλιν, καὶ εὐδαίμονα, σχεδὸν παρὰ πάντα τὸν ἐνιαυτὸν ἑορτάζουσιν ἔν τε πόλει αὐ-

XXVIII. Quibus intellectis, Niger putans omnia sibi ex sententia successura, quod & à militibus negligebatur Julianus, ut qui fidem minimè impleverat, & contemnebatur à populo, ut parum dignus emto principatu, spem cœpit imperii vindicandi. Ac primò quidem ex ducibus, tribunisque, cæterisque militibus, qui plurimum haberent autoritatis, diversos alium alio tempore domum dimittebat, edoctos rerum omnium quæ sibi Româ afferebantur. Id hoc consilio faciebat, ut quàm latissimè toto Oriente rumores disseminarentur. Ita enim sibi adjuncturum quamplurimos existimabat: si non imperium ex insidiis occupaturus, sed opem vocantibus atque implorantibus allaturus videretur. Proinde universi confestim adesse, obsecrare pro se quisque, obtestarique, uti quamprimum Rempublicam capesseret. Est autem Syrorum gens natura levis, pronaque ad res novandas. Amabant autem vehementer Nigrum, quòd & imperium apud illos humanissimè gesserat, & ludis multitudinem, ac celebritatibus detinuerat. Sunt autem Syri suapte natura hujuscemodi oblectamentorum cupidiores: è quibus Antiocheni maximam fœlicissimamque urbem inhabitantes, totum fermè annum vel in urbe ipsa, vel in suburbanis ludos & festa concelebrant. Quocirca edendis as-

siduè

siduè spectaculis, ac remittendis, exhilarandisque otio animis ita sibi vulgus adjunxerat, ut ab omnibus magnoperè coleretur. Quæ cùm ita se habere intelligeret, jussis adesse dictâ die militibus, reliquâ etiam confluente multitudine, ita pro suggestu ad id ipsum extructo verba fecit.

τῇ, καὶ χρῆ τὰ προάστεια. θέας τοίνυν αὐτοῖς συνεχῶς ἐπιτελῶν ὁ Νίγρος, περὶ ἃς μάλιστα ἐσπουδάκασι, καὶ διδοὺς ἄνεσιν εἰς τὸ ἑορτάζειν, καὶ εὐφραίνεσθαι, ὥστε ποιῶν κεχαρισμένα, εἰκότως ἐτιμᾶτο. ὅπερ εἰδὼς, καλέσας τούς τε πανταχόθεν στρατιώτας εἰς ῥητὴν ἡμέραν, τό τε λοιπὸν πλῆθος συνηθόντος, βήματος αὐτῷ κατασκευασθέντος, ἔλεξε τοιάδε ἀνελθών.

Oratio Nigri.

Δημηγορεία Νίγρου.

XXIX. Quàm mite ingenium, quantaque in rebus majoribus aggrediendis nostra cautio sit, forsitan ipsi quoque jam pridem cognovistis. Neque ego nunc apud vos processissem verba facturus, si vel privato consilio, vel incertâ spe, aut spem superante cupiditate adducerer. Sed me vocant Romani, & assiduè clamantes fatigant, ut eis manum porrigam salutarem. Neque patiar tam excellens, tamque gloriosum relictum à majoribus imperium, jacere abjectum turpiter. Ut autem citra occasionem aliquam res aggredi tantas, audax sanè, temerariumque fit: ita si implorantibus ac rogantibus opem deneges, timiditatis & proditionis crimine labores. Quapropter eo consilio ad vos huc prodii, ut scitcitarer quid facto opus esse duceretis, vobisque uterer quasi totius negotii hujus consultoribus: quod si ex sententia successerit, communis mihi inde vobiscum erit utilitas. Neque

κθ'. Τῆς μὲν ἐμῆς γνώμης τὸ πρᾶον, καὶ πρὸς τὰ μεγάλα τῶν τετολμημένων εὐλαβές, ἴσως ἐστὶν ὑμῖν πάλαι γνώριμον. οὐδ᾽ ἂν νῦν εἰς ὑμᾶς ἦλθον ταῦτα δημηγορήσων, εἰ ἐκ μόνης προαιρέσεως ἰδιωτικῆς, καὶ ἀλόγου ἐλπίδος, ἢ μείζονος ἐλπίδος ἢ ἐπιθυμίας ἀνεπειθόμην. ἀλλ᾽ ἐμὲ καλοῦσι Ῥωμαῖοι, καὶ συνεχῶς βοῶντες ἐπείγουσιν ὀρέξαι τε χεῖρα σωτήριον, καὶ οὕτω τὴν ἔνδοξον καὶ ἐνάρετον ἀπὸ προγόνων ἄνωθεν ἀρχὴν μὴ περιϊδεῖν αἰσχρῶς ἐρριμμένην. ὥσπερ γὰρ τὸ τολμᾶν ἐπὶ τοῖς τηλικούτοις, οὐκ οὔσης εὐλόγου προφάσεως, προπετὲς καὶ θρασὺ, οὕτω καὶ τὸ πρὸς καλοῦντας καὶ δεομένους ὀκνηρὸν, ἀνανδρείας ἅμα καὶ προδοσίας φέρει διαβολήν. διὸ παρῆλθον πευσόμενος ὑμῶν, τίνα γνώμην ἔχοιτε, καὶ πρακτέον ἡγεῖσθε, συμβούλοις τε ὑμῖν καὶ κοινωνοῖς χρησόμενος, περὶ τῶν καθεστώτων. Τὸ γὰρ ἀποβησόμενον, εἰ εὐτυχηθείη, κοινὴν ἐμοί τε καὶ ὑμῖν τὴν ἀπόλαυσιν παρέξει. οὐ φαῦ-

λαι

λαι δὲ, οὐδὲ κοῦφαι καλοῦσιν ἐλπίδες. ἀλλ' ὅ, τε Ῥωμαίων δῆμος, ᾧ τὴν δεσποτείαν τῶν ἁπάντων ἔνειμαν θεοὶ, καὶ τὴν βασιλείαν, ἥ τε ἀρχὴ σαλεύουσα, καὶ παρὰ μηδενί πω βεβαίως ἱδρυμένη. ὅθεν ὑμῖν καὶ τὸ τῆς ἐπιχειρήσεως ἀσφαλὲς, ἔκ τε τῆς τῶν καλούντων γνώμης, καὶ ἐκ τοῦ μηδένα εἶναι τὸν ἀνθεστῶτα, μηδὲ κωλύοντα, ὑπάρξει. καὶ γὰρ οἱ τὰ ἐκεῖθεν ἀγγέλλοντες, φασὶ μηδὲ τοὺς στρατιώτας, οἳ τὴν ἀρχὴν αὐτῷ χρημάτων ἀπέδοντο, πιστοὺς εἶναι [1] φρουροὺς ὑπηρέτας, μηδὲ πληρώσαντος ἐκείνου, ἃ ὑπέσχετο. τίνα τοίνυν ἔχετε γνώμην, δηλώσατε.

λ'. Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, εὐθέως τὸ στρατιωτικὸν πᾶν καὶ τὸ συνειλεγμένον πλῆθος, αὐτοκράτορά τε ἀνεῖπε, καὶ σεβαστὸν προσηγόρευσε. τήν τε βασίλειον πορφύραν περιβαλόντες, καὶ τὰ λοιπὰ τῆς σεβασμίου τιμῆς, καὶ αὐτοσχεδίου παρασκευῆς ἀθροίσαντες, καὶ προπομπεύοντος τοῦ πυρὸς, εἴς τε τὰ ἱερὰ τῆς Ἀντιοχείας τὸν Νίγρον ἄγουσι, καὶ εἰς τὴν ἑαυτοῦ οἰκίαν καθιστᾶσιν οὐκέτι αὐτὴν ἰδιωτικὴν, ἀλλὰ βασίλειον αὐλὴν νομίζοντες, πᾶσι κοσμήσαντες [2] τοῖς ἔξωθεν βασιλικοῖς συμβόλοις.

λα'. Ἐπὶ τούτοις δὴ ὁ Νίγρος πάνυ τὴν ψυχὴν ηὐφραίνετο, ἀγχυρῶ-

scilicet tenues opes, aut leves sunt, quæ nos solicitant, sed ipse Romanus populus, cui rerum omnium potestatem superi tribuerunt: ipsum Romanum imperium, fluctuans adhuc, neque apud quenquam certâ sede residens. Sed neque parum tuta inimus consilia, his implorantium animis, nullo ad prohibendum resistendumque parato. Nam qui illinc veniunt, ne ipsos quidem milites, unde imperium emtitaverit, satis ei fidos fore affirmant, quoniam promissa non solverit. Quæ sit igitur vestra mens ostendite.

XXX. Talia loquentem continuò exercitus omnis, cæterumque vulgus, imperatorem atque Augustum consalutant. Tum amictum purpurâ, reliquoque exornatum aulico paratu, ibidem extemporè conquisitò, præcedente etiam igni, in Antiochiæ primum templa, mox ad suas ædes deduxerunt: quas etiam, ceu non jam privatas, omnibus extrà insignibus Imperatoriis adornaverunt.

XXXI. His lætus Niger, cum scilicet & Roma-

1. Steph. φρουροὺς καὶ ὑπηρέτας vel φρουρᾶς ὑπηρέτας.

2. Cum Cæsaribus tanquam Diis multa decreta essent, ipsorum quoque ædium fastigia eodem modo ornari experunt, quo solebant deorum templa. ἦν γάρ τι, Inquit Plutar. τῇ Καίσαρος οἰκίᾳ προσκείμενον ὡς ἐπὶ κόσμῳ καὶ σεμνότητι, τῆς βουλῆς ψηφισαμένης, ἀκρωτήριον. Illa autem ἀκρωτήρια fastigiis erant imposita, ipsa verò fastigia ἀετώματα & ἀετοὶ dicebantur; inde illud Aristoph. ἐρέψομεν πρὸς ἀετὸν ductâ ab expansis alis similitudine. Sed hoc obiter.

norum animos, & cæterorum ſtudia hominum animadverteret, jam haud dubiè rem omnem ſibi eſſe in vado arbitrabatur. Qui poſtquam rumor increbuit, ſtatim quæcunque adverſum Europæ continentem nationes incolunt feſtinare pro ſe quæque ut præſto illi eſſent, legati undique Antiochiam confluere, velut ad legitimum principem. Reges quoque & Satrapæ trans Ephratem, Tygrimque habitantes, gratulatum miſerunt, ſuamque operam in omnem eventum pollicebantur. Quos ille ampliſſimis muneribus gratiiſque actis dimittebat, nullis ſibi in præſens opus eſſe auxiliis affirmans, ſatis munitum Imperium, idque geſturum ſe incruentum.

XXXII. Quare tanta ſpe ſublatis animis, ſupinius jam negligentiuſque agitabat, ſeque populumque Antiochenum otio deliciiſque oblectans, ludoſque edens & ſpectacula. Neque verò aut Romam, quod res maximè poſtulabat, proficiſci ſtuduit: aut Illyricos exercitus, qui ſcilicet inprimis adeundi, conciliandique fuerant, ullis de rebus certiores fecit: ſperans ſtatim intellecta re, cum Romanis eos pariter, cumque Orientis totius exercitibus conſenſuros. Hæc dum agitaret, levi incertaque ſpe

ὥς τε αὐτῷ τὰ τῆς ἀρχῆς ἡγεῖτο, διά τε τὴν τῶν Ῥωμαίων γνώμην, καὶ τὴν περὶ αὐτὸν σπουδὴν τῶν ἀνθρώπων. ὡς γὰρ διϊπταμένη ἡ φήμη, πάντα ἐπῆλθεν ἔθνη ὅσα τὴν ἀντικειμένην ἤπειρον τῇ Εὐρώπῃ κατοικεῖ, οὐδείς τε ἦν ὃς οὐχ ἑκὼν εἰς τὸ ὑπακούειν αὐτῷ ἠπείγετο, πρεσβεῖαί τε ἀπ' ἐκείνων τῶν ἐθνῶν εἰς τὴν Ἀντιόχειαν ὡς πρὸς βασιλέα ὁμολογούμενον ἐστέλλοντο, οἵ τε ἐπέκεινα Τίγριδος, καὶ Εὐφράτου σατράπαι καὶ βασιλεῖς ἐπέστελλον, συνηδόμενοι αὐτῷ, καὶ εἰ δέοιτο βοηθείας, ὑπισχνοῦντο. Ὁ δὲ δώροις τε αὐτοὺς μεγαλοπρεπῶς ἠμείβετο, καὶ ἐπὶ τῇ σπουδῇ καὶ ὑποσχέσει χάριν γιγνώσκων, ἔλεγε μὴ δεῖσθαι συμμάχων. τὴν ἀρχὴν αὐτῷ βεβαίως ὀχυρώσασθαι, ἀναιμωτί τε ἄρξειν.

λβ'. Ταύταις ἐπαιρόμενος ταῖς ἐλπίσιν, ὑπτίαζέ τε πρὸς τὴν τῶν πραγμάτων ἐπιμέλειαν, καὶ ἐς τὸ ἁβροδίαιτον ἀνειμένος, τοῖς Ἀντιοχεῦσι συνευφραίνετο ἑορταῖς καὶ θέαις ἐπιδιδοὺς ἑαυτόν. τῆς τε εἰς τὴν Ῥώμην ἀφόδου, ἐφ' ἣν μάλιστα ἐχρῆν σπουδάζειν, ἠμέλει. τοῖς τε Ἰλλυρικοῖς στρατεύμασι δέον ἐπιφοιτῆσαι τὴν ταχίστην, καὶ φθάσαι οἰκειωσάμενον αὐτά. ὁ δὲ οὐδὲ τῶν πραττομένων τι [1] αὐτοῖς ἐδίδου, ἐλπίζων τοὺς ἐκεῖ στρατιώτας, εἴποτε καὶ μάθοιεν, ὁμογνώμονας ἔσεσθαι τῇ τε Ῥωμαίων ἀρχῇ, καὶ τῇ τῶν κατὰ τὴν ἀνατολὴν στρατοπέδων γνώμῃ. ταῦτα δὲ αὐτοῦ διατυποῦντος, καὶ [2] κούφοις καὶ ἀδήλοις ἐπαιωρουμένου ἐλπίσι, δι-

1 Steph. [αὐτοῖς ἐδήλου.]

2 Leg. Κούφαις.

ἠγγέλλετο

ἠγγέλλετο τὰ πεπραγμένα εἴς τε Παίονας καὶ Ἰλλυρικούς, , καὶ πᾶν τὸ ἐκεῖσε στρατιωτικόν, ὃ ταῖς ὄχθαις τοῦ Ἴστρου καὶ Ῥήνου ἐπικείμενον, ἀπεῖργον τοὺς ἐπέκεινα βαρβάρους, φρουρεῖ τὴν Ῥωμαίων ἀρχήν.

λγ'. Ἡγεῖτο δὲ Παιόνων πάντων (ὑπὸ μιᾷ γὰρ ἦσαν ἐξουσίᾳ) Σεβῆρος ἀνήρ, τὸ μὲν γένος Λίβυς, ἐς δὲ τὴν τῶν πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής, σκληρῷ τε βίῳ καὶ τραχεῖ ἐνειθισμένος, πόνοις τε ἀντέχων ῥᾷστα, [1] νοῆσαι τε ὀξὺς, καὶ τὸ νοηθὲν ἐπιτελέσαι ταχύς. οὗτος τοίνυν παρὰ τῶν ἀγγελλόντων, πυνθανόμενος τὴν Ῥωμαίων ἀρχὴν, μετέωρον φερομένην [2] ἁρπᾶσαι, καταγνοὺς τῶν μὲν ῥαθυμίαν, τῶν δὲ δυσπραγίαν τοῖς πράγμασιν. ἀνέπειθε δὲ αὐτὸν ὀνείρατα τοιαύτην τινὰ ἐλπίδα ὑποσημαίνοντα, χρησμοί τε καὶ ὅσα εἰς πρόγνωσιν τῶν μελλόντων σύμβολα φαίνεται, ἅπερ πάντα ἀψευδῆ καὶ ἀληθῆ τότε πιστεύεται, ὅταν εἰς τὴν ἀπόβασιν εὐτυχηθῇ. τὰ μὲν οὖν πολλὰ εἰς τὸ ἐνθὲν αὐτός τε συγγράψας [3] ἐν τῷ καθ' αὐτὸν βίῳ, καὶ δημοσίαις ἀνέθηκεν εἰκόσι. [4] τὸ δ' οὖν τελευταῖον καὶ μέγιστον, ὅπερ αὐτῷ καὶ τὴν ἐλπίδα πᾶσαν ὑπέφαινεν ὄναρ, οὐδ' ἡμῖν παραλειπτέον.

ſubnixus, fama jam per Pannonios, Illyricoſque increbuerat, perque exercitus omnes, qui pro ripis Danubii, Rhenique excubantes, coercendis Barbaris Romanum tuentur Imperium.

XXXIII. Præerat autem Pannoniis univerſis (nam unius regebantur imperio) Severus quidam genere Afer, vehemens homo negotiis gerendis, ac ferox, vitæque inſuetus duræ & aſperæ, promtus excogitandis, acer exequendis rebus. Qui poſtquam Romanum principatum pendere ſublimem, quaſique direptui expoſitum vidit, alterum quidem ut deſidem, alterum ut parum efficacem, contemtui habuit. Addebant præterea ſpem ſomnia quædam & oracula, cæteraque futurorum præſagia, tum denique fidem veri impetrantia, quum ſunt eventum ſortita. Quorum pleraque ipſe in libris de vita ſua conſcripſit, ac publicè in tabulis picta dedicavit: ſed quod illi extremum, maximique momenti ſomnium, ſpem propemodum omnem conciliavit, id ne nobis quidem ſilentio prætereundum.

1. Dion. Severum δεινότατον appellat.

2. Mancus ſenſus, nec legitima conſtructio, niſi verbum aliquod ſubintelligatur puta [διενοήθη] aut tale quid.

3. In hiſtoriâ vitæ privatæ quam, referente Spartiano, compoſuit ad fidem.

4. Frequens Romanis per ſomnia augurium; plura lege apud Spartianum ſtatim ab initio, quæ Severo imperandi ſpem fecerunt.

XXXIV. Quo enim tempore nunciatum est, Pertinacem ad Imperium ascitum, peracto Severus sacrificio, juratusque fidem principi, ubi primum domum rediit, somno comprehensus, videt per quietem magnum quendam ac generosum equum ornatum phaleris imperialibus, qui Pertinacem ipsum per urbem veheret, media Sacra via. Sed ubi ad ipsum fori pervenit ingressum, in quem olim liber populus frequens conveniebat, visus est excussisse Pertinacem equus, atque abjecisse humi: proximeque astanti Severo tergum substernere, eumque præferre sublimem tutò in forum medium, conspicuum venerabundæ multitudini. Manet autem adhuc hujus imago somnii eodem ipso in loco ingens, ex ære conflata.

XXXV. Ad hunc igitur modum sublatis animis Severus, ac se divina providentia solicitari ad Imperium ratus, decrevit animos periclitari militum. Quare primum quidem præfectos, tribunosque & primos militum sibi adjungens, cumque iis de Romano Imperio sermones serens, abjectum id esse dictitabat, existente nullo per quem fortiter atque ex dignitate gubernaretur. Invehens præterea in prætorianas cohortes, quæ sacramentum militare, civili imperatorioque sanguine polluissent, vindicandam esse aiebat,

λδ'. Καθ' ὃν γὰρ καιρὸν ἀπηγγέλη Περτίναξ παραλαβὼν τὴν ἀρχήν, μετὰ τὸ πευσθεῖν καὶ θῦσαι ὁ Σεβῆρος, καὶ τὸν ὑπὲρ τῆς Περτίνακος βασιλείας ὅρκον ἀφοσιώσασθαι, ἐπανελθὼν εἰς τὴν οἰκίαν, ἑσπέρας καταλαβούσης, εἰς ὕπνον κατηνέχθη, μέγαν καὶ γενναῖον ἵππον βασιλικοῖς φαλάροις κεκοσμημένον ᾠήθη βλέπειν, φέροντα ἐποχούμενον τὸν Περτίνακα διὰ μέσης τῆς ἐν Ῥώμῃ ἱερᾶς ὁδοῦ. ἐπεὶ δὲ κατὰ τὴν ἀρχὴν τῆς ἀγορᾶς ἐγένετο, ἔνθα ἐπὶ τῆς δημοκρατίας πρότερον ὁ δῆμος συνιὼν ἐκκλησίαζεν, ᾠήθη τὸν ἵππον ἀποσεῖσαι μὲν τὸν Περτίνακα, καὶ ῥῖψαι. αὐτῷ δὲ ἀγχοῦ ἑστῶτι, ὑποδῦναί τε αὐτόν, καὶ ἀράμενον ἐπὶ τοῖς νώτοις, φέρειν τε ἀσφαλῶς, καὶ στῆναι βεβαίως ἐπὶ τῆς ἀγορᾶς μέσης, εἰς ὕψος ἄραντα τὸν Σεβῆρον, ὡς ὑπὸ πάντων ὁρᾶσθαί τε καὶ τιμᾶσθαι. μένει δὲ εἰς ἡμᾶς ἐκείνῳ τῷ χωρίῳ ἡ τοῦ ὀνείρατος εἰκὼν μεγίστη, χαλκοῦ πεποιημένη.

λε'. Οὕτω τοίνυν ὁ Σεβῆρος ἀρθεὶς τὴν γνώμην, ἐλπίζων τε θείᾳ προνοίᾳ ἐπὶ τὴν ἀρχὴν αὐτὸν καλεῖσθαι, ἀπόπειραν ἐποιεῖτο τῆς τῶν στρατιωτῶν γνώμης. τὰ μὲν πρῶτα κατ' ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρχας, τούς τε ἐν τοῖς στρατοπέδοις ἐξέχοντας οἰκειούμενος, καὶ περὶ τῆς ἀρχῆς τῶν Ῥωμαίων διαλεγόμενος, ὡς παντάπασιν ἔρριπται, οὐδενὸς ὄντος τοῦ γενναίως ἢ κατ' ἀξίαν αὐτὴν διοικοῦντος. διέβαλλε δὲ τοὺς ἐν Ῥώμῃ στρατιώτας ὡς ἀπίστους, καὶ βασιλείῳ καὶ ἐμφυλίῳ αἵματι μιάναντας τὸν ὅρκον· ἔλεγέ τε δεῖν ἐπα-

μνῆσαι καὶ [1] ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ. ᾔδει δὲ πάντας τοὺς κατὰ τὸ Ἰλλυρικὸν στρατιώτας μεμνημένους τῆς Περτίνακος ἡγεμονίας. ὑπὸ γὰρ Μάρκῳ βασιλεύοντι πολλὰ ἐγείρας σὺν αὐτοῖς κατὰ Γερμανῶν τρόπαια, στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἰλλυρικῶν κατασταθεὶς, ἀνδρείαν μὲν πᾶσαν ἐν ταῖς μάχαις πρὸς [2] τοὺς πολέμους ἐπιδέδεικτο· εὔνοιαν δὲ καὶ [3] χρηστότητα μετὰ σώφρονος καὶ ἐπιεικοῦς ἐξουσίας τοῖς ἀρχομένοις παρέσχετο. ὅθεν αὐτοῦ τὴν μνήμην τιμῶντες, ἐπὶ τοῖς οὕτως ὠμῶς κατ' αὐτοῦ τετολμημένοις ἠγανάκτουν. ταύτης δὴ τῆς προφάσεως λαβόμενος ὁ Σεβῆρος, εὐμαρῶς αὐτοὺς ἐφ' ἃ ἐβούλετο ὑπηγάγετο, προσποιούμενος οὐχ οὕτω τῆς ἀρχῆς ἀντιποιεῖσθαι, οὐδ' αὑτῷ τὴν ἐξουσίαν μνᾶσθαι, ὡς θέλειν ἐπεξελθεῖν τοιούτου βασιλέως αἵματι. ὥσπερ δὲ τὰ σώματα οἱ ἐκεῖσε ἄνθρωποι γενναιότατοί τε καὶ μεγάλοι εἰσὶ, καὶ πρὸς μάχας ἐπιτήδειοι καὶ φονικώτατοι, οὕτω καὶ τὰς διανοίας παχεῖς, καὶ μὴ ῥᾳδίως συνιέναι δυνάμενοι, εἴ τι μετὰ πανουργίας ἢ δόλου λέγοιτο ἢ πράττοιτο. πιστεύσαντες γοῦν τῷ Σεβήρῳ προσποιουμένῳ χαλεπαίνειν, καὶ θέλειν ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ, ἐπιδιδόασιν αὐτοὺς, ὡς αὐτοκράτορά τε ἀποδεῖξαι, καὶ τὴν ἀρχὴν ἐγχειρίσαι. ὁ δ' ὡς ἔγνω τὴν τῶν Παιόνων γνώμην, ἔπεμψε καὶ εἰς τὰ γειτνιῶν-

ac persequendam Pertinacis cædem: minimè ignarus, excubare adhuc memoriam Pertinacis apud Illyricos exercitus, quoniam sub Imperatore Marco multa illius ductu, adversus Germanos trophæa excitaverat: & cùm præfectus Illyrico foret, nullum non exemplum virtutis in prælio ostentaverat, benevolentiam porrò ac probitatem, ad hæc civile moderatumque Imperium sociis præstiterat. Quocirca memoriam ejus principis colentes, tantam in illum editam crudelitatem indignissimè ferebant. Hanc igitur Severus occasionem arripiens, facilè eos, quò vellet, adducebat: simulans non se quidem Imperium quærere, aut summam potestatem affectare, sed ire ultum sanguinem tanti principis. Nam ut ejus regionis homines corporibus utuntur prævalidis atque proceris, & in pugnam cædemque paratissimis: ita pingui sunt ingenio. Quare haud facilè sentiunt, si quid agas, dicasve astutè ac subdolè. Quocirca quum fidem fecisset Severus, cædem se Pertinacis persequi velle, ita sibi universos conciliavit, ut Imperator diceretur, summamque ab eis acciperet potestatem. Sed ubi Pannoniorum animos exploravit, statim vicinarum quo-

1. *Excipiebatur enim ab omnibus quasi Pertinacis ultor.* Spart.

2. Πρὸς τοὺς πολεμίους. Sylb.

3. Inde dictus est Pertinax χρηστολόγος; erat enim, uti ait Dion. εὐπροσήγορος.

que

que gentium præsides, quæcunque Romano subjacent Imperio magnis illexit præmiis. Erat autem Severus unus omnium mortalium ad amorem simulandum maximè factus, sic ut ne jusjurandum quidem fallere dubitaret, si ita usus posceret: longèque aliud in lingua promptum, quàm in animo reconditum gerebat. Igitur Illyrico omni, rectoribusque provinciarum per literas insinuatus collectisque undecunque militibus, ac suscepto Pertinacis cognomine, quod non Illyricis modò, sed Romano etiam populo gratissimum fore suspicabatur, convocatis omnibus in campum, ita pro suggestu locutus dicitur.

τὰ ἔθνη, καὶ πρὸς πάντας τοὺς ἄρχοντας τῶν ὑπὸ ἀρχὴν Ῥωμαίοις δουλευόντων ἐθνῶν· μεγάλαις τε πάντας ὑποσχέσεσι καὶ ἐλπίσιν ἀναπείθων, ῥᾳδίως ὑπηγάγετο. ἱκανώτατος δ' ἦν πάντων ἀνθρώπων μάλιστα προσποιήσασθαί τε καὶ πιστώσασθαι εὔνοιαν, [1] μήτε ὅρκου φειδόμενος εἰ δέοι τούτου καταφρονῆσαι, ψευσάμενος πρὸς τὸ χρειῶδες. διά τε γλώττης προΐετο, ὅσα μὴ ἔφερεν ἐπὶ γνώμης. θεραπεύσας οὖν διὰ γραμμάτων, πάντας τοὺς κατὰ τὸ Ἰλλυρικὸν ἅμα καὶ ἄρχοντας, προσηγάγετο αὐτούς. ἀθροίσας δὲ τοὺς πανταχόθεν στρατιώτας, ἀντὶ Σεβήρου τε ἑαυτὸν [2] Περτίνακα ὀνομάσας (ὅπερ οὐ μόνον ἤλπιζε τοῖς Ἰλλυρικοῖς εἶναι κεχαρισμένον, ἀλλὰ καὶ τῷ δήμῳ κατὰ Ῥωμαίων, διὰ τὴν ἐκείνου γνώμην) συγκαλέσας τε αὐτοὺς εἰς τὸ πεδίον, καὶ βήματος αὐτῷ ἀρθέντος ἀνελθὼν, ἔλεξε τοιάδε.

Oratio Severi.

Δημηγορία Σεβήρου.

XXXVI. Quantum vel fidei vel religionis erga deos, per quos jurati estis, quantumque honoris imperatoribus exhibeatis, quos adeò veneramini, facilè ostenditis, milites, cum tantopere indignamini cohortes urbanas, pompæ magis, quàm virtutis administras, adeò fœdum facinus perpetrasse. Ac mihi quidem in votis est, nunc

λϛ'. Τὸ πιστὸν ὑμῶν, καὶ πρός τε θεοὺς σεβάσμιον, οὓς ὀμνύτε, πρός τε βασιλέας τίμιον, οὓς αἰδεῖσθε, δεδηλώκατε δι' ὧν ἀγανακτεῖτε, ἐφ' οἷς οἱ κατὰ τὴν Ῥώμην στρατιῶται, πομπῆς μᾶλλον ἢ ἀνδρείας ὑπηρέται ἐτόλμησαν. κἀμοὶ δὲ δι' εὐχῆς ὄντι, πρότερον μὲν οὐδ' ἄλλοτε ἀντιποιησα-

1. Cui consimile illud τὸ ἀληθὲς τοῦ ψεύδους κρεῖττον εἶναι, ἑκατέρου δὲ τῇ χρείᾳ τὴν ἀξίαν καὶ τὴν τιμὴν ὁρίζεσθαι.

2. *Se quoque Pertinacem vocari jussit, quamvis postea id nomen aboleri voluerit querimoniâ amicorum.* Spart.

ἀρξαμένῳ τοιαύτης ἐλπίδος (ἴστε γάρ μου τὸ πρὸς τοὺς βασιλεύσαντας εὐσεβὲς) νῦν δὲ ἐπὶ τέλος τε ἀγαγεῖν καὶ ἀνύσαι ταῦτα ἅπερ θεοῖς ὑμῖν κεχαρισμένα· τήν τε Ῥωμαίων ἀρχὴν μὴ περιιδεῖν ἐρριμμένην, ἣ πρότερον μὲν [1] μέχρι καιρῶν σεμνοπρεπῶς διοικουμένη, σεβάσμιος ἐφαίνετο. εἰς Κόμμοδον δὲ μεταπεσοῦσα, εἰ καί τινα ὑπ' ἐκείνου διὰ νεότητα ἐπλημμελεῖτο, ἀλλ' οὖν τῇ εὐγενείᾳ καὶ τῇ τοῦ πατρὸς μνήμῃ ἐπεσκιάζετο, καὶ πλέον ἦν ἐν αὐτῷ τὸ ἐλεούμενον, ἐφ' οἷς ἐσφάλλετο, ἢ τὸ μισούμενον. ἐπεὶ τὰ πλεῖστα τῶν γινομένων οὐκ εἰς ἐκεῖνον ἀνεφέρομεν, ἀλλ' εἰς τοὺς περὶ αὐτὸν κόλακάς τε, καὶ οὐ πρεπόντων ἔργων ὁμοῦ συμβούλους τε καὶ ὑπηρέτας. ἐπεὶ δὲ εἰς σεμνὸν πρεσβύτην, οὗ τῆς ἀνδρείας τε καὶ χρηστότητος ἔτι ταῖς ψυχαῖς ὑμῶν μνήμη ἐνέστακται, περιῆλθεν ἡ ἀρχή, οἱ δὲ οὐκ ἠνέσχοντο, ἀλλὰ τοιοῦτον ἄνδρα φόνῳ ἀπεσκεδάσαντο. τὴν δὲ γῆς καὶ θαλάττης τοσαύτην ἀρχὴν ὠνησάμενός τις αἰσχρῶς, πρός τε τοῦ δήμου, ὡς ἀκούετε, μεμίσηται, πρός τε τῶν ἐκεῖ στρατιωτῶν, οὓς ἐψεύσατο, οὐκ ἔτι πιστεύεται, ὧν εἰ καὶ ἤμελλον ὑπὲρ αὐτοῦ παρατάξασθαι μετ' εὐνοίας, καὶ πλήθει σύμπαντες, καὶ καθ' ἕνα ἕκαστον ἐν ἀνδρείᾳ προὔχετε, ἀσκήσει τε πολεμικῶν

primùm tantam ſpem auſpicanti (nam profectò ſcitis, quàm ſemper audiens dicto principibus fuerim) perducere ad exitum, atque explicare quæ vobis cordi ſunt. Neque Romanum Imperium abjectum pati, quod quidem apud majores ſumma ſemper autoritate geſtum venerandum omnibus videbatur. Poſtea verò quàm ad Commodum recidit, etſi ob illius adoleſcentiam ſæpenumero impegit, attamen omne vitium, cum ipſius principis nobilitate, tum ſanctiſſimi parentis memoria obumbrabatur. Neque tam errata illius odium, quàm miſericordiam emerebantur. Quippe non tam ipſi quæ gerebantur, quàm aſſentatoribus imputabamus, cæteriſque malarum artium conſultoribus atque miniſtris: donec ad ſanctiſſimum illum ſenem, cujus adhuc virtutis & probitatis noſtris mentibus memoria reſidet, delatum fuit Imperium. Quem tamen tantùm abeſt ut tolerare illi potuerint, ut cæde etiam nefaria talem virum è medio ſuſtulerint. Poſt hunc autem terræ mariſque Imperium, neſcio quis turpiſſimè auctionatus & populo, quemadmodum auditis, inviſus eſt; & milites, quibus impoſuit, parum fidos habet. Qui tamen, ſi etiam defenſuri illum forent, attamen neque numero univerſi, neque virtute ſinguli conferendi ſunt vobis. Ad

1 Videtur hic aliquid intercidiſſe, atque adeò legi debere [μέχρι τοῦ νῦν καιρῶν.]

hæc

hæc bellica vos negotia exercuerunt. Nam & cum Barbaris pedem conferre, & labores omnes perferre, & algores æstusque despicere, & concreta gelu calcare flumina, & potare effossos latices, non haustos, & venatui invigilare consuevistis. Omnia denique ad virtutem adepti viatica, sic ut nemini facilè sit vestris obsistere viribus. Etenim labore miles probatur, non mollitudine: qua illi exaturati atque enutriti, ne vocem quidem vestram, nedum pugnam poterunt sustinere. Quòd si cui Syriæ res formidabiles videntur, is vel ex eo cogitet quàm imbecillæ sint, quámque tenui spe nitantur; quod neque adhuc progredi quoquam, neque de urbe petenda deliberare ausi, sedesque illas boni consulentes, delicias in diem quæsitas, lucrum esse ambiguæ potestatis arbitrantur. Est autem ad joca & cavilla in primis factum Syrorum genus: tum qui Antiochiam colunt, ii studere Nigro potissimum creduntur. Nam gentes reliquæ, & civitates, cùm adhuc neminem Imperio dignum aspiciant, quique sit rempublicam fortiter, moderatéque gesturus, ei scilicet obedire se tandem simulant. Quod si ab Illyrico exercitu ducem creatum cognoverint, simulque nostrum nomen inaudierint, non obscurum sanè apud ipsos, neque

ἐγγεγύμνασθε· ὑμεῖς μὲν ἀεὶ Βαρβάροις ἀντιταττόμενοι, καὶ φέρειν πόνους πάντας πορείας, κρύους τε καὶ θάλπους καταφρονεῖν, ποταμούς τε πηγνυμένους πατεῖν, καὶ πίνειν ὀρυττόμενον, ἀλλ' οὐκ ἀνιμώμενον ὕδωρ εἰθισμένοι· θήραις τε ἐγγεγύμνασθε, καὶ πάντως ὑμῖν εἰς ἀνδρείαν ὑπάρχει γενναῖα ἐφόδια, ὡς μηδὲ, εἰ βουληθείη τις, δύνασθαι ὑμῖν ἀντιστῆναι. δοκίμιον γὰρ στρατιωτῶν, κάματος, ἀλλ' οὐ τρυφή, ἧς περ ἐκεῖνοι ἐκκραιπαλῶντές τε καὶ ἐναυξηθέντες, οὐδ' ἂν τῆς βοῆς ὑμῶν ἀνάσχοιντο, ὅπου γε τῆς μάχης. εἰ δέ τινες τὰ κατὰ Συρίαν ὑποπτεύοιεν πράγματα, ἐντεῦθεν ἂν τεκμήραιντο ἀσθενῆ τε ὄντα, καὶ φαύλας ἔχοντα τὰς ἐλπίδας, [1]ὅπου μηδὲ προελθεῖν τῆς αὐτῶν χώρας ἐτόλμησε, μηδέ τι περὶ τῆς εἰς Ῥώμην ἀφόδου βουλεύσασθαι ἐθάρρησε, ἀγαπητῶς ἐκεῖ μένοντες, καὶ ἐφήμερον τρυφὴν, κέρδος τῆς οὔπω βεβαίας ἀρχῆς νομίζουσιν. ἐπὶ μὲν γὰρ τὸ χαριέντως καὶ μετὰ παιδιᾶς ἀποσκῶψαι ἐπιτήδειοι Σύροι, καὶ μάλιστα οἱ τὴν Ἀντιόχειαν οἰκοῦντες, φασὶ περὶ τὸν Νίγρον ἐσπουδακέναι. τὰ δ' ἄλλα ἔθνη, καὶ αἱ ἄλλαι πόλεις, μέχρι νῦν, τῷ μηδένα εὑρίσκεσθαι τὸν ἄξιον τῆς ἀρχῆς ἐσόμενον, ἁπάντων τε μετ' ἀνδρείας καὶ σώφρονος διοικήσεως ἄρξοντος, ἐκείνῳ δηλονότι προσποιοῦνται ὑπακούειν. εἰ δὲ τήν τε Ἰλλυρικὴν δύναμιν ἅμα χειροτονήσασαν μάθοιντο, τότε ἡμέτερον ὄνομα πύθοιντο (οὐκ ἄγνωστον, οὐδ' ἄσημον παρ' αὐτοῖς ὑπάρχειν,

1. Ὅτι μηδὲ. Steph.

ἐξ

ἐξ ὧν ἡγεμονεύσαντες ἐκεῖσε διῳκήσαμεν,) οὔ ἴστε οὔτε ἐμοῦ ῥαθυμίαν ἢ ἀδρανίαν καταγνώσονται, οὔτε τὸ ὑμέτερον γενναῖον καὶ πρὸς τὰς μάχας ἐμβριθὲς ὑποστῆναι αἱρήσονται καὶ σωμάτων μεγέθεσι, καὶ πόνων ἀσκήσεσι ἐν τῇ σταδίᾳ μάχῃ πολὺ ὑμῶν ἀπολιπόντες. φθάσωμεν οὖν τὴν Ῥώμην προκαταλαβόντες, ἔνθα ἡ βασίλειός ἐστιν ἑστία. κἀκεῖθεν ὁρμώμενοι, τὰ λοιπὰ εὐμαρῶς διοικήσωμεν θείαις τε προρρήσεσι πιστεύοντες, καὶ τῇ τῶν ὑμετέρων ἀνδρείᾳ, ὅπλων τε καὶ σωμάτων.

λζʹ. Τοιαῦτα εἰπόντα τὸν Σεβῆρον, εὐφημήσαντες οἱ στρατιῶται, καλοῦντες Σέβαστον καὶ Περτίνακα, πᾶσαν ἐνεδείκνυντο προθυμίαν καὶ σπουδήν. ὁ δὲ Σεβῆρος μηδένα διδοὺς καιρὸν ἀναβολῆς, συσκευάσασθαί τε αὐτοὺς, ὡς ἔνι μάλιστα εὐσταλέστατα ἐκέλευσε· εἰς τὴν Ῥώμην ἔξοδον ἐπήγγειλε, νομάς τε αὐτοῖς διδοὺς, καὶ ἐφόδια τῆς ὁδοιπορείας εἴχετο· συντόνῳ δὲ σπουδῇ, καὶ γενναίοις πόνοις τὴν ὁδὸν ἐπετάχυνε, μήτε που ἐνδιατρίβων, μήτε διδοὺς καιρὸν ἀναπαύλης· εἰ μὴ τοσοῦτον, ὅσον ὀλίγον τοὺς στρατιώτας ἀναπνεύσαντας ἔχεσθαι τῆς ὁδοῦ. ἐκοινώνει δὲ τῶν καμάτων αὐτοῖς, σκηνῇ τε χρώμενος εὐτελεῖ, καὶ σιτία καὶ ποτὰ προσφερόμενος ὅσα καὶ πᾶσιν ὑπάρχειν ἠπίστατο. οὐδαμοῦ δὲ τρυφὴν ἐνεδείκνυτο βασιλικήν· ὅθεν καὶ μείζονα παρὰ τῶν [1] συστρατιωτῶν εὔνοι-

ignoratum. Quippe illic etiam cùm Imperio præfuimus: neque me profectò desidiæ, aut torporis arguerint, neque vestrum exceptare impetum, aut bellicam virtutem volent experiri, præsertim cum & corporum proceritatibus & armorum exercitationibus, & conferenda manu longè nobis impares habeantur. Quare occupemus quamprimum Romam, larem ipsum Imperii, reliqua dein facilè expedituri, cum deorum oraculis, tum armorum corporumque vestrorum viribus confidentes.

XXXVII. Hæc locutum Severum faustis acclamationibus milites exceperunt, Augustum, Pertinacemque appellantes: studiumque in eum propensum, atque egregiam voluntatem pollicebantur. At Severus nihil procrastinandum ratus, armari quàm expeditissimè jubet, iterque ad urbem edicit: distributisque viritim cibariis, omnique viatico, nihil sibi ad celeritatem facit reliqui, nullis interquiescens locis: ac vix residere tantisper milites passus, donec à nimia itineris contentione respirarent. Ipse inter primos laborans, vilique tabernaculo utens, cibum potumque eundem, quem etiam cæteri milites, capiebat. Nihil unquam Imperatoriæ luxuriæ, nihil deliciarum ostentans, sic ut acceptior in dies militibus

1. Codex Schotti [στρατιωτῶν] quod non multum attinet notâsse, cùm accommodatius sit quod in nostro legitur, & paulò blandiùs sonet, uti illud Cæsaris [*Commilitones.*]

fieret. Nam cum laborum omnium non modo particeps, sed princeps etiam authorque foret, adeò cunctis venerabilis erat, ut nihil non pro illo cupidissimè facturi viderentur.

XXXVIII. Postea verò quàm emensa Pannonia ipsos Italiæ montes insedit, famamque sui præveniens prius conspectus est quàm adventare auditum fuerat; magnus scilicet omnes Italiæ civitates tanto conspecto exercitu metus invasit. Quippe homines in Italia jampridem ab armis belloque remotissimi, agros pacemque colebant. Etenim quamdiu libera civitas egit, atque à Senatu belli duces eligebantur, fuere in armis semper Italiæ nationes, Græcisque & Barbaris subactis terræ sibi marisque Imperium pepererunt. Neque ulla orbis terrarum pars, aut cœli tractus fuit, quo non vires suas Romanorum arma protulerint. Postea verò quàm Augustus rerum potitus est, & laborem Italis ademit, & arma detraxit; milites tantum quosdam certis auctoramentis habuit mercenarios, qui Romanum tuerentur Imperium, tum fluviorum magnitudine, atque fossarum, montibusque asperrimis, deser-

αν ἐπιστώσατο. οὐ γὰρ μόνον αὐτὸν συμπονοῦντα, ἀλλὰ καὶ τῶν καμάτων ἄρχοντα οἱ στρατιῶται αἰδέμενοι, μετὰ προθυμίας πάντα ἔπραττον.

λη'. Ὁ δὲ τὴν Παιονίαν διαδραμὼν, ἐπέστη τοῖς τῆς Ἰταλίας ὅροις. καὶ τὴν φήμην φθάσας, πρότερον ὤφθη τοῖς ἐκεῖσε παρὼν βασιλεὺς, ἢ ἀφιξόμενος ἠκούσθη. δέος τε μέγα τὰς Ἰταλιώτιδας πόλεις κατελάμβανε, πυνθανομένας τοσαύτην ἔφοδον στρατοῦ. οἱ γὰρ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι [1] ὅπλων καὶ πολέμων πάλαι ἀπηλλαγμένοι, γεωργίᾳ καὶ εἰρήνῃ προσεῖχον. ἐς ὅσον μὲν γὰρ ὑπὸ δημοκρατίας τὰ Ῥωμαίων διῳκεῖτο, καὶ ἡ σύγκλητος ἐξέπεμπε τοὺς τὰ πολεμικὰ στρατηγήσοντας, ἐν ὅπλοις Ἰταλιῶται πάντες ἦσαν, καὶ γῆν καὶ θάλατταν ἐκτήσαντο, Ἕλλησι πολεμήσαντες καὶ Βαρβάροις. οὐδέ τι ἦν γῆς μέρος, ἢ κλίμα οὐρανοῦ, ὅπου μὴ Ῥωμαῖοι τὴν ἀρχὴν ἐξέτειναν. ἐξ οὗ δὲ εἰς τὸν Σεβαστὸν περιῆλθεν ἡ μοναρχία, Ἰταλιώτας μὲν πόνων ἀνέπαυσε, καὶ τῶν ὅπλων ἐγύμνωσε. φρούρια δὲ καὶ στρατόπεδα τῆς ἀρχῆς προὐβάλλετο, μισθοφόρους ἐπὶ ῥητοῖς σιτηρεσίοις στρατιώτας καταστησάμενος ἀντὶ τείχους τῆς Ῥωμαίων ἀρχῆς. ποταμῶν τε μεγέθεσι καὶ τά-

1. Factum hoc credò Mecænatis consilio quod fusiùs potes legere Dionis libro quinquag. 2. pauca impræsentiarium delibasse sufficiet. 1. Ἀγωνιστὰς στρατιώτας [illegible], nec illos ex Italicis tantùm ἀλλ᾽ ἐκ τῶν ὑπηκόων 2. Arma omnibus integræ ætatis non capessenda propter στάσεις ἐμφυλίους exinde plerumque oriundas; quin & 3. in militiam aicisci debet ἐρρωμενεστάτους καὶ ἀκμαιοτάτους, quò fiet ut cæteri ῥᾷον γεωργήσωσι. quod ipsum hic loci occurrit.

φραν,

φρων, ἢ ὀρῶν προβλήμασιν ἐρήμῳ τε γῇ καὶ δυσβάτῳ φράξας τὴν ἀρχὴν ὠχυρώσατο.

λθ'. Ὅθεν τὸν Σεβῆρον προσιόντα πυνθανόμενοι τότε μετὰ τοσούτου στρατοῦ, εἰκότως ἐταράττοντο [1] τῷ ἀήθει τοῦ πράγματος. οὔτε δὲ ἀντιστῆναι ἢ κωλῦσαι ἐτόλμων. ὑπήντων δὲ δαφνηφοροῦντες, καὶ πύλαις ἀναπεπταμέναις ἐδέχοντο. ὁ δὲ τοσοῦτον ἀνεπαύετο ὅσον καλλιερῆσαί τε, καὶ τοὺς δήμους προσειπεῖν, εἰς δὲ τὴν Ῥώμην ἠπείγετο. ὡς δὲ ταῦτα τῷ Ἰουλιανῷ ἀπηγγέλλετο, ἐν ἐσχάτῃ ἀπογνώσει ἦν, τοῦ μὲν Ἰλλυρικοῦ στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων, οὔτε δὴ τῷ δήμῳ πιστεύων, ἐπεὶ μεμίσητο, οὔτε τοῖς στρατιώταις θαρρῶν, οὓς ἐψεύσατο. χρήματα δὴ πάντα ἀθροίζων, τά τε αὐτοῦ καὶ φίλων, καὶ εἴ τινα ἦν παρὰ τῶν ἐκ δημοσίων ἱερῶν καὶ τόπων λαμβάνων, τοῖς στρατιώταις διανέμειν ἐπειρᾶτο, ὡς ἂν κτήσαιτο τὴν εὔνοιαν αὐτῶν. οἱ δὲ καίτοι μεγάλα λαμβάνοντες, χάριν οὐκ ᾔδεσαν. ὄφλημα γὰρ αὐτὸν ἀποτίνειν, ἀλλ' οὐ δωρεὰν διανέμειν ἐλογίζοντο. ὁ δὲ Ἰουλιανὸς καίτοι συμβουλευόντων αὐτῷ τῶν φίλων ἐξαγαγεῖν τὸ στρατιωτικόν, καὶ τὰ στενὰ τῶν Ἀλπείων προκαταλαβεῖν, (μέγιστα ἐκεῖνα ὄρη, καὶ οἷα οὐκ ἄλλα ἐν τῇ καθ' ἡμᾶς γῇ, ἐν τείχους σχήματι περίκειται, καὶ προβέβληται Ἰταλίας· καὶ τοῦτο μετὰ τῆς

tisque locis atque imperviis circumseptos, imperii limites communivit.

XXXIX. Quocirca meritò omnes, postquam adventare Severum cum tanto milite audiverunt, insueta re perterriti, cum neque stare contra, neque prohibere auderent, ibant obviam laureati, portisque eum patentibus excipiebant Ille tam diu locis singulis immoratus, quamdiu aut sacra faceret, aut populos alloqueretur, Romam è vestigiò pergebat. Quæ ubi Juliano nunciata sunt, actum de se prorsus existimavit. Nam & exercitus Illyrici potentiam multitudinemque audiebat: & populo parum fidebat, cui se cernebat invisum, neque satis magnam spem in militibus habebat, quos videlicet fefellisset. Itaque collectas undique pecunias, partim suas, partim ab amicis acceptas, tum quascunque in templis, aliisque locis publicè invenisset, dividere militibus instituit, ut eo pacto illorum benevolentiam redimeret. Sed ii, tametsi multa magnaque acceperant, nullam tamen habebant gratiam: persolvi debitum sibi, non dari munus aliquod interpretantes. Cæterùm suadentibus amicis Juliano, ut exercitum educeret atque Alpium angustias occuparet (sunt autem Alpes altissimi montes, quales in his regionibus nulli, porrecti ad muri for-

1. *Fuit ingressus Severi odiosus atque terribilis.* Spart.

mam

mam, circundatique Italiæ: quasi ad reliquam regionis fœlicitatem, hunc etiam quasi cumulum natura addiderit, ut munitionem haberet inexpugnabilem, pertingentem scilicet à septentrionali, ad id mare quod ad meridiem spectat,) non ausus tamen ille urbe egredi, supplicatum militibus mittebat, uti arma caperent, exercerentque se, ac fossas ante urbem ducerent: omnemque belli apparatum in ipsa demum urbe expediebat: siquidem elephantos quoque, quos ad pompam institutos habebat, insuefacere conabatur sessorem pati: ratus Illyricos milites equosque eorum perterritum iri facie magnitudineque belluarum, quales antea nullas aspexissent. Totaque civitas armis fabricandis, bellicisque instrumentis conficiendis erat intenta.

XL. Sed cunctantibus adhuc Juliani militibus, ac se comparantibus ad bellum, nunciatur adesse jam Severus. Is multos è militibus suis sparsim dimiserat, qui clam Romam proficiscerentur. Quare alii aliis itineribus noctu ingressi urbem, protectis armis habitu paganorum, operiebantur. Jamque intus hostis erat, supino adhuc Juliano, & quid ageret ignaro. Quæ ubi populus

ἄλλης εὐδαιμονίας, περιχεούσης τῆς φύσεως Ἰταλιώταις, ἔρυμα ἄρρηκτον, [1] καὶ αὐτὴν περιβεβλῆσθαι ἀπὸ τῆς ἀρκτώας θαλάσσης, ἐπὶ τὴν μεσημβρίαν βλέπουσαν διῆκον) ἀλλ᾽ οὐδὲ τῆς πόλεως προελθεῖν Ἰουλιανὸς ἐτόλμα, διέπεμπέ τε τὴν τῶν στρατιωτῶν δεόμενος ὁπλίζεσθαί τε καὶ γυμνάζεσθαι, πρὸ δὲ τῆς πόλεως τάφρους διορύττειν, καὶ τὴν πρὸς Σεβῆρον μάχην, ὡς ἐν τῇ πόλει ποιησόμενος, παρεσκεύαζε· τούς τε ἐλέφαντας πάντας, οὓς εἰς πομπὴν ὑπηρετῶν, ἐπὶ νώτων φέρειν ἐπειρᾶτο παιδεύειν, οἰόμενος οὕτως ἐκπλήξειν τούς τε Ἰλλυρικοὺς, καὶ τὴν τῶν πολεμίων [2] ἵππον διαταράξειν ὄψει καὶ μεγέθει θηρίων, μὴ πρότερον αὐτοῖς ἑωραμένων· τότε δὴ πᾶσα ἡ πόλις ὅπλα εἰργάζετο, καὶ τὰ πρὸς πόλεμον παρεσκευάζετο.

μ΄. Μελλόντων δὲ τῶν Ἰουλιανοῦ στρατιωτῶν ἔτι, καὶ τὰ πρὸς πόλεμον ἕτοιμα ποιούντων, ἀγγέλλεται ὁ Σεβῆρος ἤδη προσιὼν, καὶ πολὺ τοῦ στρατεύματος μέρος διασκεδάσας ἐκεῖνος, κρύφα παρεισδύεσθαι εἰς τὴν πόλιν. οἱ δὲ κατὰ πάσας ὁδοὺς διανείμαντες αὐτοὺς, πολλοὶ δὲ εἰς Ῥώμην νύκτωρ λανθάνοντες εἰσῄεσαν, τὰ ὅπλα ἐπικρύπτοντες ἐν ἰδιωτῶν σχήματι. καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, τοῦ Ἰουλιανοῦ ἔτι ὑπτιάζοντος, καὶ τὰ πραττόμενα ἀγνοοῦντος. ἐπεὶ δὲ ταῦτα διάπυστα τῷ δήμῳ ἐγένετο ἐν ταραχῇ πολλῇ πάντες

1. Post particulam καὶ desideratur aliquid ad explendam sententiam, adjectivum fortè, [δυσδιάβατον] aut tale quid.

2. [Ἡ ἵππος] *equitatum* significat, unde in aliis passim autoribus [χιλία ἵππος] pro mille equitibus.

ᾖσαν. καὶ δεδιότες τὴν δύναμιν τοῦ Σεβήρου, τὰ ἐκείνου φρονεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ καταγινώσκοντες ἀνανδρείαν, τοῦ δὲ Νίγρου μέλλησίν τε καὶ ῥᾳθυμίαν. τὸν δὲ Σεβῆρον ἀκούοντες ἤδη παρόντα ἐθαύμαζον. ὁ δὲ Ἰουλιανὸς πολλῇ καταλαμβανόμενος ἀφασίᾳ τε καὶ ἀπορίᾳ, ὅπως χρήσεται τοῖς πράγμασιν οὐκ εἰδὼς, ἀθροισθῆναι κελεύσας τὴν σύγκλητον, καταπέμπει γράμματα, δι' ὧν ἐσπένδετο δὴ πρὸς τὸν Σεβῆρον, καὶ αὐτοκράτορα ἀναδείξας, [1] κοινωνὸν τῆς βασιλείας ἐποιεῖτο. ἡ δὲ σύγκλητος ἐψηφίσατο μὲν ταῦτα. ὁρῶντες δὲ τὸν Ἰουλιανὸν ἀποδειλιῶντα, καὶ ἐν ἀπογνώσει, τῷ Σεβήρῳ πάντες ἤδη προσετίθεντο· δύο δέ που ἢ τριῶν ἡμερῶν διαδραμουσῶν, ἐπείπερ ἤδη τὸν Σεβῆρον καὶ αὐτῇ πόλει ἐπιστησόμενον ἤκουον, καταφρονήσαντες τοῦ Ἰουλιανοῦ, συνίασιν εἰς τὸ συνέδριον, τῶν ὑπάτων κελευσάντων, οἳ τὰ τῆς Ῥώμης διοικεῖν εἰώθασιν, ὁπηνίκα ἂν τὰ βασιλείας μετέωρα ᾖ. συνελθόντες τοίνυν, περὶ τῶν πρακτέων ἐσκέπτοντο τοῦ Ἰουλιανοῦ ἔτι ὄντος ἐν τῇ βασιλείῳ αὐλῇ, καὶ τὰς παρούσας ὀδυρομένου τύχας, ἱκετεύοντός τε ἐξομόσασθαι τὴν ἀρχὴν, καὶ παραχωρῆσαι πάσης τῆς δυναστείας τῷ Σεβήρῳ.

μα΄. Ὡς δὲ ἔμαθεν ἡ σύγκλητος Ἰουλιανὸν οὕτω καταπεπληχότα, τὴν δὲ δορυφόρον φρουρὰν, διὰ δέος τοῦ Σεβήρου, αὐτὸν ἐγκαταλιποῦσαν, ψηφίζεται τὸν

intellexit, cunctis metu perculſis, ac Severi potentiam formidantibus, ſentire jam ſe cum illo ſimulabat. Et Julianum quidem quòd imbellis, Nigrum quòd lentus atque iners, vituperantes, Severum ipſum jam adventantem magnopere admirabantur. Enimvero Julianus hæſitabundus, atque inops conſilii, convocato prius ſenatu, literas ad Severum mittit, quibus fœdus paciſceretur, eumque in communionem acciperet Imperii. Cæterùm Senatus, etſi illa omnia decernebat, tamen ut eum pavitare deſperata ſalute animadvertit, totus jam ad Severum incubuerat. Biduo verò poſt, triduove, audito Severum jam planè adeſſe, omnes Juliani poteſtatem ſpernentes in curiam convenêre, juſſu conſulum. Quippe iis curæ Romana res eſt, quoties de Imperio ambigitur. Qui poſtquam frequentes affuerunt, quod facto opus eſſet, inter ſe deliberabant, manente adhuc in aula Juliano, ac fortunam ſuam miſerante, ſuppliciterque rogante ut ſibi ejurare Imperium liceret, omnemque eam poteſtatem Severo tranſcribere.

XLI. Sed ubi intellexit Senatus pavidum Julianum, perterritos corporis cuſtodes, ipſum penè ab omnibus deſtitutum: decretâ illius nece, Seve-

1. *Quare meliore conſilio ad ſenatum venit, petiitque ut fieret ſenatus conſultum de participatione imperii.* Spart.

rum

rum Imperatorem declarant. Tum legatos ad eum mittunt, partim qui magiſtratum obtinerent, partim qui maximam haberent in Senatu autoritatem, ut omnes illi honores Auguſtorum deferrent. Occidendi autem Juliani datur uni è tribunis negotium. Is imbellem miſerumque ſenem, qui ſibi ipſe tam infelicem exitum propria pecunia emiſſet, deſertum jam deſtitutumque ab omnibus, inter fœdiſſimas complorationes trucidavit.

XLII. Quæ ubi Severus audivit, majora jam moliens animo, conſilium iniit capiendorum militum omnium quicunque Pertinacem interemiſſent. Datis itaque clam ad tribunos centurioneſque literis hortatur, multa pollicens, perſuadeant militibus urbanis, ut ſibi dicto audientes ſint. Ipſe edictum proponit, ut relictis inter caſtra armis, exeant pacatorum habitu, quales procedere in pompam, aut ludos celebrare conſueviſſent; jurentque in Severi nomen, ac ſpem

μὲν ἀναιρεθῆναι, ἀποδειχθῆναι δὲ μόνον αὐτοκράτορα τὸν Σεβῆρον. 1 πρεσβείαν τε πρὸς αὐτὸν ἐκπέμπουσιν ἀπὸ τῶν ἐν ἀρχαῖς ὄντων καὶ τῶν ἐξοχωτάτων τῆς βουλῆς, πάσας αὐτῷ προσφέρειν τὰς σεβασμίους τιμάς. ἐπὶ δὲ τὸν Ἰουλιανὸν 2 εἷς τῶν χιλιαρχούντων ἀναπέμπεται, ἀποκτεῖναι ἄνανδρον καὶ ἄθλιον πρεσβύτην, ἰδίοις χρήμασιν ὠνησάμενον οὕτω πονηρὸν τέλος. ὁ μὲν οὖν εὑρεθεὶς ἔρημός τε, καὶ ὑπὸ πάντων καταλειφθεὶς, 3 αἰσχρῶς ὀλοφυρόμενος ἐφονεύθη.

μβ΄. Ἐπεὶ δὲ τὰ παρὰ τῆς συγκλήτου ἐδηλώθη τῷ Σεβήρῳ, ἥ τε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἤρθη εἰς μειζόνων πραγμάτων ἐλπίδα, καὶ σοφίσματι ἐχρήσατο, ὡς ἂν χειρώσαιτο, καὶ αἰχμαλώτους τοὺς τὸν Περτίνακα ἀνῃρηκότας λάβοι. ἐπιστέλλει δὲ καὶ ἰδίᾳ μὲν λανθάνοντα γράμματα τοῖς τε χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις, ὑπισχνούμενος μεγάλα, ὅπως πείσειαν τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας ὑπακούειν εὐπειθῶς τοῖς ὑπὸ τοῦ Σεβήρου κελευομένοις. ἐκπέμπει δὲ καὶ δήλωσιν, δι' ἧς κελεύει τὰ μὲν ὅπλα αὐτοὺς καταλιπεῖν ἐν τῷ στρατοπέδῳ· πάντας δὲ ἐξελθεῖν 4 εἰρηνικῷ σχήματι, ὥσπερ εἰώθασι θύοντος ἢ ἑορτάζοντος βασιλέως προπομπεύειν,

1. *Occiſo Juliano, cum Severus in caſtris & tentoriis, quaſi per hoſticum veniens, adhuc maneret; centum ſenatores legatos ad eum ſenatus miſit ad gratulandum rogandumque.* Id. in Severo.

2. *Miſſi à ſenatu, quorum curâ per militem gregarium idem Julianus occiſus eſt.* Spart. Tribunum dicit noſter.

3. Hæc apud Dionem expirantis verba. τί δεινὸν ἐποίησα, τίνα ἀπέκτεινα.

4. Qualis hic habitus fuerit, per Dionem non ſtetit quo minus ignoremus. Ex Spartiano aliquatenus conſtat. *Cum Romam Severus veniſſet, Prætorianos cum ſubarmalibus inermes ſibi juſſit occurrere, eoſdem ſic ad tribunal vocavit, armatis undique circundatis.* Subarmale verò eſt toga militaris inde dicta, quòd ſub armis fibulâ annecteretur. *Cui interpretationi favent ſequentia in Severi Oratione.* τοῖς τε παρειληφόσιν ὑμᾶς στρατιώταις κελεύω ἀποζῶσαί τε. &c.

ὀμόσαι τε εἰς τὸ Σεβήρου ὄνομα, καὶ μετ' ἀγαθῶν ἐλπίδων ἐλθεῖν, ὡς μέλλοντας τὸν Σεβῆρον δορυφορήσειν. πιστεύσαντες δὴ οἱ στρατιῶται τοῖς ἐπεσταλμένοις, πεισθέντες τε ὑπὸ τῶν χιλιαρχούντων, τὰ μὲν ὅπλα κατέλιπον πάντα. αὐτοὶ δὲ ἐν μόναις ταῖς πομπικαῖς ἐσθῆσι δαφνηφοροῦντες, ἠπείγοντο. ἐπεὶ δὲ πρὸς τῷ στρατοπέδῳ τοῦ Σεβήρου ἐγένοντο, ἠγγέλθησάν τε ἀφικόμενοι, εἰς τὸ πεδίον οὕτως αὐτοὺς ὁ Σεβῆρος συνελθεῖν κελεύει, ὡς δὴ δεξιωσόμενος καὶ προσαγορεύσων· ὡς δὲ ἀνελθόντα αὐτὸν ἐπὶ τὸ βῆμα προσῆλθον, ὁμοθυμαδὸν εὐφημήσοντες, πάντες ὑφ' ἑνὶ συνθήματι συλλαμβάνονται. προείρητο γὰρ τῷ τοῦ Σεβήρου στρατῷ, ὁπηνίκα ἂν στῶσιν εἰς τὸν βασιλέα ἀποβλέποντες, μετέωρόν τε τὴν γνώμην ἔχοντες, κυκλώσαντας αὐτοὺς πολεμίων νόμῳ, καὶ τιτρώσκειν μὲν ἢ παίειν μηδένα, συνέχειν δὲ καὶ φρουρεῖν φράξαντες ἐν κύκλῳ τοῖς ὅπλοις, τὰς δὲ διαβολίας καὶ τὰ δόρατα ἐπισείειν, ὡς δέει τῶν τραυμάτων, γυμνοί τε πρὸς ὡπλισμένους, καὶ ὀλίγοι πρὸς πολλοὺς μὴ μάχοιντο. ἐπεὶ δὲ αὐτοὺς ὥσπερ σαγηνεύσας, ἐντὸς τῶν ὅπλων δορυαλώτους εἶχε, μεγάλῃ βοῇ καὶ θυμοειδεῖ τῷ πνεύματι ἔλεξε πρὸς αὐτοὺς τοιάδε.

sibi optimam proponentes præstò sint, ut novum Imperatorem comitentur. His creditis milites suasu quoque tribunorum, relictis armis pomparum habitu laureati processerunt. Sed ubi ad exercitum Severi pervenerunt, nunciato jam adesse, jubet in campum convenire frequentes, quasi salutaturus, ac perbenignè accepturus universos. Enimverò cùm ad tribunal principis accessissent unanimiter acclamantes, dato repentè signo comprehenduntur. Ita enim præceperat Severus, ut cum stare pendentes eos ab ore principis vidissent, circumirent universos milites sui more hostium, neminemque vulnerantes aut pulsantes, tantum orbe facto clausos in medio continerent, pila duntaxat intendentes, & hastas, ut scilicet metu vulnerum nudi resistere armatis, paucique plurimis minimè auderent. Quos ubi velut indagine armorum conclusos, captivosque habuit, magna voce ac turbido spiritu, ita ad eos verba fecit.

Δημηγορεία Σεβήρου.

Oratio Severi.

μγ'. Ὅτι μὲν ὑμῶν καὶ σοφίᾳ κρείττους ἐσμὲν καὶ δυνάμει στρατοῦ, καὶ συμμάχων πλήθει, ἔργῳ ὁρᾶ-

XLIII. Superari vos à nobis vel sapientia, vel viribus, vel etiam numero, re ipsa vi-

detis

detis. Capti estis quàm facillimè, ac nullo ferme negotio tenemini. Quid futurum de vobis sit, in mea manu est. Jam scilicet victimæ hic statis, obnoxiæ nostro Imperio. Si sceleri vestro debitum quæratis supplicium, nunquam sanè invenietis. Sanctissimum illum senem, Imperatoremque optimum, servandum, tuendumque vobis, ipsi occidistis: Romanum Imperium perpetua clarum gloria, quod majores nostri, aut virtutis, aut nobilitatis nomine suscipiebant, hoc vos turpiter fœdeque, velut aliquid ex privatorum instrumento, quasi sectores vendidistis. Ac ne eum quidem ipsum, quem sic ad Imperium produxeratis, servare saltem ac defensare ausi, homines timidissimi prodidistis. Ob hæc igitur crimina, ac facinora vestra, mille vobis debentur mortes, si quis par noxæ supplicium studeat petere. Proinde quid vos æquum pati sit, sanè videtis. Ego tamen sanguine abstinebo, neque vestras imitabor manus. Sed quoniam jus fasque negat stipari à vobis jam principem violato jurejurando, ac manibus civili & imperatorio sanguine pollutis, proditaque fide custodiaque, animas quidem & corpora vobis nostra largietur humanitas. Porrò militibus meis ita præcipio, recingant vos, ac vestimentis exutos militaribus, nudosque dimittant. Vobis autem sic impero, discedatis quàm longissimè: edico

τε. εἴληφθε γοῦν ῥᾳδίως, καὶ ἀκονιτί γε ἑαλώκατε. ἔστι δὲ ἐμοὶ ὅ, τι πότ' ἂν ὑμᾶς δρᾶσαι θελήσω, καὶ πρόκεισθε ἤδη θύματα τῆς ἡμετέρας ἐξουσίας. εἰ μὲν οὖν ὑμεῖς πρός τά τε τολμηθέντα τιμωρίαν ζητεῖτε, οὐδ' ἔστιν εὑρεῖν δίκην τὴν ἐπιτεθησομένην ἀξίαν τῶν πεπραγμένων. σεμνὸν πρεσβύτην καὶ βασιλέα χρηστὸν, ὃν ἐχρῆν σώζειν καὶ δορυφορεῖν, ἐφονεύσατε. τὴν Ῥωμαίων ἀρχὴν ἔνδοξον οὖσαν ἀεὶ, ἣν καὶ οἱ πρόγονοι ἢ δι' ἀνδρείας ἐναρέτου ἐκτήσαντο, ἢ δι' εὐγένειαν διεδέξαντο, ταύτην αἰσχρῶς καὶ ἀτίμως, ὥσπερ τι τῶν ἰδιωτικῶν κειμηλίων, ἐπ' ἀργυρίῳ κατηλλάξατε. ἀλλ' οὐδ' αὐτὸν, ὃν οὕτως ἄρχοντα εἵλεσθε, φυλάξαι ἢ σῶσαι ἠδυνήθητε, ἀνάνδρως δὲ προδεδώκατε. ἐπὶ τηλικούτοις δὴ ἁμαρτήμασί τε καὶ τολμήμασι μυρίων ἄξιοι θανάτων, ἤν τις ὁρίσαι θέλοι τὴν ἀξίαν τιμωρίαν, ἐστέ. ἀλλὰ τί μὲν χρὴ παθεῖν ὑμᾶς, ὁρᾶτε. ἐγὼ δὲ φείσομαι μὲν ὑμῶν, ὡς μὴ φονεῦσαι, οὔτε τὰς ὑμετέρας χεῖρας μιμήσομαι. ἐπεὶ δὴ μήτε ὅσιον, μήτε δίκαιον, ἔτι βασιλέα ὑμᾶς δορυφορεῖν καὶ ἐς τὸν ὅρκον ἀσεβήσαντας, καὶ ἐμφυλίῳ καὶ βασιλικῷ αἵματι τὰς δεξιὰς μιάναντας, τήν τε πίστιν καὶ τὸ ἐχέγγυον τῆς φρουρᾶς προδόντας, τὰς δὲ ψυχὰς καὶ τὰ σώματα, δῶρον τῆς ἐμῆς φιλανθρωπίας ἕξετε, τοῖς τε περιειληφόσιν ὑμᾶς στρατιώταις κελεύω ἀποζῶσαί τε ὑμᾶς, καὶ ἀποδύσαντας εἴ τινας περίκεισθε ἐσθῆτας στρατιωτικὰς, γυμνοὺς ἀποπέμπειν. παραγγέλλω τε ὑμῖν, ἀπιέναι ὡς πορρωτάτω τῆς

Ῥώμης. ἀπειλῶ, καὶ διόμνυμαι, καὶ προαγορεύω, κολασθήσεσθαι κεφαλικῶς, εἴ τις ὑμῶν ἐντὸς ἑκατοστοῦ σημείου ἀπὸ τῆς Ῥώμης φανείη.

μδʹ. Ταῦτα κελεύσαντος αὐτοῦ, προσδραμόντες οἱ Ἰλλυρικοὶ στρατιῶται, τά τε ξιφίδια περιαιροῦσιν αὐτῶν ἃ παρῃώρηντο τῷ ἀργυρείῳ καὶ τῷ χρυσῷ εἰς πομπὴν κεκοσμημένα, τάς τε ζώνας, καὶ τὰς ἐσθῆτας, καὶ εἴ τι σύμβολον ἔφερον στρατιωτικὸν, ἀφαρπάσαντες, γυμνοὺς ἐξέπεμπον. οἱ δὲ ὑπείκον προδεδομένοις καὶ σοφίσματι ἑαλωκότες. (τί γὰρ ἐνῆν δρᾶσαι, γυμνοῖς πρὸς ὡπλισμένους, καὶ ὀλίγοις πρὸς πολλούς) ἀπῄεσαν δὴ ὀδυρόμενοι, καὶ ἠγάπων μὲν τὴν δοθεῖσαν σωτηρίαν, μετεγίγνωσκον δὲ ἐπὶ τῷ ἀνόπλως ἐλθεῖν, αἰσχρῶς καὶ ἐφυβρίστως ἑαλωκότες. ἐκέχρητο δὲ καὶ ἄλλῳ ὁ Σεβῆρος σοφίσματι. δεδιὼς γὰρ, μὴ ἄρα μετὰ τὸ ἀποζωσθῆναι, ἐν ἀπογνώσει γενόμενοι, ἀναδράμωσιν ἐπὶ τὸ στρατόπεδον, καὶ τὰ ὅπλα ἀναλάβωσι, προέπεμψε λογάδας ἐπιλέκτοις, οὓς γενναιοτάτους ἠπίστατο, δι᾽ ἑτέρων ὁδῶν, καὶ ἀτραπῶν, ὡς λαθόντες τό τε στρατόπεδον ἐπεισέλθοιεν ἀνδρῶν κενὸν, καὶ τὰ ὅπλα καταλαβόντες, εἰ ἐπίοιεν, ἀποκλείσωσιν αὐτούς. δίκην μὲν δὴ ταύτην ἔδοσαν οἱ τοῦ Περτίνακος φονεῖς.

μεʹ. Ὁ δὲ Σεβῆρος, σὺν παντὶ τῷ λοιπῷ στρατῷ ὡπλισμένῳ εἰς τὴν Ῥώμην ἀφικνεῖται. ἔκπληξίν τε καὶ δέος ἅμα τῷ ὀφθῆναι τοῖς Ῥω-

item, juroque ac denuncio capite pœnas daturum, si quis vestrum posthac intra centesimum ab urbe lapidem conspicietur.

XLIV. His imperatis, evestigiò milites Illyrici concurrunt, brevesque illos gladiolos detrahunt, quos, auro argentoque ornatos, in usum pompæ suspensos habebant: tum zonis, vestituque & cæteris militiæ insignibus per vim ablatis, nudos ad unum exauctoratosque dimiserunt. Enimverò illi proditos se videntes, atque astu captos, patientiam scilicet præstabant. Nam quid agerent nudi adversus armatos, pauci adversus plurimos? Discessere igitur complorantes sese, concessamque salutem loco muneris interpretantes: pertæsi tamen ac dolentes, quod inermes egressi, capiendos se turpiter, ignominioseque obtulerant. Usus item alio consilio Severus est. Quippe metuens ne recincti, exauctoratique, deploratis rebus, rursus castra repeterent, resumerentque arma, præmissos aliis itineribus ac semitis electissimos quosque & exploratissimos suorum militum, jubet clanculum vacua castra irrumpere, armisque ipsorum occupatis excludere redeuntes. Hanc igitur pœnam Pertinacis interfectores dederunt.

XLV. Posthac Severus cum reliquo exercitu instructo armis, Romam petiit, attonitis metuentibusque pariter primo conspectu Romanis, audaciam-

que

que viri, ac fortunam repetentibus animo. Quem quidem Senatus, populuſque univerſus laureati exceperunt, primum ſcilicet ex omnibus hominibus atque Imperatoribus citra ſanguinem, atque adeò citra pulverem tanti effectorem operis. Omnia porrò mirabilia in illo, præcipueque ingenii acumen, laborum tolerantia, rebuſque maximis aggrediendis bonam ſibi ſpem proponens audacia. Poſtea verò quàm eum populus fauſtis acclamationibus ſuſcepit, & Senatus univerſus ad portas urbis conſalutavit, inito Jovis templo, ſactaque re divina, reliquiſque item ſacris ædibus de more conſalutatis, noviſſimè ad domum imperatoriam ſe recepit.

XLVI. Poſtridie verò curiam iniit, ibique placidus orationem habuit plenam optimæ ſpei: ſimul omnes publicè privatimque benignè complexus, veniſſe in urbem aiebat, ut occiſum Pertinacem ulciſceretur: daturumque operam, ut ſtatûs optimatium fundamenta ſe principe jacerentur: nullum niſi judicio damnatum capite boniſve mulctatum iri: non paſſurum delatores, æmulum ſe Marci futurum gerendo Imperio: neque ſolum Pertinacis cognomen, ſed mentem quoque habiturum. In hanc ſententiam verba faciens, favorem ſibi fidemque conciliabat.

μαίοις ἐνέβαλε, τοῖς οὕτω τετολμημένοις τε καὶ εὐτυχηθεῖσιν ἔργοις. ὁ δὲ δῆμος, καὶ ἡ σύγκλητος δαφνηφοροῦντες ὑπεδέχοντο πρῶτον ἀνθρώπων καὶ βασιλέων [1] ἀναιμωτί τε καὶ ἀκονιτὶ τοσαῦτα κατορθωκότα. πάντα γὰρ ἐν αὐτῷ ἐθαυμάζετο, μάλιστα δὲ τὸ ἀγχίνουν τῆς γνώμης, τό τε τῶν πόνων γενναῖον, καὶ τὸ εἰς τὰ τολμώμενα ἅμα τῷ θαῤῥαλέῳ εὔελπι. ἐπεὶ τοίνυν ὅ, τε δῆμος αὐτὸν ὑποδεξάμενος εὐφήμησεν, ἥ τε σύγκλητος ἐπὶ ταῖς τῆς πόλεως εἰσόδοις προσηγόρευεν, ἀνελθὼν εἰς τὸ τοῦ Διὸς τέμενος, καὶ θύσας, ἔν τε τοῖς λοιποῖς ἱεροῖς νόμῳ βασιλικῷ καλλιερήσας, ἀνῆλθεν εἰς τὰ βασίλεια.

μς'. Τῇ δὲ ἐπιούσῃ κατελθὼν εἰς τὴν σύγκλητον, λόγους ἐπιεικεῖς πάνυ, καὶ χρηστῶν ἐλπίδων μεστοὺς ἐποιεῖτο πρὸς πάντας καὶ κοινῇ καὶ ἰδίᾳ δεξιούμενος, λέγων ἥκειν μὲν ἔκδικος τοῦ Περτίνακος φόνου, τὴν δ' ἀρχὴν παρέξειν καὶ εἴσοδον ἀριστοκρατίας, [2] μήτε δὲ ἀκρίτον τινα φονευθήσεσθαι ἢ δημευθήσεσθαι, μήτε συκοφαντοῦντος ἀνέξεσθαι, ἀλλὰ βαθυτάτην εὐδαιμονίαν τοῖς ἀρχομένοις παρέξειν. καὶ πάντα πράξειν εἰς ζῆλον τῆς Μάρκου ἀρχῆς. ἕξειν δὲ τοῦ Περτίνακος οὐ μόνον τ' ὄνομα, ἀλλὰ καὶ τὴν γνώμην. τοιαῦτά τινα λέγων, ὑπηγάγετο τοὺς πλείστους εἰς εὔνοιαν καὶ πίστιν, ὧν ὑπισχνεῖτο.

1. *Ita, quod nulli unquam contigit, ſputu Severus victor eſt factus.* Spart.

2. *Fieri etiam Senatus conſultum coegit, ne liceret Imperatori, inconſulto ſenatu, occidere ſenatorem.* Spart.

μζ'. Ησαν

μζ'. Ἦσαν δέ τινες πρεσβυτέρων, καὶ γνωριζόντων αὐτοῦ τὸν τρόπον, οἳ περιέλεγον λανθάνοντες, ὅτι ἄρα εἴη ἀνὴρ πολύτροπός τις, καὶ μετὰ τέχνης εἰδὼς προσφέρεσθαι πράγμασιν, ὑποκρίνασθαί τε καὶ προσποιήσασθαι πᾶν ὁποῖον ἱκανώτατός ἐστιν ἀνύσαι, [1] καὶ τὸ χρειῶδες καὶ τὸ λυσιτελὲς αὐτῷ, ὅπερ ἔργῳ καὶ ὕστερον δέδεικται. Διατρίψας οὖν ὀλίγον χρόνον ὁ Σεβῆρος ἐν τῇ Ῥώμῃ, καὶ νομὰς ἐπιδιδοὺς τῷ δήμῳ, μεγαλοφρόνως τε ἐπιτελέσας, [2] τοῖς τε στρατιώταις πολλὰ δωρησάμενος, καὶ τοὺς ἀκμαιοτάτους ἐπιλεξάμενος, ἐς τὸ δορυφόροις εἶναι τῆς βασιλείας, τόπῳ τῶν ἀπεζωσμένων, [3] ἐπὶ τὴν ἀνατολὴν ἠπείγετο. ἔτι γὰρ μέλλοντος καὶ ὑπτιάζοντος τοῦ Νίγρου τῇ τε Ἀντιοχείᾳ ἐντρυφῶντος, ἐπιστῆναι μηδὲ προσδοκώμενος ἤθελεν, ὅπως ἀπαράσκευον αὐτὸν λάβοι. τούς τε οὖν στρατιώτας ἐκέλευσε παρασκευάζεσθαι πρὸς τὴν ἔξοδον, συνεκρότει τε καὶ πανταχόθεν στράτευμα ἐκ τῶν κατὰ τὴν Ἰταλίαν πόλεων νεανίας μεταπεμπόμενος, καὶ στρατεύων, εἴ τι ἦν ἐν τῷ Ἰλλυρικῷ τοῦ στρατιωτικοῦ λείψανον καταχθὲν ἐπὶ Θρᾴκην, ἐκέλευεν αὐτῷ συντυχεῖν. ἐξήρτυε δὲ καὶ στόλον ναυτικόν, καὶ πάσας τὰς κατὰ Ἰταλίαν τριήρεις ὁπλιτῶν πληρώσας ἐξέπεμπε. πολλή τε αὐτῷ

XLVII. Quidam tamen è majoribus natu, qui consuetum ipsius haberent ingenium, jam tum clanculum reliquis prædicebant, versipellem hunc esse hominem, nihil non astu & arte tractantem, simulatorem dissimulatoremque idoneum, nihil pensi habentem, dum id efficeret, quod usui sibi, aut emolumento crederet fore. Quod seniorum judicium haud ita multo post eventus comprobavit. Igitur Severus paucos in urbe dies moratus, dato plebi uberrimo congiario, donatisque abundè militibus, & ex iis robustissimo quoque in locum exauctoratorum delecto ad Imperii custodiam, statim ipse in Orientem profectionem parat, cunctante Nigro adhuc, & supino, atque Antiochenis deliciis vacante, ratus properandum sibi, ut inexpectatus imparatum opprimeret. Edicto igitur militibus ut ad iter se accingerent, contractisque undique copiis, ac delectu juniorum tota Italia habito, reliquiis Illyrici exercitus, quæ in Thracia remanserant, occurrere jussis, neque secius ingenti classe coacta, completisque armato milite totius Italiæ triremibus, ingentes sibi omnis generis copias, incredibili celeritate comparavit. Siquidem haud exiguis vi-

1. Καλῶς τὸ χρειῶδες. Steph.

2. Coacta tamen hæc liberalitas. *Nam cum in senatu esset, milites per seditionem* dena millia *poposcerunt à senatu, exemplo eorum qui* Augustum Octavium *Romam deduxerant &c.* Spart.

3. *Ad orientis statum confirmandum profectus est, nihil adhuc de Nigro palam dicens.* Idem.

ribus

bus esse opus intelligebat, adversus nationes partem orbis Europæ oppositam incolentes, quæ scilicet uno ordine omnes Nigri sequebantur auspicia. Ad hunc igitur modum bellum Severus instruebat.

XLVIII. Cæterum providus homo, ac sobrius, nonnullâ suspicione tenebatur de Britannicis exercitibus, maximis videlicet, pugnacissimisque, quibus præerat universis Albinus, senatorii patriciique generis vir, summis opibus ac deliciis innutritus. Hunc sibi igitur Severus astu ratus adjungendum, ne scilicet divitiis, genere, exercitibus, famaque nominis, magnis ad concupiscendum Imperium facibus instinctus, summam sibi rerum posceret, Romamque haud procul à Britannia distantem, se bellis Orientalibus implicito, occuparet; statuit eum specie quadam honoris inescare, levem alioqui & simplicem, tunc verò multa juranti per literas credentem. Quare eum Cæsarem appellans, spem cupi-

καὶ παντοδαπὴ δύναμις, μεγίστῳ τάχει συνεσκεδάσθη. ᾔδει γὰρ οὐ μικρᾶς δυνάμεως δεόμενος, πρὸς πᾶσαν τὴν ἀντικειμένην ἤπειρον Εὐρώπῃ τὰ Νίγρου φρονοῦσαν. τὰ μὲν δὴ πρὸς τὸν πόλεμον γενναίως εὐτρέπιζεν.

μη΄. Ἅτε δὴ ἀνὴρ προμηθής τε καὶ νήφων, ὑπώπτευε τὴν ἐν Βρεττανίᾳ δύναμιν πολλήν τε οὖσαν, καὶ μεγίστην, ἀνδρῶν τε μαχιμωτάτων· ἦρχε δ' αὐτῆς πάσης Ἀλβῖνος, ἀνὴρ τὸ μὲν γένος τῶν ἐκ συγκλήτου εὐπατριδῶν, [1] ἐν πλούτῳ δὲ καὶ τρυφῇ ἐκ πατέρων ἀνατραφείς. τοῦτον τοίνυν ἠθέλησεν ὁ Σεβῆρος, σοφίσματι προλαβὼν οἰκειώσασθαι, μήπως ἄρα τοιαῦτα ἔχων ἐναύσματα εἰς βασιλείας ἐπιθυμίαν, θαρρῶν ἢ πλούτῳ καὶ γένει, δυνάμει τε στρατοῦ, γνώσει τε παρὰ Ῥωμαίοις, ἐπιθῆται τοῖς πράγμασι· καὶ τὴν Ῥώμην οὐ πολύ τι ἀφεστῶσαν, ἐκείνου κατὰ τὴν ἀνατολὴν ἀσχοληθέντος, ὑποποιήσηται. τιμῇ τοίνυν προσποιήτῳ δελεάζει τὸν ἄνθρωπον, καὶ ἄλλως μὲν ὄντα τὴν γνώμην χαῦνον, καὶ ἁπλοϊκώτερον, τότε δὲ καὶ πολλὰ διὰ γραμμάτων [2] ὀμόσαντι τῷ Σεβήρῳ πιστεύσαντα. [3] Καίσαρα δὲ αὐτὸν ἀποδείκνυσι, φθάσας αὐτοῦ τὴν ἐλπί-

1. Capitolinus verò (sive Is Spartianus est) *natum* refert *lare modico, patrimonio pertenui.* Idem tamen affirmat luxuriâ varium fuisse.

2. Supra describitur Severus ὅρκου μὴ φειδόμενος.

3. Hîc loci Boeclerus, cum de facto tantum agitur, de appellationis origine litem movet, Salmasium & Casaubonum inter se committens. Per *Cæsares* cum Spartiano intelligo *designatos Augustæ majestatis hæredes.* Primum qui & nomen & insignia acceperit (*quid autem hæc alieno loco?*) Verisimile est Ælium Verum fuisse, vide Commod ad Albinum literas. Qui scrupulum injicit, locus est in Dione. μὲ γὰρ οὐδὲ (Severus sc) τοῦ τῆς [illegible] αὐτῷ (Albino) ἐδίδου τιμῶν. Quare suspicari par est corruptos esse vulgatos codices, legendumque [ὁ μὲν οὖν.]

δὲ καὶ τὴν ἐπιθυμίαν, τῇ τῆς ἐξουσίας κοινωνίᾳ. ἐπιστέλλει δὲ αὐτῷ φιλικώτατα γράμματα δῆθεν, ἱκετεύων ἐπιδοῦναι αὐτὸν εἰς τὴν τῆς ἀρχῆς φροντίδα. δεῖσθαι γὰρ ἀνδρὸς εὐγενοῦς καὶ τοιούτου τήν τε ἡλικίαν ἔτι ἀκμάζοντος. αὐτὸν ὄντα πρεσβύτην, καὶ ὑπὸ νόσου ἀρθρίτιδος ἐνοχλούμενον, τῶν τε παίδων αὐτοῦ ὄντων πάνυ νηπίων. οἷς πιστεύσας ὁ Ἀλβῖνος τὴν τιμὴν ὑπεδέξατο ἀσπασίως, ἀγαπήσας ἄνευ μάχης καὶ κινδύνου λαβεῖν ταῦτα, ὧν ὠρέγετο.

μθ΄. Ὁ δὲ Σεβῆρος, καὶ πρὸς τὴν σύγκλητον τὰ αὐτὰ ἀνενεγκὼν, ὡς ἂν μᾶλλον αὐτὸν εἰς πίστιν ὑπαγάγοιτο, νομίσματά τε αὐτοῦ κόψαι ἐπέτρεψε, καὶ ἀνδριάντων ἀναστάσει, ταῖς τε λοιπαῖς τιμαῖς τὴν δοθεῖσαν χάριν ἐπιστώσατο. ἐπεὶ δὲ αὐτῷ τὰ πρὸς τὸν Ἀλβῖνον διὰ σοφίας ἀσφαλῶς εἶχεν, οὐδέ τι δέος ἦν ὑπὸ Βρεττανίας, τό, τε Ἰλλυρικὸν στράτευμα σὺν αὐτῷ πᾶν εἶχε, διῳκεῖσθαι νομίζων πάντα λυσιτελῶς τῇ ἑαυτοῦ ἀρχῇ, ἐπὶ τὸν Νίγρον ἠπείγετο. τὰς μὲν οὖν ὁδοιπορίας τοὺς σταθμοὺς καὶ τὰ καθ' ἑκάστην πόλιν αὐτῷ λεχθέντα, καὶ σημεῖα θείᾳ προνοίᾳ δόξαντα πολλάκις φανῆναι, χωρία τε ἕκαστα καὶ παρατάξεις, καὶ τὸν τῶν ἑκατέρωθεν πεσόντων ἀριθμὸν στρατιωτῶν ἐν ταῖς μάχαις, ἱστορίας τε πολλοὶ συγγραφεῖς καὶ [1]ποιηταὶ μέτρων πλατύτερον

ditatemque hominis anticipat, poteſtate participanda. Mittit item plenas humanitatis literas, obſecrans ut ipſe potiſſimum curam ſuſcipiat Imperii. Opus eſſe viro aliquo nobili, & ætatis integræ: qualis ille foret. Se jam ſenem, morboque articulari affectum, natos adhuc infantes. Quibus creditis, Albinus honorem libenter ſuſcepit, lætus, citra pugnam aut diſcrimen ullum, compotem ſe voti factum.

XLIX. Cæterum Severus quo omnia credibiliora forent, iiſdem illis ad Senatum relatis, nummiſque imagine ejus percuti juſſis, ſtatuiſque erectis, ſimul aliis collatis honoribus, fidem gratiæ ſuæ fecit. Quæ poſtquam ſapienter ab illo proviſa ſunt, nullo jam ex Britannia impendente metu, collatis in unum circa ſe Illyricis exercitibus reliquiſque rebus ex uſu comparatis, copias adverſus Nigrum educere inſtitit. Igitur quibus locis itinere illo remoratus ſit, quæ apud quamque civitatem verba fecerit, quæ ſigna divinitus apparuerint, regiones item peragratas, conflictuſque & utrinque cæſorum numerum, cum pleriq; hiſtoriæ autores, tum maximè Poëtæ verſibus ſuis uberri-

1. Libet hîc, coronidis loco, Apollinis *poetarum* Præſidis, nonnullos verſiculos ſubtexere, qui **Severo certiùs imperandi fidem fecerunt.**

me

mè ſunt executi, materiam totius operis, ipſam denique Severi vitam deligentes. Mihi autem propoſitum eſt, ſeptuaginta annorum res, quas habeam cognitiſſimas, ſub diverſis principibus geſtas in unum comprehenſas, literarum mandare monimentis. Quocirca excellentiſſima & præcipua quæque rerum à Severo geſtarum, deinceps perſequemur. Neque ad gratiam vero quippiam affingentes, quod feciſſe videmus qui illa ætate ſcriptitarunt: neque tacitum prætereuntes, ſiquid modò mentione dignum, memoriaque videbitur.

συνέταξαν, ὑπόθεσιν ποιούμενοι πάσης τῆς πραγματείας τὸν Σεβήρου βίον. ἐμοὶ δὲ σκοπὸς ὑπάρχει, ἐτῶν ἑβδομήκοντα πράξεις πολλῶν βασιλέων συνάξαντι γράψαι, ἃς αὐτὸς οἶδα. τὰ κορυφαιότατα τοίνυν, καὶ συντέλειαν ἔχοντα τῶν κατὰ μέρος πεπραγμένων Σεβήρῳ, ἐν τοῖς ἑξῆς διηγήσομαι, οὐδὲν οὔτε πρὸς χάριν εἰς ὕψος ἐξαίρων, (ὥσπερ ἐποίησαν οἱ κατ' ἐκεῖνον γράψαντες) οὔτε παραλείπων, εἴ τι λόγου καὶ μνήμης ἄξιον.

Optimus eſt Fuſcus, bonus Afer, peſſimus Albus.

Fuſcus Nigrum denotat, Severum Afer. Ad hæc

Albi fundetur ſanguis, Nigrique minantis;
Imperium mundi Panâ reget urbe profectus.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΤΡΙΤΟΝ.

HERODIANI

LIBER TERTIUS.

BREVIARIUM LIBRI TERTII.

Niger ubi audivit Severum occupasse imperium, & expeditionem in Orientem suscipere, ad bellum se quoque, quàm maximè potest, præparat. Severus, Asiam ingressus, Nigri milites ad Cyzicum, mox in Bythiniâ vincit, & Cappadociam expugnat. Deinde Tauri propugnaculis superatis Ciliciam emensus, ad sinum Issicum acerrimo prælio cum Nigro congreditur; qui victus & fugâ elapsus, Antiochiam venit, atque ibidem interficitur. Posthæc inimicitiæ inter Albinum & Severum patefactæ, belli causam utrique dederunt. Sedes belli Lugdunum fuit: ibi ancipiti prælio facto, tandem vincente Severo, urbs capta: Albino caput abscissum, & Romam missum est. Dein iterum bellum in Asiam Severus movit: Armeniam & Arabiam felicem invasit: Atrenorum regionem ingressus, Atra circumsedit, diuque oppugnavit, frustrà. Sed in Parthiam delatus, insperatam victoriam nanciscitur: inde Romam triumphans revertitur. Ibi rei publicæ privatæque intentus, Antonino filio uxorem dedit filiam Plautiani: qui Severo insidias machinatus, per Saturninum tribunum indicio facto, pœnas dedit. Vltimo in Britanniam expeditionem faciens Severus, diutius durante bello, ibidem fato functus est. Imperium ad Antoninum & Getam defertur

desertur: qui, relictâ Britanniâ, cum patris reliquiis Romam sunt reversi.

ΤΟ μὲν δὴ Περτίνακος τέλος, καὶ Ἰουλιανοῦ καθαίρεσις, ἥ τε Σεβήρου εἰς τὴν Ῥώμην ἄφιξις, ἥ τε ἐπὶ Νίγρον ἔξοδος, ἐν τῷ πρὸ τούτου συγγράμματι δεδήλωται. ὁ δὲ Νίγρος ἐπεὶ ἠγγέλη αὐτῷ, μηδέν τι τοιοῦτον προσδεχομένῳ, καταειληφὼς μὲν τὴν Ῥώμην ὁ Σεβῆρος, ὑπό τε τῆς συγκλήτου αὐτοκράτωρ ἀναγορευθείς, ἄγων δὲ πάντα ἐπ' αὐτὸν Ἰλλυρικὸν στρατόν, πεζήν τε καὶ ναυτικὴν δύναμιν ἄλλην, ἐν μεγίστῃ ταραχῇ ἦν, διέπεμπέ τε κατὰ ἔθνη πρὸς τοὺς ἡγουμένους, τάς τε εἰσόδους πάσας καὶ λιμένας φυλάττεσθαι κελεύων. ἔπεμπε δὲ πρὸς τὸν βασιλέα Παρθυαίων τε καὶ Ἀρμενίων καὶ Ἀτρηνῶν, συμμάχους αἰτῶν. ὁ μὲν οὖν Ἀρμένιος ἀπεκείνατο μηδετέρῳ συμμαχήσειν, ἀγαπητῶς δὲ τὰ ἑαυτοῦ φυλάξειν, ἤδη προσιόντος Σεβήρου. ὁ δὲ Παρθυαῖος ἐπιστελεῖν ἔφη τοῖς σατράπαις, δύναμιν ἀθροίζειν. οὕτω γὰρ εἰώθει, ὁπηνίκα ἂν δεηθῇ στρατὸν συλλέγειν, τῷ μὴ ἔχειν [1] μισθοφόρους, καὶ συνεστὸς στρατιωτικόν. Ἀτρηνοὶ δὲ ἦλθον αὐτῷ τοξόται σύμμαχοι, πέμψαντος Βαρσημίου, ὃς τῶν τόπων ἐβασίλευε. τὸ δὲ λοιπὸν στρατιωτικὸν ἤθροιζεν ἐκ τῶν ἐκεῖ στρατοπέδων πᾶν. πλεῖστοι

SUperiore libro Pertinacis interitum, cædemque Juliani, simul profectionem Severi ad urbem, susceptamque mox adversus Nigrum expeditionem edocuimus. Enimvero Niger ubi Romam à Severo occupatam, ipsum à Senatu appellatum Imperatorem, nihil tale expectans, audivit, præterea omnem Illyricum exercitum contra se, pedestres navalesque copias educi: perturbato vehementer animo, monet provinciarum præsides, aditus omnes, portusque custodiant. Mittitque rogatum auxilia ad Parthorum, Armeniorum, atque Atrenorum reges. Cui quidem Armenius, neutras se partes suscepturum respondit, tantum res suas defensurum Severi adventu. Parthus autem Satrapis imperaturum per epistolas, uti copias congregarent. Ita enim facere consuevit bellum comparaturus: siquidem mercenarios milites, atque ordinarios exercitus Parthi nullos habent. Ex Atrenis autem sagittarii auxiliares venerunt jussu regis Barsemii, qui tum in eis regionibus imperitabat. Reliquas omnes copias è militibus qui aderant, potissi-

1. Μισθοφόροι denotat ordinarium illum & conductum certis stipendiis exercitum, qui ad omnia belli momenta semper excubat. Quanquam etiam ita intelligi possit, Parthos nulla alia referre bellorum prœmia, quàm ex hostibus prædam. *Sed prior significatio hic locum habet.*

mili-

mùm conflavit, plurimis etiam è populo, maximeque Antiochenis, cùm ætatis levitate, tum ipsius Nigri studio impulsis, audacius quam prudentius nomina dantibus.

δὲ καὶ τῶν δημοτῶν τῆς Ἀντιοχείας μάλιστα ὑπὸ κουφότητος νεανίαι, καὶ τῆς περὶ τὸν Νίγρον σπουδῆς, ἐπέδοσαν αὑτοὺς ἐς στρατείαν, προπετῶς μᾶλλον ἢ ἐμπείρως τοῦτο ποιοῦντες.

II. Sed Tauri montis angustias, prærupta loca, muro valido Niger, munimentisque obstruebat, ratus montem illum impervium, magnum Orienti propugnaculum futurum. Siquidem Taurus inter Cappadociam Ciliciamque dorsum erigens, nationes discriminat, Orienti ac Septentrionibus subjectas. Idem Byzantium præsidio occupavit urbem Thraciæ maximam fœlicissimamque, viribusque & opibus ea tempestate florentem. Quippe in angustissimo Propontidis constituta freto, vectigalia piscatumque à mari accepit, simul agros possidens amplissimos, uberrimosque, utroque velut elemento lucrum facit. Visum igitur Nigro talem hanc urbem præsidiis occupare, ut classes, navigiaque per eas angustias transgredi ex Europa in Asiam prohiberentur. Erat enim munita urbs valido ingentique muro, qui Milesio quadrato lapide constructus adeò tenui junctura fuit ut ne-

β'. Ἐκέλευσε δὲ καὶ τοῦ Ταύρου ὄρους τὰ στενὰ κρημνώδη διαφράττεσθαι γενναίοις τείχεσί τε καὶ ἐρύμασι, πρόβλημα ὀχυρὸν νομίζων τῶν ἐν τῇ ἀνατολῇ ὁδῶν, τὸ [1] δύσβατον τοῦ ὄρους· ὁ γὰρ Ταῦρος μεταξὺ ὢν Καππαδοκίας καὶ Κιλικίας, διακρίνει τά τε τῇ ἄρκτῳ, καὶ τὰ τῇ ἀνατολῇ ἔθνη προκείμενα. προὔπεμψέ τε καὶ στρατιὰν προκαταληψομένην τὸ [2] Βυζάντιον πόλιν τῶν ἐπὶ Θρᾴκης μεγίστην τότε, καὶ εὐδαίμονα, πλήθει τε ἀνδρῶν καὶ χρημάτων ἀκμάζουσαν. κειμένη γὰρ ἐπὶ τοῦ στενοτάτου τῆς Προποντίδος πορθμοῦ, προσόδοις τῶν ἀπὸ θαλάττης, τελῶν τε καὶ ἁλείας μεγάλως ὠφελεῖτο. γῆν τε πολλὴν καὶ εὐδαίμονα κεκτημένη, ἐξ ἑκατέρων τῶν στοιχείων πλεῖστα ἐκέρδαινεν, ὅθεν τὴν οὖσαν δυνατωτάτην ὁ Νίγρος προκαταλαβεῖν ἠθέλησε, καὶ μάλιστα ἐλπίζων δυνάσθαι κωλύειν τὴν ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν κατὰ τὸν πορθμὸν διάβασιν. περιτετείχιστό τε γενναίῳ τε καὶ μεγίστῳ ἡ πόλις τείχει, πεποιημένῳ [3] Μιλήτου λίθου εἰς τετράγωνον εἰργασμένου· τοσαύτῃ τε συνα-

1. Ἡ δὲ εἰσβολὴ αὐτὴ, αἱ Κιλίκειοι πύλαι, διὰ τὴν στενότητα οὕτω προσαγορεύονται. ἔνθεν γὰρ ὄρη ἀπότομα ἀνατείνει &c. *Dion. lib.* 74.

2. Ἡ δὲ πόλις ἐν καιρῷ πάνυ τῶν ἠπείρων καὶ τῆς διὰ μέσου θαλάσσης κεῖται, χωρίου ἅμα καὶ Βοσπόρου φύσει ἰσχυρῶς παρεσκευασμένη. *idem.* De Byzantio videndus est inprimis Codinus de origin. Constantinop. qui hanc rem consultò tractat.

3. Sylburgius ex Suidâ legendum censet [μυλίτου λίθου] lapidem quippe *molarem* intelligit, cui suffragatur Stephanus.

ρείᾳ καὶ κολλήσει, ὡς μηδένα οἴεσθαι τὸ ἔργον συνθετὸν, [1] ἑνὸς δὲ λίθου πᾶν πεποιῆσθαι. ἔτι γοῦν καὶ νῦν τὰ μένοντα αὐτοῦ ἐρείπια καὶ λείψανα ἰδόντι θαυμάζειν ἔστι καὶ τὴν τέχνην τῶν τὴν ἀρχὴν κατασκευασάντων, καὶ τὴν ἀρχὴν τῶν ὕστερον καθῃρηκότων. ὁ μὲν δὴ Νίγρος οὕτως ἐξήρτυε τὰ καθ' ἑαυτὸν προμηθέστατα καὶ ἀσφαλέστατα, ὡς ᾤετο.

minꝗi compositum opus, sed ex uno tantum, perpetuóque lapide videretur. Ac nunc quoque ruinas ipsas reliquiasque cùm videris, mireris utique vel eorum artificium, qui primi extruxerunt, vel horum vires, qui deinceps sunt demoliti. Ad hunc igitur modum Niger suas res comparabat, providentissimo scilicet (ut ipse putabat) tutissimoque consilio.

γ'. Ὁ δὲ Σεβῆρος, ὡς ἔνι μάλιστα, σὺν τῇ στρατιᾷ ἠπείγετο, μηδὲν ῥαθυμίᾳ, μηδ' ἀναπαύλῃ νέμων. μαθὼν δὲ τὸ Βυζάντιον προκατειλημμένον, καὶ εἰδὼς ὀχυρώτατα τετειχισμένον, ἐπὶ Κύζικον τὸν στρατὸν ἐκέλευσε διαβαίνειν. ὁ δὲ τῆς Ἀσίας ἡγούμενος Αἰμιλιανὸς, ᾧ τὴν πρόνοιαν καὶ στρατηγίαν ὁ Νίγρος ἐγκεχειρίκει, μαθὼν ἐπιόντα τὸν Σεβήρου στρατὸν, τὸν ἐπὶ Κύζικον καὶ αὐτὸς ἐτρέπετο, ἄγων τε στρατιὰν πᾶσαν, ἣν αὐτὸς συνείλεκτο, καὶ ἣν ὁ Νίγρος ἐπεπόμφει. ὡς δὲ συνέβαλλον ἑκατέρωθεν τὰ στρατεύματα, μάχαι καρτεραὶ γίνονται κατ' ἐκεῖνα τὰ χωρία, καὶ κρατεῖ τὸ Σεβήρου στράτευμα. φυγή τε πολλὴ καὶ τροπὴ καὶ φόνος πολὺς τῶν τοῦ Νίγρου στρατιωτῶν γίγνεται, ὡς τῶν μὲν ἀνατολικῶν οὐδέως θραῦσαι τὴν ἐλπίδα, τῶν δὲ Ἰλλυρικῶν ἐπιρρῶσαι.

III. Cæterum Severus quantum maximè poterat cum suis copiis festinare, nullum desidiæ, quietique locum relinquere. Cognito autem præsidiis teneri Byzantium, quod sciebat munitissimam esse urbem, ad Cyzicum se convertit. Hoc intellecto dux Asiæ Æmilianus, cui summam Niger totius belli, maximumque Imperium tradiderat, & ipse Cyzicum proficiscitur, & copias adducit universas, qualcunque aut Niger miserat, aut ipse contraxerat. Sed ubi ventum ad manus, aliquot acerrimè editis præliis, victoria tandem penes Severum stetit, fuso fugatoque Nigri exercitu. Itaque confestim fracti Orientalium animi, Illyricanis autem spes ingens addita.

δ'. Φασὶ δέ τινες, προδοθέντα τὰ Νίγρου πράγματα ὑπὸ

IV. Neque defuere qui crederent, Nigri res initio statim

---

1. Ita Dion. ὥστε καὶ ἓν τεῖχος πᾶν εἶναι δοκεῖν. Tali etiam artificio extruebatur, ut sonus in aliqua turre excitatus, per omnes redderetur: quod etiam de Pictico muro, à Severo hic in Britannia constructo, perhibetur.

pro-

proditas ab Æmiliano: cujus consilii duplicem afferunt causam. Alii Nigro invidisse, ferentem scilicet haud æquo animo, si quem paulo antè in Syria successorem habuisset, eundem superiorem mox, atque adeò imperatorem, dominumque esset habiturus. Alii persuasum à liberis, patri, per epistolas, vitam salutemque suam commendantibus, quos Romæ inventos Severus in custodia habebat: siquidem hoc quoque usus est providentissimo consilio. Mos fuerat Commodo retinere apud se liberos eorum, qui ad regendas provincias cum Imperio proficiscerentur, quasi obsides quosdam benevolentiæ illorum, fideique. Igitur Severus cum primum est Imperator appellatus, superstite adhuc Juliano, misit furtim qui suos liberos ex urbe subducerent, ne in alterius essent potestate. Cæterum ipse cùm Romam ingressus est, comprehensos omnes ducum liberos, cæterorumque item quicunque munus publicum in Oriente Asiaque tota obirent, atque in custodiam datos secum retinebat, quo per ea quasi pignora Nigri ducibus persuaderetur, uti illum desiderio salutis liberorum proderent: aut certè si in fide per-

[1] Αἰμιλιανοῦ, εὐθέως ἐν ἀρχῇ διαφθαρῆναι. διττὴν δὲ λέγουσι τῆς τοιαύτης προαιρέσεως τοῦ Αἰμιλιανοῦ τὴν αἰτίαν. οἱ μὲν γὰρ φθονοῦντα τῷ Νίγρῳ ἐπιβουλεῦσαι, ἀγανακτοῦντα ὅτι δὴ διάδοχος αὐτοῦ γενόμενος τῆς ἐν Συρίᾳ ἀρχῆς, ἔμελλεν ἔσεσθαι κρείττων, ἅτε βασιλεὺς καὶ δεσπότης. οἱ δέ φασιν αὐτὸν ἀναπεισθῆναι ὑπὸ τῶν παίδων ἐπιστειλάντων καὶ δεηθέντων ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὓς ἐν τῇ Ῥώμῃ εὑρὼν ὁ Σεβῆρος συλλαβὼν, εἶχεν ἐν φρουρᾷ. ἐκέχρητο γὰρ καὶ τούτῳ σοφίσματι προμηθεστάτῳ. ἔθος ἦν τῷ Κομμόδῳ, κατέχειν τοὺς παῖδας τῶν εἰς τὰ ἔθνη πεμπομένων ἡγεμόνων, ὡς ἔχοι ὅμηρα τῆς τε εὐνοίας αὐτῶν καὶ πίστεως. εἰδὼς τοίνυν τοῦτο ὁ Σεβῆρος, ἅμα τῷ βασιλεὺς ἀναδειχθῆναι, καὶ τοῦ Ἰουλιανοῦ ἔτι περιόντος, πέμψας λάθρα, διὰ φροντίδος ἔσχε τοὺς παῖδας [2] αὐτῷ τῆς Ῥώμης ἐκκλαπέντας, μὴ εἶναι ἐν ἑτέρου ἐξουσίᾳ. αὐτὸς δ' ἅμα τῷ τῆς Ῥώμης ἐπιβῆναι, συλλαβὼν πάντας τοὺς τῶν ἡγεμόνων, ἢ τῶν ὅτι δὴ πραττόντων κατὰ τὴν ἀνατολὴν, καὶ πᾶσαν τὴν Ἀσίαν, φρουρᾷ δοὺς εἶχε σὺν αὐτῷ, ὅπως ἢ πόθῳ τῆς τῶν παίδων σωτηρίας οἱ ἡγεμόνες τὰ Νίγρου προδιδοῖεν· ἢ μένοντες ἐπὶ τῆς πρὸς ἐκεῖνον εὐνοίας, [3] φθάσωσι

1. Quæ si ita habent, unde Severo tam infensus in Æmilianum animus ut Qui referente Spartiano, *Nigro tutum exilium promiserit, Æmiliano tamen non ignoverit.*

2. Fortè αὐτοῦ.

3. Non est hîc loci dissimulandum quantum sibi indulgeat Politianus, adeò nihil fere ex Græco reddidit. Ita igitur hunc locum interpretamur. *Aut mali aliquid prius patiantur propter occisos filios, quàm ipsi agere occupent.*

π

τι κακὸν παθεῖν, διὰ τῆς τῶν παίδων ἀναιρέσεως, ἢ δράσωσιν αὐτοί.

ε'. Γενομένης δὲ τῆς ἥττης [1] κατὰ τὴν Κύζικον, ἔφευγον οἱ τοῦ Νίγρου ὡς ἕκαστος ἐδύνατο, σπεύδοντες, οἱ μὲν περὶ τὰς ὑπωρείας τῆς Ἀρμενίας, οἱ δὲ τῆς ἐπὶ Γαλατίας τε καὶ Ἀσίας, φθάσαι θέλοντες τὸν Ταῦρον ὑπερβῆναι, [2] καὶ ἐντὸς τῶν ἐρυμάτων γένοιντο. ὁ δὲ τοῦ Σεβήρου στρατὸς, παραμειφθεὶς διὰ τῆς Κυζικηνῆς χώρας, διαβάς τε ἐπὶ τὴν Βιθυνίαν ὅμορον οὖσαν ἠπείγετο.

ς'. Ὡς δὲ διέδραμε φήμη τῆς Σεβήρου νίκης, εὐθὺς ἐν πᾶσι τοῖς ἔθνεσιν ἐκείνοις στάσις καὶ διάφορος γνώμη ἐνέπεσε ταῖς πόλεσιν, οὐχ οὕτω τῇ πρὸς τοὺς πολεμοῦντας βασιλέας ἀπεχθείᾳ τινὶ ἢ εὐνοίᾳ, ὡς ζήλῳ καὶ ἔριδι τῇ πρὸς ἀλλήλας, φθόνῳ τε καὶ καθαιρέσει τῶν ὁμοφύλων. [3] ἀρχαῖον τοῦτο πάθος Ἑλλήνων, οἳ πρὸς ἀλλήλους στασιάζοντες ἀεὶ, καὶ τοὺς ὑπερέχειν δοκοῦντας καθαιρεῖν θέλοντες, ἐτρύχωσαν τὴν Ἑλλάδα. ἀλλὰ τὰ μὲν ἐκείνων γηράσαντα, καὶ παρ' [4] ἀλλήλοις συντριβέντα, Μακεδόσιν εὐάλωτα, καὶ Ῥωμαίοις δοῦλα γεγένηται. τὸ δὲ πάθος τοῦτο τοῦ ζήλου καὶ φθόνου

mansissent, liberum sibi relinquerent cæde filiorum, quos vellet ulcisci.

V. Victi autem ad Cyzicum Nigri milites, quàm quisque maximè poterat, aufugerunt, partim præter Armeniæ montana, quidam per Asiam Galatiamque, superare Taurum festinantes, ut scilicet intra munimenta se reciperent. At verò Severi exercitus Cyzicenum per agrum, in Bithyniam, finitimam regionem contendebat.

VI. Sed ut Severum vicisse fama divulgavit, repens confestim in eis locis seditio, discordiaque urbes invasit, Non tam quidem ipsorum Imperatorum odio aliquo aut studio, quàm æmulatione quadam & contentione, invidiaque inter ejusdem gentis homines funestissima. Antiquum id vitium Græcorum, qui dum seditiones agitant, atque eminentissimum quemque tollere è medio conantur, totam jam consumpsere Græciam. Cæterum illi quidem inveterati jam, attritique inter se captivi prius Macedonum, dein mancipia quoque Romanorum facti sunt. Ea verò labes æmu-

1. Accepta hæc clades Æmiliano à Nigri partibus imperante. ὁ Αἰμιλιανὸς δὲ περὶ Κύζικον συμβαλὼν τισι τῶν στρατηγῶν τῶν τοῦ Σεβήρου, ἡττήθη πρὸς αὐτῶν καὶ ἐσφάγη. Quicquid enim de Spartiano fiat, qui Nigrum Cyzici interemptum affirmat, caputque ejus pilo circumlatum fuisse, danda est in hâc re Dioni fides, qui Nigrum post prælium ad Κιλικείας πύλας infælicius gestum, Euphratem versus confugisse, atque inibi occisum scribit.

2. Fortasse [ἵνα] propter sequentem γένοιντο.

3. *Quippe*, inquit Justinus de Græciæ civitatibus, *in mutuum exitium sine modo ruentes omnibus perire, quod singulæ amitterent, non nisi oppressæ senserunt.*

4. Ἀλλήλων. Sylburg.

lationis atque invidiæ florentibus etiamnum ætatis nostræ civitatibus incubuit.

VII. Igitur in Bithynia statim post res ad Cyzicum gestas, Nicomedenses ad Severum defecerunt, missis legationibus, quæ se exercitum accepturos, omniaque tradituros pollicerentur. Nicenses contrà, illorum instigati odio, Nigri partibus studebant, ejusque suscipiebant milites, sive qui se ex fuga receperant, sive qui ad tuendam Bithyniam mitterentur. Quocirca ex utrisque urbibus, quasi è castris egressi milites iterum concurrerunt, magnoque commisso prælio, longè superior Severus fuit. Inde etiam fuga facta, Nigri milites qui prælio superfuerant, ad Tauri montis angustias evaserant, clausasque munitiones tuebantur. At Niger, relicto ibi quantum satis fore præsidii putabat, profectus Antiochiam est, ut exercitus pecuniamque contraheret.

VIII. Interea Severi exercitus Bithyniam Galatiamque egressus, cum se mox in Cappadociam quoque incitasset, oppugnare munitionem incœpit, ibi multis est laboribus conflictatus. Quippe arcta asperaque via, lapidesque supernè jacientibus, ac fortissimè dimicantibus, qui summis institerant mœnibus, eoque facilè paucis arcentibus plurimos. Etenim angustissima utique via

μετῆλθεν εἰς τὰς καθ' ἡμᾶς ἀκμαζούσας πόλεις.

ζ'. Κατὰ μὲν οὖν τὴν Βιθυνίαν, εὐθὺς μετὰ τὰ ἐν Κυζίκῳ Νικομηδεῖς μὲν Σεβήρῳ προσέθεντο, καὶ πρέσβεις ἔπεμπον, τήν τε στρατιὰν ὑποδεξόμενοι, καὶ πάντα παρέξειν ὑπισχνούμενοι. Νικαεῖς δὲ τῷ πρὸς Νικομηδέας μίσει τἀναντία ἐφρόνουν, καὶ τὸν στρατὸν τοῦ Νίγρου ὑπεδέχοντο, εἴ τέ τινες ἐκ τῶν φυγόντων κατέφευγον πρὸς αὐτοὺς, καὶ τοὺς πεμφθέντας ὑπὸ τοῦ Νίγρου φρουρεῖν Βιθυνίαν. ἑκατέρωθεν οὖν ἐκ τῶν πόλεων, ὡς ἀπὸ στρατοπέδων ὁρμώμενοι, συνέβαλλον ἀλλήλοις. καὶ μάχης καρτερᾶς γενομένης, πολὺ περιεγένοντο οἱ τοῦ Σεβήρου. φυγόντες δὲ οἱ τοῦ Νίγρου κἀκεῖθεν, ὅσοι περιελείφθησαν, ἐπὶ τὰ στενὰ τοῦ Ταύρου ἠπείγοντο, ἀποκλείσαντές τε τὸ ἔρυμα, ἐφύλαττον. ὁ δὲ Νίγρος, φρουρὰν καταλιπὼν τοῦ ἐρύματος, ὡς ᾤετο, αὐτάρκη, εἰς τὴν Ἀντιόχειαν ἠπείγετο, στρατὸν ἀθροίζων καὶ χρήματα.

η'. Ὁ δὲ τοῦ Σεβήρου στρατὸς περαιωθεὶς, διά τε Βιθυνίας καὶ Γαλατίας ἐμβαλὼν εἰς Καππαδοκίαν, προσκαθεζόμενος τὸ ἔρυμα ἐπολιόρκει, πράγματά τε εἶχεν οὐ μικρὰ, δυσβάτου διὰ στενότητα καὶ τραχύτητα οὔσης τῆς ὁδοῦ, βαλλόντων τε αὐτοὺς ἄνωθεν λίθοις, καὶ γενναίως ἀπομαχομένων τῶν ἐφεστώτων ταῖς ἐπάλξεσι τοῦ τείχους· ῥᾳδίως δὲ ὀλίγοι πολλοὺς ἐκώλυον. τὸ γὰρ ὁδοῦ στενῆς οὔσης τὸ μὲν ἕτερον μέρος, ὑψίστον ὄρος σκέπει, ὅτι θάτερα δὲ κρημνὸς βαθὺς τοῖς

ἐκ

ἐκ τῶν ὀρῶν συρρέουσιν ὕδασι πρόσω γίνεται, ὅπερ καὶ αὐτὸ πάμπαν παρεπέφρακτο ὑπὸ τοῦ Νίγρου, τοῦ πανταχόθεν κωλύεσθαι ἕνεκα τὴν δίοδον τοῦ στρατοῦ.

θ'. Κατὰ μὲν δὴ Καππαδοκίαν ταῦτα ἐπράττετο, ἐστασίασαν δὲ πρὸς ἀλλήλας, τῷ αὐτῷ ζήλῳ καὶ μίσει, Λαοδίκεια μὲν κατὰ Συρίαν Ἀντιοχέων μίσει· κατὰ δὲ Φοινίκην Τύριοι Βηρυτίων ἔχθει. μαθόντες τε τὸν Νίγρον πεφευγότα, τὰς μὲν τιμὰς ἐκείνου καθελεῖν ἐπειράθησαν, τὸν δὲ Σεβῆρον εὐφήμησαν. ὡς δὲ γενόμενος ἐν Ἀντιοχείᾳ ταῦτα ὁ Νίγρος ἐπύθετο, δῆλος μὲν τὸ ἦθος πρότερον χρηστὸς ὤν, ἀγανακτήσας δὲ τότε εἰκότως, ἐπὶ τῇ ἀποστάσει αὐτῶν καὶ ὕβρει, ἐπιπέμπει ταῖς πόλεσιν ἀμφοτέραις Μαυρουσίους τε ἀκοντιστὰς οὓς εἶχε, καὶ μέρος τοξοτῶν, φονεύειν τὸν ἐντυγχάνοντα κελεύσας, καὶ διαρπάζειν τὰ ἐν ταῖς πόλεσιν, αὐτάς τε ἐμπιπρᾶναι.

ι'. Οἱ δὲ Μαυρούσιοι ὄντες φονικώτατοι, καὶ διὰ τὸ θανάτου καὶ κινδύνων ῥᾳδίως καταφρονεῖν πάντα τολμῶντες, μετ' ἀπογνώσεως ἐπιπεσόντες τοῖς Λαοδικεῦσιν οὐ προσδοκῶσι, παντὶ τρόπῳ τόν τε δῆμον καὶ τὴν πόλιν ἐλυμήναντο. ἐκεῖθέν τε σπεύσαντες ἐπὶ τὴν Τύρον, πᾶσάν τε ἐνέπρησαν, καὶ πολλὴν ἁρπαγὴν καὶ φόνον εἰργάσαντο.

ια'. Τούτων κατὰ Συρίαν γινομένων, καὶ στρατοῦ ὑπὸ Νίγρου ἀθροιζομένου, ὁ τοῦ Σεβήρου στρατὸς προσκαθεζόμενος, τὸ ἔρυμα ἐπολιόρκει. ἦσαν δὲ

est, cujus pars altera per immane præceps defluente montibus aqua redundat: tum valida munitione Niger obstruxerat, ut scilicet undique hostis aditu prohiberetur.

IX Dum hæc in Cappadocia geruntur, interim seditiones inter se quoque agitabant, pari æmulatione odioque Laodicea quidem in Syria Antiochenorum odio, Tyros autem in Phœnicia Berytiis infensa. Quæ nunciata Nigri fuga, sublatis illius honoribus, Severo prosperè acclamarunt. At Niger audita re, cum quidem Antiochiæ ageret, jure scilicet, homo alioqui benigni mansuetique ingenii, defectione illorum, contumeliaque irritatus, immittit utrisque urbibus Mauros jaculatores, quoscunque secum habuerat, simul partem sagittariorum, jussos occidere obvium quemque, diripere urbes ipsas, atque incendere.

X. Sed enim Mauri (ut est genus hominum suapte natura cædis avidissimum, nihilq; non facilè audens, ac desperatis simile, contemtu videlicet mortis ac periculorum,) Laodicenis de improviso oppressis, populum ipsum omni genere crudelitatis, urbemque vastarunt. Inde Tyrum pergentes, direptis omnium bonis, ac patrata ingenti cæde, totam incenderunt.

XI. Quæ dum in Syria gerebantur, contrahente copias Nigro, interea Severiani milites, munitionem Tauri montis oppugnabant, tristes utique,

ac citra spem victoriæ, quippe valida, inexpugnabilisque per se, monte quoque ipso præcipitioque defendebatur. Igitur jam defatigatis, alta adversariorum securitate, ecce tibi, noctu maximi repente ruere imbres, oppleri omnia nivibus, ut sunt difficiles in Cappadocia hyemes, maximeque ad Taurum montem. Quocirca subitus impetu magno erumpit torrens, cursuque impedito (quòd munitio exitum prohibebat) major jam violentiorque factus, quando artem superante natura tantum impetum sustinere munitio non poterat, laxatis paulatim coagmentis, ac fundamentis loco emotis, iter sibi torrens patefecit. Quo animadverso, qui in præsidio erant, metu ne ab hoste circumvenirentur, nullo mox futuro propugnaculo, simul unda resedisset, prodita custodia cuncti fuga dilabuntur. Igitur læti Severiani, confirmatique animis, velut Diis ipsis immortalibus manu du-

οἱ στρατιῶται ἐν πολλῇ ἀθυμίᾳ καὶ ἀπογνώσει, ὀχυροῦ τε ὄντος καὶ δυσμάχου, καὶ πεφραγμένου ὄρει τε καὶ κρημνῷ. ἤδη δὲ τῶν μὲν τοῦ Σεβήρου ἀπειρηκότων, τῶν δὲ ἐναντίων ἀμέριμνον ἔχειν τὴν φρουρὰν οἰομένων, νύκτωρ αἰφνιδίως ὄμβρων μεγίστων καταρραγέντων, χιόνος τε πολλῆς (δυσχείμερος γὰρ πᾶσα ἡ Καππαδοκία, ἐξαιρέτως δὲ ὁ Ταῦρος) [1] μέγας καὶ σφοδρὸς χειμάρρους καταρραχθεὶς ἐμποδισθέντος αὐτῷ τοῦ συνήθους δρόμου, καὶ τοῦ ἐρύματος ἐπισχόντος τὸ ῥεῖθρον, πολὺς καὶ βίαιος γενόμενος, τῆς τε φύσεως νικώσης τὴν τέχνην, μὴ δυναμένου τοῦ τείχους ἀντέχειν τῷ ῥεύματι, διέστησε τῷ ὕδατι κατ' ὀλίγον αὐτοῦ τὰς ἁρμογάς, ὑποχωρέντων τῶν θεμελίων τῷ ῥείθρῳ, ἅτε διὰ σπουδῆς, καὶ οὐ μετ' ἐπιμελείας κατασκευασθέντων, [2] πᾶν ὤφθη. τὸν δὲ τόπον ὁ χειμάρρους ἀνοίξας, ὡδοποίησεν. ὅπερ ἰδόντες οἱ ἐπὶ τοῦ ἐρύματος φύλακες, φοβηθέντες μὴ κυκλωθεῖεν ἐκ περιελθόντων αὐτοὺς τῶν πολεμίων, μετὰ τὴν τοῦ χειμάρρου ἀπόρροιαν, μηκέτι ὄντος τοῦ κωλύοντος, καταλιπόντες τὴν φρουρὰν φεύγουσιν. ὁ δὲ τοῦ Σεβήρου στρατὸς ἡσθεὶς τοῖς γενομένοις, τάς τε ψυχὰς ἐπιρρωσθεὶς [3] ὡς προνοίᾳ θείᾳ ὁδηγού-

1. Quod Noster accidisse asserit ante pugnam initam, Severianis sub exitum recedentibus, magnum attulisse ad victoriam momentum refert Dion. Κἂν παντελῶς ἐκράτησαν, Nigriani sc. εἰ μὴ νέφη ἐξ αἰθρίας, ἄνεμός τε ἐκ νηνεμίας, βρονταί τε σκληραὶ, καὶ ἀστραπαὶ ὀξεῖαι μεθ' ὑετοῦ λάβρου κατὰ πρόσωπον αὐτοῖς προσέπεσον. Similis est omninò casus nisi quod in Dione nihil de propugnaculo diruto.

2. Omisit hæc verba Politianus, nec alius facilè, credo, sensum elicuerit. Nimirum desiderantur aliqua ut sibi constet sensus, puta. [πᾶν τὸ στρατιωτικὸν] aut si quid aliud mavis.

3. Iterum Dion. μέγιστον δ' αὐτοῖς ἡ συντυχία τῶν γενομένων τοῖς μὲν θάρσος, ὡς καὶ παρὰ τοῦ θείου βοηθουμένοις, τοῖς δὲ δέος, ὡς καὶ ὑπ' αὐτοῦ πολεμουμένοις, ἐμβαλοῦσα &c.

μένων, συνεὶς δὲ ἀποδεδρακότας τοὺς φύλακας, εὐμαρῶς τε καὶ ἀκωλύτως διαβὰς τὸν Ταῦρον, ἐπὶ Κιλικίαν ἠπείγετο.

ιβ'. Ὁ δὲ Νίγρος μαθὼν τὰ συμβάντα, πολλὴν στρατιὰν ἀθροίσας, πλὴν ἄπειρον μάχης καὶ πόνων, μετὰ σπουδῆς τὴν πορείαν ἐποιεῖτο. πολὺ γάρ τι πλῆθος, καὶ σχεδὸν πᾶσα ἡ νεολαία τῶν Ἀντιοχέων εἰς στρατιὰν, καὶ τὸν ὑπὲρ αὐτοῦ κίνδυνον, ἐπέδωκεν αὑτήν. τὸ μὲν οὖν πρόθυμον τοῦ στρατοῦ ὑπῆρχεν αὐτῷ· τοῦ δὲ ἐμπείρου καὶ γενναίου, πολὺ τῶν Ἰλλυριῶν ἀπέλειπον. συνέρχεται δὴ ἑκατέρωθεν ὁ στρατὸς εἰς τὸ κατὰ τὸν Ἰσσικὸν καλούμενον κόλπον, πεδίον πλατύτατόν τε καὶ ἐπιμηκέστατον. ᾧ περίκειται μὲν λόφος εἰς θεάτρου σχῆμα. αἰγιαλὸς δὲ ἐπὶ θαλάσσης μέγιστος ἐκτείνεται, ὥσπερ τῆς φύσεως ἐργασαμένης στάδιον μάχης. [1] ἐκεῖ φασὶ καὶ Δαρεῖον Ἀλεξάνδρῳ τὴν ὑστάτην καὶ μεγίστην μάχην συμβαλόντα, ἡττηθῆναί τε καὶ ἁλῶναι ὑπὸ τῶν ἀρκτῴων ἀνδρῶν, καὶ τότε τοὺς ἀνατολικοὺς νενικηκότων. μένει δὲ ἔτι νῦν τρόπαιον, καὶ δεῖγμα τῆς νίκης ἐκείνης, πόλις ἐπὶ τοῦ λόφου Ἀλεξάνδρεια καλουμένη ἄγαλμά τε χαλκοῦν, οὗ τὴν προσηγορίαν ὁ τόπος φέρει.

centibus, cognito custodes aufugisse, facilè scilicet nullis prohibentibus Taurum supergressi, in Ciliciam mox impetum fecerunt.

XII. His nunciatis Niger, cum quidem ingentem exercitum, sed pugnæ laborumque inscium collegisset, magnis itineribus accelerabat, quàm plurimis eum mortalibus, omnique fermè Antiochenorum juventute sequentibus ducem, multa scilicet animorum alacritate, cæterùm virtute ac peritia belli nulla ex parte cum Illyrico milite conferendis. Ita concurrerunt ad Issicum, quem appellant sinum, longe lateque spaciosissima in planicie, quæ perpetuis subjecta collibus in theatri speciem littus habet à mari longissimè excurrens, quasi quoddam belli stadium fabricata natura. Quin eodem quoque loco Darium ab Alexandro ferunt maximo extremoque illo prælio profligatum, captumque: septentrionalibus etiam viris, Orientis nationes superantibus. Manet adhuc trophæum, & tantæ victoriæ testimonium, urbs in colle Alexandria, simul æneum ipsius simulacrum. Unde loco impositum nomen.

1. Sed nec ultima hæc pugna cum Dario, si Arriano fides hist. 6. ἐπειδὴ τὴν τελευταίαν μάχην &c. περὶ Ἀρβήλοις γενέσθαι ὁ πᾶς λόγος κατέχει, καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης ἐν Ἰσσῷ, καὶ τὴν πρώτην ἱππομαχίαν περὶ Γρανικῷ.

XIII. Eve-

XIII. Evenit autem, ut Severi ac Nigri exercitum non congreſſus modò in eum locum, ſed fortuna etiam fortunæ ſimilis fuerit. Utrinque enim ſub veſperam parati ad pugnam conſtiterant, curis dein pavoribuſque totam noctem extraxerant inſomnem, ſtatimque cum ſolis ortu ducibus utrinque adhortantibus, incredibili alacritate utrinque ſe incitarunt, tanquam de omni ſpe reliqua noviſſimo illo congreſſu dimicaturi, diſceptante illic ſuper Romano Imperatore fortuna. Sed ubi pugnatum acerrimè, tantaque edita utrinque ſtrages, ut flumina per eam planiciem decurrentia, majore aliquanto vi ſanguinis, quàm aquarum, in mare ſe volverent, fuſi tandem, profligatique Orientales, imminentibus à tergo Illyricianis, partim in mare ſaucii protrudebantur, partim in colles ſummos fugitantes, à perſequentibus obtruncabantur. Cumque iis unà vulgus ingens hominum, qui ex urbibus vicinis, agriſque confluxerant, ſupernè quaſique ex tuto loco prælium ſpectaturi.

XIV. At Niger valido evectus equo, paucis comitantibus Antiochiam pervenit, ubi fugiente paſſim multitudine, magnoque ubique fletu clamoribuſque natos fratreſque lugentium, deploratis & ipſe rebus ſuis fugam capit, occul-

ιγʹ. Συνέβη δὲ καὶ τῶν στρατοπέδων τοῦ Σευήρου τε καὶ Νίγρου, μὴ τὴν σύνοδον μόνον κατ' ἐκεῖνο γενέσθαι τὸ χωρίον, ἀλλὰ καὶ τὴν τύχην ὁμοίαν τῆς τύχης. ἀντεστρατοπεδευσάμενοι γὰρ ἑκατέρωθεν περὶ ἑσπέραν πάσης τῆς νυκτὸς ἐν φροντίσιν ἑκάτεροι, καὶ δέει, διαγρηγορήσαντες ἅμα ἡλίῳ ἀνίσχοντι, ἐπ' ἀλλήλους ἠπείγοντο, παρορμώντων ἑκατέρωθεν τῶν στρατηγῶν· προθυμίᾳ δὴ πάσῃ ἐνέπιπτον, ὡς ὑπὲρ λοιπῆς καὶ τελευταίας ἐκείνης μάχης, κἀκεῖ τῆς τύχης διακρινούσης τὸν βασιλέα. ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, πολλοῦ τε ἐργασθέντος φόνου, ὡς καὶ τὰ ῥεῖθρα τῶν διὰ τοῦ πεδίου ποταμῶν ῥεόντων αἵματος πλεῖον, ἢ ὕδατος κατάγειν εἰς θάλασσαν, τροπὴ τῶν ἀνατολικῶν γίνεται. ἐκβιασάμενοι δὲ αὐτοὺς οἱ Ἰλλυριοὶ, τοὺς μὲν εἰς τὴν παρακειμένην θάλασσαν τιτρώσκοντες ἐξωθοῦσι, τοὺς δὲ φεύγοντας ἐπὶ τοὺς λόφους διώκοντες, αὐτούς τε φονεύουσι, καὶ πολὺ πλῆθος ἄλλων ἀνθρώπων, ὅσοι ἔκ τε τῶν παρακειμένων πόλεων καὶ ἀγρῶν ἤθροιστο, ὡς ἀπ' ἀσφαλοῦς τοῦ τόπου τὰ γινόμενα θεάσοιντο.

ιδʹ. Ὁ δὲ Νίγρος ἵππῳ γενναίῳ ἐποχούμενος, φεύγει μετ' ὀλίγων, εἴς τε τὴν Ἀντιόχειαν ἀφικνεῖται. καταλαβὼν δὲ φεύγοντα τὸν λοιπὸν δῆμον, εἴ τις καταλέλειπτο, οἰμωγήν τε καὶ πένθος ἐν τῇ πόλει, παῖδάς τε καὶ ἀδελφοὺς θρηνούντων, γενόμενος ἐν ἀπογνώσει καὶ αὐτὸς, ἐκ τῆς Ἀντιοχείας ἀποδιδράσκει, καὶ

ἐν

ἔν [1] τινι προαστείῳ κρυπτόμενος, εὑρεθείς τε ὑπὸ τῶν διωκόντων ἱππέων, καὶ συλληφθεὶς, τὴν κεφαλὴν ἀπετμήθη. τέλει μὲν δὴ τούτῳ ὁ Νίγρος ἐχρήσατο, μελλήσεως καὶ βραδυτῆτος δοὺς δίκας· τὰ ἄλλα, ὥς φασι, γενόμενος [2] μὴ φαῦλος ἄνθρωπος, μήτε ἄρχων, μήτε ἰδιώτης.

ιε'. Ὁ δὲ Σεβῆρος καθελὼν τὸν Νίγρον, τοὺς μὲν φίλους αὐτοῦ, καὶ εἴ τινες οὐ μόνον ἐκ [3] προαιρέσεως, ἀλλὰ δι' ἀνάγκης προσέθεντο αὐτῷ [4] πάντας ἀφειδῶς ἐκόλασε. τοὺς δὲ στρατιώτας, ὅσοι διαδεδράκεσαν, πυνθανόμενος περαιουμένους τὸν Τίγριδα ποταμὸν, διά τε τὸ ἐκ Σεβήρου δέος ἀπιόντας πρὸς τοὺς βαρβάρους, πάντας ἤγαγε, δοὺς ἀμνηστίαν. πολὺ γὰρ πλῆθος αὐτῶν ἀνεχώρησεν εἰς τὴν ἀλλοδαπήν. ὅπερ καὶ μάλιστα αἴτιον ἐγένετο, μαχιμώτερα ὕστερον γενέσθαι πρὸς τὴν συστάδην μάχην Ῥωμαίων, τὰ τῶν [5] ὑπὲρ ἐκεῖνα Βαρβάρων. πρότερον μὲν γὰρ τοξεύειν μόνον ἵπποις ἐποχούμενοι ᾔδεσαν, μήτε πανοπλίᾳ φράσσοντες αὐτοὺς, μήτε τῇ διὰ δοράτων καὶ ξιφῶν θαρροῦντες μάχῃ, κούφαις δὲ καὶ παρῃωρημέναις ἐσθῆσι κοσμούμενοι. τὰ πλεῖστα γοῦν φεύγοντες, εἰς τοὐπίσω τε τοξεύοντες ἐμά-

tantique dein se in suburbano quodam, & ab equitibus reperto, caput amputatum. Hunc habuit exitum vitæ Niger, dato cunctationis tarditatisque supplicio: homo alioqui (ut perhibent) publicè privatimque minimè improbus.

XV. Sed occiso Nigro, Severus omnes statim illius amicos supplicio affecit, sive qui sponte, sive qui necessitate coacti rebus illius studuissent: militibus tantum qui effugerant, ac trans fluvium Tigrim, metu Severi ad Barbaros abierant, impunitate proposita receptis. Quippe magna vis hominum in ea loca concesserat, quo effectum est, ut validiores deinceps Barbari adversus Romanos, conserenda manu evaserint: gnari autem pugnare tantum arcu ex equis, neque armatura muniti, neque hasta, gladióve satis audaces, levi, pendulaque veste, plurimumque inter fugiendum aversi, sagittas intendebant. Postea verò quàm Romani aliquot milites, fabrique

1. Supra annotavimus ad Euphratem confugisse.

2. Οὔτε δὲ ἐς τὸ κρεῖττον, *inquit Dion*, οὔτε δὲ ἐς τὸ χεῖρον ἐπίσημος, ὥς τέ τινα ἢ πάνυ αὐτὸν ἐπαινεῖν ἢ πάνυ ψέγειν.

3. *Vide Cassii Clenæ orationem apud Dion.* Ἐγὼ, ἔφη, οὔτε σε, οὔτε Νίγρον ἠπιστάμην, καταληφθεὶς δὲ [*sic enim lego*] ἐν τῇ ἐκείνου μερίδι τὸ παρὸν ἀναγκαίως ἐθεράπευσα &c.

4. *In multos animadvertit præter ordinem Senatorium, qui Nigrum fuerant sequuti.* Spart.

5. Hunc locum emendandum suscepisse se pollicitus est Stephanus in annot. ad Herod. quas quoniam videre mihi non contigit, danda est conjecturæ venia. Quare non incommodè videtur legi posse [Ἐπέκεινα] ita ut Transtigridanos innuat.

nonnulli in eas regiones confugerunt, ibi ætatem acturi, non solum armis, uti sed ea quoque fabricare Barbari didicerunt.

XVI. Rebus autem Orientis ex sententia gestis, atque ut res poscere videbatur ordinatis: cupido jam Severum habebat, regem quoque Atrenorum bello tentandi, ac Parthorum regionem occupandi, quos utrosque in societatem Niger asciverat. Quibus tandem rebus in aliud tempus rejectis, cogitare instititit, quo pacto sibi Romanum Imperium, liberisque suis bona fide adjudicaret. Nam sublato Nigro reliquus erat Albinus, quem sibi parum ex sententia, parumque usui fore arbitrabatur. Vulgato rumore jam nimis illum impotenter, nimisque molestè nomen Cæsaris usurpare; præterea multos esse è primoribus Senatus qui ad eum clam darent literas, hortantes ad reditum absente adhuc, occupatoque Severo. Quippe nobilitas omnis Albinum malebat Imperatorem, ortum illustri genere, ac bonæ indolis juvenem. Quibus rebus cognitis,

χοντο. τῶν δὲ φυγάδων στρατιωτῶν, πολλῶν τε ἐν αὐτοῖς τεχνιτῶν, παρ' αὐτοῖς γενομένων, καὶ τὸν ἐκεῖ βίον ἑλομένων, οὐ μόνον χρῆσθαι, ἀλλὰ καὶ ἐργάζεσθαι ὅπλα ἐδιδάχθησαν.

ιϛ'. Διοικήσας δὲ ὁ Σεβῆρος τὰ ἐπὶ τῆς ἀνατολῆς, ὡς ᾤετο, ἄριστα καὶ ἑαυτῷ λυσιτελέστατα, ἠθέλησεν εὐθέως ὁρμῆσαι ἐπὶ τὸν Ἀτρηνῶν βασιλέα, εἴς τε τὴν Παρθυαίων γῆν διαβῆναι. [1] ἐπεκάλει γὰρ ἀμφοτέροις φιλίᾳ Νίγρου. ἀλλὰ ταῦτα μὲν εἰς ὕστερον ἀνέθετο. πρῶτον δὲ πᾶσαν τὴν ἀρχὴν Ῥωμαίων εἰς ἑαυτὸν καὶ τοὺς παῖδας μεταγαγεῖν καὶ βεβαιῶσαι ἠθέλησε. καθῃρημένου γὰρ τοῦ Νίγρου, ὀχληρὸς καὶ περιττὸς αὐτῷ ὁ Ἀλβῖνος ἐνομίζετο. ἔτι τε καὶ ἤκουον αὐτὸν βασιλικώτερον ἐντρυφῶντα, τῷ τοῦ Καίσαρος ὀνόματι, πολλούς τε μάλιστα τοὺς ἐξέχοντας τῆς συγκλήτου βουλῆς, ἰδίᾳ καὶ κρύβδην ἐπιστέλλοντας αὐτῷ, εἴς τε τὴν Ῥώμην ἐλθεῖν πείθοντας, ἀπόντος καὶ ἀσχολουμένου τοῦ Σεβήρου. ἡροῦντο γὰρ οἱ εὐπατρίδαι ἐκεῖνον μᾶλλον ἄρχοντα, ἅτε ἐκ προγόνων εὖ γεγονότα, καὶ χρηστὸν τὸ ἦθος εἶναι λεγόμενον. ἅπερ πυνθανόμενος ὁ Σεβῆρος, φα-

1. Politiani versionem non satis assequor neque enim, ut mihi videtur, Græco respondet, nisi si fortasse [φιλία] in casu recto legas; *ita ut amicitia Nigri utrosque in societatem asciverit.* Sed nec hoc adeò congruum: De Severo agit Herodianus, qui utrosque postulavit Societatis cum Nigro initæ, quo sensu hic loci utor [ἐπεγκαλεῖ,] simili etiam apud Platonem occurrit, ἐπεγκαλῶ αὐτῷ τῷ πράγματι, *damno vel incuso rem ipsam.* Quanquam non negaverim; *Secundum Grammaticæ leges,* omninò fere conjungi *Dat. personæ cum Acc. rei.* Ut ἐπεγκαλῶ σοὶ τὴν συνωμοσίαν. *Thucyd.* ita ut legi possit, ἐπεγκαλεῖ [ἀμφοτέροις] [φιλίαν] Νίγρου.

γερὰν

ρὰν μὲν εὐθὺς πρὸς αὐτὸν ἔχθραν ἄρασθαι, καὶ πόλεμον ἐγεῖραι πρὸς ἄνδρα μηδεμίαν εὔλογον παρεσχημένον αἰτίαν παρῃτήσατο. ἔδοξε δὲ αὐτῷ ἀπόπειραν ποιήσασθαι εἰ δύναιτο ἀποσκεδάσασθαι λαθὼν, καὶ ἐξαπατήσας αὐτόν. μεταπεμψάμενος οὖν τοὺς [1] πιστοτάτους τῶν εἰωθότων τὰ βασιλικὰ γράμματα διακομίζειν, δίδωσιν αὐτοῖς ἐντολὰς δι' ἀπορρήτων, εἰ γένοιτο παρ' αὐτῷ, τὰ μὲν γράμματα δημοσίᾳ ἀποδοῦναι, ἀξιῶσαι δὲ αὐτὸν ἰδιαίτερον ἀποστάντα, ἐπακοῦσαι ἀπορρήτων ἐντολῶν. πεσόντι δὲ δορυφόρων ἐρήμῳ ἐπιπεσεῖν αἰφνιδίως, καὶ φονεῦσαι. ἔδωκε δὲ αὐτοῖς καὶ δηλητήρια φάρμακα, [2] ὅπως τινὰς πεῖσαι δυνηθεῖεν, ἢ τῶν ὀψοποιῶν, ἢ τῶν πρὸς τῇ κύλικι λαθεῖν καὶ ἐπιδοῦναι αὐτῷ, ὑποπτευόντων τῶν περὶ αὐτὸν φίλων, καὶ συμβουλευόντων αὐτῷ, φυλάττεσθαι ἄνδρα ἀπατεῶνα σοφόν τε πρὸς ἐπιβουλήν. διαβεβλήκεσαν γὰρ αὐτοῦ τὸ ἦθος αἱ πρὸς τοὺς ἡγεμόνας τοῦ Νίγρου πράξεις. πείσας γὰρ αὐτοὺς διὰ τῶν παίδων, ὡς προείρηται, προδοῦναι τὰ τοῦ Νίγρου πράγματα, μετὰ τὸ ἀποχρήσασθαι αὐτῶν τῇ ὑπηρεσίᾳ, καὶ κατορθῶσαι πάντα ἃ ἐβούλετο, ἀνεῖλεν αὐτούς τε καὶ παῖδας. τὸ οὖν ὕπουλον αὐτοῦ ἦθος μάλιστα ἐκ τῶν ἔργων ἐδηλοῦτο. ταύτῃ ὁ Ἀλβῖνος καὶ φρουρᾷ μείζονι ἔφραξεν ἑαυτόν. ὅτε

Severus, minimè utique apertis inimicitiis, ac manifesto bello agendum putans, nulla existente causa, quæ saltem specie honesta videri posset, decrevit eum dolo insidiisque tentare. Quare tabellarios aliquot ex iis qui literas imperatorias perferunt, fidissimos sibi homines, cum literis mandatisque ad eum mittit, præmonitos uti redditis publicè epistolis quædam habere se dicerent, quæ apud illum remotis arbitris loquerentur. Quare ut primùm seorsùm à custodibus nacti eum forent, facto impetu obtruncarent. Quin venena quoque dedit, quibus eum, si possent, per aliquem ab epulis, aut à cyatho, aggrederentur. Erat autem illius amicis suspecta Severi fides. Itaque cavendum identidem admonebant hominem perfidiosum, plenum fraudis & insidiarum. Nam vulgo etiam parum constanti fide habebatur, impulsis (ut dictum est) per ipsorum filios Nigri ducibus, ad res illius prodendas, dein postquam eorum opera abusus est, suáque omnia ex sententia composuerat, ipsis liberisque enecatis. Igitur infidum, subdolumque ingenium res ipsæ declarabant, obque id majore se custodia Albinus circummunie-

1. *Et hic quidem* [*sc. Severus*] *literas missis stipatoribus fidelissimis dedit, quibus præcepit ut epistolam publice darent; postea verò dicerent se velle pleraque occultè suggerere quæ ad res bellicas pertinerent. Capitolin.* Quem de hisce insidiis amplius consule.

2. Steph. leg. εἴπως.

rat. Neque enim temerè quisquam à Severo missus ad illum introducebatur, nisi prius deposito militari gladio, sinuque excusso.

XVII. Postquam igitur à Severo tabellarii ad eum pervenerunt, redditisque publice literis, habere se dixerunt quædam secretius renuncianda: indulgens suspicionibus Albinus, comprehendi illico jubet. Dein explorata re, insidiisque ordine intellectis, ubi noxios supplicio affecit, jam ipse se, ut adversus manifestissimum hostem comparabat. Quibus cognitis, Severus homo iracundo ingenio, non jam celandas sibi inimicitias putavit, sed omni convocato exercitu hujuscemodi habuit orationem.

Oratio Severi, contra Albinum.

XVIII. Neque levitatis me quisquam ob anteacta insimulet, neque infidum, aut ingratum putet adversus eum quem pro amico habuerim. Omnia nos quidem præstitimus, etiam in partem principatus, & quidem stabilissimi, recepto quod ne geminis quidem fratribus facilè quisquam indulserit. Quod enim vos mihi uni detulistis, id ego cum

γάρ τις αὐτῷ τῶν ἀπὸ τοῦ Σεβήρου ἀφικνουμένων ἄλλως προσῄει, εἰ μὴ πρότερον ἀποθέμενος ὃ ὑπὲρ περιέκειτο, ξίφος στρατιωτικὸν, ἐρευνηθῆναι, μή τι φέροι ὑπὸ κόλπον.

ιζ'. Ὡς δ' οὖν ἀφίκοντο οἱ τοῦ Σεβήρου ἀγγελιαφόροι, τά τε γράμματα δημοσίᾳ ἀποδόντες, ἠξίουν αὐτὸν ἀποστάντα ἐπακοῦσαι τινῶν ἀποῤῥήτων· ὑποπτεύσας ὁ Ἀλβῖνος, συλληφθῆναι κελεύει αὐτούς. ἰδίᾳ τε βασανίσας, πᾶσαν μανθάνει τὴν ἐπιβουλήν. καὶ τοὺς μὲν κολάζει· αὐτὸς δὲ ἤδη, ὡς πρὸς ὁμολογούμενον ἐχθρὸν παρεσκευάζετο. γνοὺς δὲ ταῦτα ὁ Σεβῆρος, καὶ πάντα μὲν ἐκθύμως πράττων, ὀργῆς δὲ ἥττων ὢν φύσει, οὐκέτι τὴν ἔχθραν ἔκρυπτεν· ἀλλὰ συγκαλέσας πᾶν τὸ στρατιωτικὸν, ἔλεξε πρὸς αὐτοὺς τοιάδε.

Δημηγορεία Σεβήρου κατὰ Ἀλβῖνον.

ιη'. Μήτε κουφότητά τις ἡμετέραν, οὐδὲ ἐπὶ τοῖς πεπραγμένοις ἡμῖν ἐγκαλείτω, μήτ' ἄπιστον καὶ ἀγνώμονα πρὸς τὸν νομισθέντα φίλον ἡγείσθω. τὰ μὲν γὰρ παρ' ἡμῶν πάντα ὑπῆρξεν αὐτῷ βεβαίας βασιλείας κοινωνίᾳ, πράγματος [1] οὗ μόλις τις καὶ ἀδελφοῖς γνησίοις μεταδίδωσιν. ὃ δὲ ἐμοὶ μόνῳ ὑμεῖς ἐχειροτονήσατε, τοῦτ' ἐγὼ

1. *Nam quantulum refert*, inquit Plinius in paneg. *deponas an partiaris imperium, nisi quod difficilius hoc est.*

πρὸς

πρὸς ἐκεῖνον ἐνεχειρισάμην. μεγάλων τέ μοι κατατεθεισῶν εἰς αὐτὸν εὐεργεσιῶν ἀχαρίστους τὰς ἀμοιβὰς Ἀλβῖνος ἀποδίδωσιν. ὅπλα καὶ στρατὸν ἐφ' ἡμᾶς συσκευάζεται, καταφρονήσας μὲν τῆς ὑμετέρας ἀνδρείας, ἀμελήσας δὲ τῆς πρός με πίστεως, ἀπλήστῳ τε ἐπιθυμίᾳ βουλόμενος λαβεῖν μετὰ κινδύνων, οὗ τὸ μέρος εἶχεν ἄνευ πολέμου καὶ μάχης, οὔτε θεοὺς αἰδεσθεὶς, οὓς πολλάκις ὤμοσεν, οὔτε τῶν ὑμετέρων καμάτων φεισάμενος, οὓς μετὰ τοσαύτης δόξης τε καὶ ἀρετῆς ὑπὲρ ἡμῶν ἐκάμετε. ἐν γὰρ οἷς κατωρθώσατε, κἀκεῖνος τὸ μέρος ἐκαρποῦτο. ἔσχε δ' ἄν τι καὶ μεῖζον, εἰ καὶ τὸ πιστὸν ἐτήρει, ἀμφοτέροις ἡμῖν παρ' ὑμῶν μεμερισμένης τιμῆς. ὥσπερ δὲ ἄδικον, τὸ ἄρχειν ἔργων πονηρῶν, οὕτως ἄνανδρον, τὸ μὴ ἀμύνεσθαι [1] πρὸς ἀδικούμενον. καὶ Νίγρῳ μὲν πολεμοῦντες, οὐχ οὕτως εὐλόγους εἴχομεν αἰτίας ἔχθρας, ὡς ἀναγκαίας. οὐ γὰρ παρ' ἡμῖν προϋπάρχουσαν ἀρχὴν ὑφαρπάζων μεμίσητο, ἐν μέσῳ δὲ ἐρριμμένην καὶ ἀμφήριστον οὖσαν ἑκάτερος ἡμῶν ἐξ ἰσοτίμου φιλοτιμίας εἰς αὐτὸν ἀνθεῖλκεν. Ἀλβῖνος δὴ σπονδῶν καὶ ὅρκων καταφρονήσας, καὶ τούτου παρ' ἐμοῦ τυχὼν, οὗ μόνῳ τις υἱῷ γνησίῳ μεταδίδωσιν, ἐχθρὸς μὲν ἀντὶ φίλου, πολέμιος δὲ ἀντὶ οἰκείου γενέσθαι προήρηται. ὥσπερ δὲ αὐτὸν εὐεργετοῦντες πρότερον τιμῇ καὶ δόξῃ ἐτιμήσαμεν καὶ ἐκοσμήσαμεν, οὕτω καὶ

illo communicavi. Tantis autem beneficiis nostris pessimam videlicet gratiam retulit Albinus, contemta virtute nostra, suæque immemor fidei, ardensque inexhausta cupiditate, id universum periculosè præripiendi, cujus particeps esse citra bellum ac dimicationem ullam potuisset. Neque Deos reveretur, per quos toties juratus: neque vestris parcit laboribus, quos tanta cum gloria virtuteque pro nobis pertulistis. Quippe successuum vestrorum nec ipse fructu carebat: imò autem si fidem servasset, major illi portio contigisset. Ut autem si ipse autor malorum sis, injustus videare: ita si non ulciscare acceptas injurias, ignavus. Nam cum bellum adversus Nigrum gessimus, non ita sanè speciosas inimicitiarum causas habebamus. Non enim quasi raptorem occupati à nobis principatus oderamus, sed positum eum in medio, atque adhuc in disceptatione versantem, pari uterque ambitu ad se trahebat. Verum Albinus despecto fœdere ac jurejurando, cùm sit nostro munere adeptus, quæ tantum legitimis liberis tribuuntur: hostis esse mavult nobis, quàm familiaris. Ut igitur pridem beneficio affectum, honore gloriaque cohonestavimus: ita nunc perfidiosum atque imbellem ipsius

1. Legit Schottus compositè, προσαδικούμενον. *Super injuriâ lacessitum* vel προαδικούμενον, *priùs injuriâ provocatum.*

ani-

animum coarguamus armis. Neque enim sustinere ille exercitus poterit exiguus, atque insularis, vires vestras. Nam cùm vos propemodum soli alacritate quadam & virtute vestra, jam multis præliis perviceritis, totumque vobis Orientem subegeritis, quis dubitet, quin nunc quoque tantarum accessione virium (quippe hic totus penè Romanus exercitus) profligaturi paucos sitis, ne sub viro quidem sobrio, nedum sub forti duce militantes. Quis enim luxuriam illius ignorat, vitamque hominis subulcorum potius gregibus, quàm militum legionibus congruentem? Proinde eamus audacter in illum, qua solemus alacritate animi atque virtute, Diis freti autoribus, ab eodem impiè pejeratis: simul memores excitatorum sæpe à vobis trophæorum, quæ scilicet ab ipso despecta sunt.

XIX. Hæc locuto Severo, confestim exercitus universus Albinum hostem declarat, exceptoque faustis acclamationibus ipso, nihil non alacritatis & studii clamoribus ostendentes, magisque hominem spe addita succenderunt. Qui amplissimo donativo milites prosecutus, statim universos contra Albinum educit: missis item pariter qui Byzantium expugnarent, clausam adhuc receptis Nigri ducibus. Quæ

νοῦν αὐτοῦ τὸ ἄπιστον καὶ ἄνανδρον τοῖς ὅπλοις ἐλέγξωμεν. οὐδὲ γὰρ ὑπομενεῖ ὁ ἐκείνου στρατὸς, ὀλίγος ὢν καὶ νησιώτης, τὴν ὑμετέραν δύναμιν. οἱ γὰρ μόνοι, καὶ καθ᾽ αὑτοὺς προθυμίᾳ καὶ ἀνδρείᾳ τοσαύταις μάχαις ἐνικήσατε, καὶ πᾶσαν ἀνατολὴν ὑπετάξατε, πῶς οὐχὶ προστεθείσης ὑμῖν τοσαύτης συμμάχου δυνάμεως, σχεδόν τε παντὸς τοῦ Ρωμαίων στρατοῦ ἐνταῦθα ὄντος, ῥᾷστα κρατήσετε ὀλίγων ὄντων, καὶ μηδὲ ὑπὸ γενναίῳ, καὶ νήφοντι ἀνδρὶ στρατηγουμένων. τίς γὰρ αὐτοῦ τὸ ἁβροδίαιτον οὐκ οἶδεν, ὡς χοίροις αὐτοῦ μᾶλλον ἁρμόζειν τὸν βίον, ἢ φάλαγξιν; ἴωμεν οὖν, τῇ συνήθει χρώμενοι προθυμίᾳ τε καὶ ἀνδρείᾳ γενναίως ἐπ᾽ αὐτὸν, θεούς τε ἔχοντες βοηθοὺς, εἰς οὓς [1] ἐπιορκήσας ἠσέβησε, τρόπαιά τε, ἃ πολλάκις ἐγείραμεν, ὧν ἐκεῖνος καταπεφρόνηκε.

ιθ'. Τοιαῦτά τινα εἰπόντος τοῦ Σεβήρου, ὁ στρατὸς ἅπας τὸν μὲν Αλβῖνον πολέμιον ἀνηγόρευσεν. εὐφημήσαντες δὲ τὸν Σεβῆρον, πᾶσάν τε προθυμίαν διὰ τῆς βοῆς ὑποσχόμενοι, ἔτι καὶ μᾶλλον παρώρμησαν αὐτὸν, ἀγαθάς τε ὑπέφηναν τὰς ἐλπίδας. ὁ δὲ ἐπιδοὺς αὐτοῖς μεγαλοφρόνως δωρεὰς, τῆς ἐπὶ Αλβῖνον ὁδοῦ εἴχετο. ἔπεμψε δὲ καὶ τοὺς τὸ Βυζάντιον πολιορκήσοντας. ἔμενε γὰρ ἔτι κεκλεισμένον, τῶν στρατηγῶν τοῦ Νίγρου ἐ-

1. Vide ut Severus toties exaggerato perjurii crimine Albinum incessat, qui & Ipse, *quod supra annotavimus*, describitur ὅρκου μὴ φειδόμενος.

κεῖσε

κεῖσε καταφυγόντων, ὅπερ ἑάλω ὕστερον [1] λιμῷ. πᾶσά τε ἡ πόλις κατεσκάφη, καὶ θεάτρων τε καὶ λουτρῶν, [2] παντός τε κόσμου καὶ τιμῆς ἀφαιρεθὲν τὸ Βυζάντιον, κώμη δουλεύειν Περινθίοις δῶρον ἐδόθη, ὥσπερ καὶ Ἀντιόχεια Λαοδικεῦσιν. ἔπεμψε δὲ καὶ χρήματα πλεῖστα εἰς ἀνοικισμὸν τῶν πόλεων, ἃς ἦν λυμηνάμενος ὁ Νίγρου στρατός. αὐτὸς δὲ τῆς ὁδοῦ εἴχετο, μηδεμίαν ἀνοχὴν ἀναπαύλης διδοὺς, μήτε ἑορταῖς, μήτε καμάτοις, κρύους καὶ θάλπους ὁμοίως καταφρονῶν. πολλάκις γοῦν διὰ τῶν δυσχειμέρων καὶ ὑψηλοτάτων ὀρῶν τὴν ὁδοιπορείαν ποιούμενος, ὑπὸ νιφετοῖς καὶ χιόσιν ἀκαλύπτῳ τῇ κεφαλῇ ὡδοιπόρει, προθυμίας καὶ ἀνδρείας τὸ [3] ἐνδόσιμον τοῖς στρατιώταις ἔργῳ διδοὺς, ὡς μὴ μόνον, αὐτοὺς φόβῳ καὶ νόμῳ ἀντέχειν πρὸς τοὺς καμάτους, ἀλλὰ μιμήσει καὶ ζήλῳ τοῦ βασιλέως.

κ΄. Ἔπεμψε δὲ καὶ στρατὸν [4] δυνάμεως, τὸν τὰ στενὰ τῶν Ἀλπέων καταληψόμενον, καὶ φρουρήσοντα τῆς Ἰταλίας τὰς εἰσβολάς. ὡς δὲ ἀπηγ-

deinde urbs fame capta, totaque planè direpta, simul theatro thermisque, omnique cultu atque honore detracto, & in vici formam redacta, Perinthiisque adjudicata est: quemadmodum Antiochia quoque Laodicenis. Tum pecuniæ magnam vim curavit ad reficiendas, instaurandasque urbes, quas Nigriani milites devastaverant. Ipse iter faciebat sine intermissione, neque festos dies, neque labores ullos magnopere curans, algoris atque æstus juxta patiens, sæpe etiam per altissimos montes hyeme sæva, nivibus cœlo ingruentibus, ibat aperto capite, ut milites ad alacritatem, patientiamque laborum re ipsa cohortaretur. Quocirca non metu quodam ac lege, sed æmulatione magis atq; exemplo principis ad perferenda omnia incitabantur.

XX. Misit etiam qui angustias occuparent Alpium, atque aditus Italiæ obsiderent. Enimverò postquam nunciatum Albino est, nihil cun-

---

1. Ἐπεὶ γὰρ ἐν τῷ ἀσθενεστάτῳ ἐγένοντο ἐπ᾽ ἀλλήλους ἐτράποντο καὶ ἀλλήλων ἐγεύοντο *Dion. de Byzantinis.*

2. Ἔπαυσε δὲ τὴν πόλιν τῆς τε ἐλευθερίας, καὶ τοῦ ἀξιώματος τοῦ πολιτικοῦ, καὶ δασμοφόρον ἀποφήνας, τάς τε οὐσίας τῶν πολιτῶν δημεύσας, αὐτήν τε καὶ τὴν χώραν αὐτῆς Περινθίοις ἐχαρίσατο. Et paulò post τὰ δὲ τείχη διαλύσας, ἐκείνους μὲν οὐδὲν πλέον τῆς στερήσεως τῆς δόξης, ἣν ἐκ τῆς ἐπιδείξεως αὐτῶν ἐκαρποῦντο, ἐλύπησε. *Idem: qui memorabilem illam Byzantii obsidionem fusius prosequitur.*

3. *Ansam, enim occasionem.* Est [ἐνδόσιμον] auspicatus rhythmi vel melodiæ & *præscriptum* quod datur à Chorodidascalo, cui chorum accinere oportebat. Sensu huic loco satis accommodo, uti *Exemplum* innuit.

4. Autumat Stephanus scripsisse Herodianum μετὰ δυνάμεως.

ctari

ctari Severum, sed adesse jam: supinus hactenus ac delicias agitans, magno tum metu perculsus, statim è Britannia transmittens, in adverso Galliæ litore castra collocavit: literisque ad vicinarum gentium præsides missis, pecunias commeatumque exercitibus juvandis conrogabat. Qui igitur dicto audientes fuerunt, pessimè illud in se consuluerunt, nullo non supplicio dein post bellum affecti. Qui verò imperium detrectaverunt, cum quidem fœlicius quàm prudentius id egissent, evasere incolumes, eventu ac fortuna rerum utraque consilia discernentibus.

XXI. Sed ubi jam in Galliam Severi copiæ pervenerunt, leves quædam primò pugnæ, quasique velitares fuerunt, donec postremò apud Lugdunum, magnam urbem atque opulentam, prælium in manibus fuit. Nam cùm se mœnibus tenuisset Albinus, exercitus emisit in pugnam. Ut verò ad manus ventum, diu quidem utrinq; decertatum est æquis viribus, sic ut ambigua victoriæ fortuna penderet. neque enim Britanni vel animi magnitudine, vel aviditate cædis, Illyricis concesserint. Ita conflictu primo valentissimorum exercituum neutram in partem acies inclinabat. Atque ut nonnulli prodiderunt ejus ætatis autores, qui

γέλη τοῦ Ἀλβίνῳ μὴ μέλλων ὁ Σεβῆρος, ἀλλ' ἤδη παρεσόμενος ὑπτιάζοντι, καὶ τρυφῶντι, μεγάλην ταραχὴν ἐνέβαλε. περαιωθεὶς δὲ ἀπὸ τῆς Βρεττανίας, ἐς τὴν ἀντικειμένην Γαλλίαν ἐστρατοπέδευσεν. ἔπεμψέ τε εἰς πάντα τὰ γειτνιῶντα ἔθνη, τοῖς τε ἡγουμένοις ἐπέστειλε χρήματά τε πέμπειν καὶ τροφὰς τοῦ στρατοῦ. καὶ οἱ μὲν πεισθέντες ἔπεμψαν ὀλεθρίως (ὕστερον γὰρ ἐκολάσθησαν) ὅσοι δὲ οὐκ ἐπίστευσαν, εὐτυχῶς μᾶλλον γνόντες ἢ εὐβούλως, ἐσώθησαν. ἡ γὰρ ἀπόβασις, καὶ τύχη τοῦ πολέμου, τὰς ἑκατέρων γνώμας ἔκρινεν.

κα'. Ἀφικομένης δὲ τῆς τοῦ Σεβήρου δυνάμεως εἰς τὴν Γαλλίαν, γεγόνασι μέν τινες ἀκροβολισμοὶ καθ' ἕτερα χωρία. ἡ δὲ τελευταία περὶ Λουγδοῦνον, μεγάλην πόλιν καὶ εὐδαίμονα, ἐν ᾗ κατακλείσας ἑαυτὸν ὁ Ἀλβῖνος ἔμενε, τὸν δὲ στρατὸν εἰς τὴν μάχην ἐξέπεμψε. γενομένης δὲ συμβολῆς καρτερᾶς, ἐπὶ πλεῖστον μὲν ἰσόρροπος ἔμενεν ἑκατέροις τῆς νίκης ἡ τύχη. Καὶ γὰρ οἱ Βρεττανοὶ ἀνδρείᾳ τε καὶ θυμῷ φονικῷ, οὐδὲν τῶν Ἰλλυριῶν ἀπολείπονται. γενναίων οὖν στρατῶν μαχομένων, οὐ θατέρων ῥᾳδία ἦν ἡ τροπή. ὡς δέ τινες τῶν τότε ἱστόρησαν, οὐ πρὸς χάριν, ἀλλὰ [1] πρὸς ἀλήθειαν λέγοντες, πολύ τι ὑπερ-

1. Inter quos certe numerandus est Dion, qui hoc de se. Λέγω ἐγὼ οὐχ ὅσα ὁ Σεβῆρος ἔγραψεν, ἀλλ' ὅσα ἀληθῶς ἐγένετο. de Severo item hoc, ἰδὼν δὲ τοῦτο ὁ Σεβῆρος, nempe dextrum ejus cornu propè pulsum fugatumque, ἐπι-

ρέχων

ρέχειν ἡ φάλαγξ τοῦ Ἀλβίνου στρατοῦ, καθ' ὃ μέρος ἐτέτακτο Σεβῆρος, καὶ ὁ σὺν αὐτῷ στρατὸς, ὡς φυγεῖν τε αὐτὸν, καὶ τοῦ ἵππου ἐκπεσεῖν, ἀπορρίψαντα δὲ τὴν χλαμύδα τὴν βασιλικὴν λαθεῖν.

κβ'. Ἤδη δὲ διωκόντων καὶ παιανιζόντων τῶν Βρεττανῶν, ὡς δὴ νενικηκότων, ἐπιφανῆναι Λαῖτον στρατηγὸν ὄντα Σεβήρου, σὺν τῷ στρατῷ οὗ ἦρχεν ἀκμῆτί τε ὄντι καὶ ἔξω μάχης γεγονότι. διαβάλλουσι δὲ αὐτὸν, ὡς καραδοκήσαντα τὴν ἀπόβασιν τῆς μάχης, καὶ ἑκόντα βραδύναντα. τὸν γὰρ ὑφ' ἑαυτῷ στρατὸν ἀκμῆτα τηρήσαντα, τὴν ἀρχὴν ἑαυτῷ μνώμενον, τότε ἐπιφανῆναι, ὅτε ἔμαθε [1] τὸν Σεβῆρον πεπτωκότα. πιστοῦται δὲ τὴν διαβολὴν ταύτην, ἡ ἀπόβασις. ὕστερον γὰρ ὁ Σεβῆρος μετὰ τὸ πάντα κατορθῶσαι, καὶ εἶναι ἐν ἀμερίμνῳ βίῳ, τοὺς μὲν ἄλλους πάντας αὐτοῦ στρατηγοὺς μεγάλως ἠμείψατο· τὸν δὲ Λαῖτον μόνον, ὡς εἰκὸς, [2] μνησικακήσας διεχρήσατο. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο. τότε δ' οὖν, ὡς προείρηται, τοῦ Λαίτου ἐπιφανέντος σὺν νεαρῷ τῷ στρατῷ οἱ

non ad gratiam, sed ad fidem loquuntur, longè potior fuit Albini acies, qua in parte Severus curabat, sic ut fugerit quoque, & ab equo deciderit, abjectoque paludamento delituerit.

XXII. Sed insequentibus jam vitulantibusque Britannis, ceu planè victoribus, apparuisse extemplò Lætum Severi Ducem, cum recenti adhuc exercitu. Quippe malè audiit quasi eventum pugnæ expectaverit, cunctatus de industria retento milite, ut sibimet Imperium vindicaret: siquidem non prius in pugnam protulit pedem, quàm ubi Severus cecidisse nunciatus est. Quam suspicionem etiam deinde eventus approbavit. Quippe rebus omnibus ex sententia mox compositis, atque in maxima securitate agitans Severus, cum quidem cæteros belli duces magnis affecisset præmiis, Lætum ipsum tamen (ut par fuit) memor proditionis, morte mulctavit. Sed ista quidem post fuere. Tunc autem conspecto (ut diximus) Læto, spes addita Severianis est: ac subla-

κύρησε μὲν αὐτοῖς μετὰ τῶν δορυφόρων· τοσοῦτον δὲ ἐδύνησεν αὐτοὺς ὠφελῆσαι ὥστε καὶ τοὺς δορυφόρους ὀλίγου δεῖν προσαπώλεσε, καὶ αὐτὸς τὸν ἵππον ἀποβαλὼν ἐκινδύνευσε, ὡς δὲ εἶδε φεύγοντας πάντας τοὺς ἑαυτοῦ, τὴν χλαμύδα περιρρηξάμενος καὶ τὸ ξίφος σπασάμενος, εἰς τοὺς φεύγοντας εἰσεπήδησεν.

1. Contra Dion. Ἐπεὶ δὲ εἶδεν ἐπικρατέστερα τὰ τοῦ Σεβήρου γιγνόμενα προσεπελάβετο τοῦ ἔργου. In hos verò cum Herodiano consentit quòd Lætum quamdiu æquo Marte pugnatum est, substitisse narrat, quasi occasionem captaret imperii ad se transferendi.

2. Causam longè aliam assignat Dion. ἀπέκτεινε δὲ τὸν Λαῖτον ὅτι φρόνημα εἶχε, καὶ ὅτι ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο.

tus in equum Severus, & paludamento purpureo circumdatus. At Albiniani jam se victores rati, confusis ordinibus incitante se in eos de improviso valida recentique hostium manu, cùm paulum primò restitissent, terga demum verterunt. Fusos igitur, fugatosque eos persecuti Severiani, magna edita strage, ad urbem ipsam pervenerunt. Occisorum utrinque, aut captivorum numerus, variè, prout visum ejus ætatis scriptoribus proditur.

XXIII. Direpta mox, incensaque Lugdunum, & Albino caput abscissum perlatumque ad Severum est. Ita duo maxima excitata trophæa ad Orientem ac Septentriones, sic ut nihil sit quod cum Severi contentionibus aut victoriis conferas, sive copiarum multitudinem, sive nationum motus, sive numerum pugnarum, sive itinerum longitudinem celeritatemque consideres. Nam Cæsaris quidem res adversus Pompeium, Romano utrinque milite, magnæ profecto fuerunt. Item Augusti adversus Antonium, aut Pompeii liberos: & quæ antea à Sylla Marioque, civilibus externisque præliis gesta sunt. Sed qui unus vir tres Imperatores rerum jam potitos sustulerit,

μὲν τοῦ Σεβήρου ἐπερρώσθησαν, τὸν δὲ Σεβῆρον τοῦ ἵππου ἐπεβίβασαν, καὶ τὴν χλαμύδα περιέθεσαν. οἱ δὲ τοῦ Ἀλβίνου οἰόμενοι ἤδη νενικηκέναι, καὶ ἀτακτότεροι εὑρεθέντες, αἰφνιδίως αὐτοῖς ἐπιπεσούσης γενναίας καὶ οὐ προηγωνισμένης δυνάμεως, ἐπ᾽ ὀλίγον ἀντισχόντες εἶξαν. τροπῆς τε καρτερᾶς γενομένης, ἐδίωξαν αὐτοὺς φονεύοντες οἱ Σεβήρου, μέχρις οὗ ἐς τὴν πόλιν ἐσέβαλον. τὸ μὲν οὖν πλῆθος τῶν ἑκατέρωθεν ἀνῃρημένων, ἢ ἁλόντων, ὡς ἕκαστος ἐβουλήθη τῶν [1] τότε συγγραψάντων, ἱστόρησεν.

κγʹ. Οἵ τε τοῦ Σεβήρου τήν τε πόλιν Λουγδοῦνον διαρπάσαντες, καὶ ἐμπρήσαντες, τόν τε Ἀλβῖνον συλλαβόντες, καὶ κεφαλῆς ἀφελόντες, κομίσαντες αὐτὴν τῷ Σεβήρῳ, δισσὰ καὶ μέγιστα ἤγειραν τρόπαια, τὸ μὲν ἐν ἀνατολῇ, τὸ δὲ ὑπ᾽ ἄρκτῳ, ὡς μηδὲν τῶν Σεβήρου μάχαις ἢ νίκαις παραβάλλεσθαι, μήτε πλήθει δυνάμεως, μήτε ἐθνῶν κινήσεσιν, ἀριθμῷ τε παρατάξεων, ὁδοιποείας τε μήκει καὶ τάχει. μεγάλαι μὲν γὰρ αἱ Καίσαρος πρὸς Πομπήϊον ἑκατέρωθεν στρατοπέδων Ῥωμαϊκῶν μάχαι, καὶ αὐτοῦ Σεβαστοῦ πρὸς Ἀντώνιον, ἢ τοὺς Πομπηΐου παῖδας, εἴ τέ τι πρότερον Σύλλᾳ ἢ Μαρίῳ ἐν ἐμφυλίοις καὶ Ῥωμαϊκοῖς μάχαις, ἢ ἄλλοις πέπρακται· ἕνα δὲ ἄνδρα τρεῖς καθελόντα βασιλέας, ἤδη κρατοῦντας, καὶ

1. Occisorum numerum Historicorum nemo, quod sciam, ritè subduxit, Dion enim indefinitum ponit, ὥστε ἀμφοτέρωθεν ἀναριθμήτων πεσόντων uti & Capitolinus. *Innumeris suorum cæsis, plurimis fugatis, multis deditis Albinus fugit.*

λόντα

τῶν μὲν ἐν Ῥώμῃ στρατοῦ σοφίᾳ περιγενόμενος, καὶ [1] τὸν ὄντα ἐν τῇ βασιλείῳ αὐλῇ καθῃρηκέναι· [2] τὸν δὲ τῶν ἐν τῇ ἀνατολῇ κρατοῦντα πάλαι, καὶ ὑπὸ Ῥωμαίων βασιλέα κληθέντα· [3] τὸν δὲ ἐν Καίσαρος τιμῇ καὶ ἐξουσίᾳ γεγονότα, χειρωσάμενον ἀνδρείᾳ, οὐκ ἔστιν ἄλλον ῥᾳδίως εἰπεῖν. τέλους μὲν δὴ τοιούτῳ ὁ Ἀλβῖνος ἐχρήσατο, πρὸς ὀλίγον ἀπολαύσας ὀλεθρίου τιμῆς.

κδ΄. Ὁ δὲ Σεβῆρος θυμῷ καὶ ὀργῇ εὐθέως πρὸς τοὺς ἐν Ῥώμῃ [4] φίλους αὐτοῦ ἐχρῆτο. καὶ πέμψας [5] τὴν κεφαλὴν τοῦ Ἀλβίνου, δημοσίᾳ ἀνασταυρωθῆναι κελεύει· γράμμασί τε τῷ δήμῳ τὴν νίκην ἑαυτοῦ δηλώσας, ἔπειτα τέλος καὶ τοῦτο προσέθηκε, πεπομφέναι τὴν κεφαλὴν αὐτοῦ δημοσίᾳ περίοπτον ἀνασταυρωθῆναι κελεύσας, ἵνα αὐτὸς οἶδεν ὅπερ ἐδείκνυεν αὐτοῦ τὸν θυμὸν, ἴδῃ καὶ τὴν πρὸς ἐκείνους ὀργήν. διοικήσας δὲ τὰ κατὰ τὴν Βρεττανίαν, καὶ διελὼν εἰς δύο ἡγεμονίας τὴν τοῦ ἔθνους ἐξου-

qui urbanos exercitus, Romam ipsam ac palatium obtinentes, astu circumvenerit; quique unum è principibus in ipsa Palatina aula curaverit occidendum; alterumque iterum in Oriente rursus gubernacula rerum tenentem, appellatumque à Romanis Imperatorem; tertium porrò Cæsaris honore atq; autoritate præditum, in potestatem redegerit, haud facilè alter invenietur. Hunc finem vitæ habuit Albinus, brevi sanè lætatus funesto honore.

XXIV Cæterum Severus omnem statim iram atque atrocitatem animi suam, in illius necessarios Romæ effudit: ac primò quidem præmisso in urbem capite Albini abscisso, jussoque publicè patibulo præfigi: in ima epistola, qua de sua victoria populum edocebat, hoc quoque adscripsit, ideo se caput illud publice in patibulo spectandum misisse, uti exemplum caperent, quid item ipsis patiendum foret. Rebus igitur Britanniæ ordinatis, cum totius insulæ administrationem bifariam

1. Julianum.

2. Pescennium Nigrum.

3. Clodium Albinum. Inter quos omnes ut Brutum, Cassium, Antonium, Pompeium filiosque, an satis justa instituatur comparatio, dispiciat Lector.

4. Ἔνθα οἱ καὶ [illegible] *Nempe qui ab Albini partibus steterant,* θανάτων κατεψηφίσατο. *Denique victo eo, inquit Capitolinus, plurimi Senatores à Severo interfecti sunt, qui ejus partium verè fuerant, vel esse videbantur.*

5. Adverte sanguinariam Severi indolem, & plus sibi quàm vel victoriæ insolentia patitur, indulgentem. Ἰδὼν οὖν τὸ σῶμα αὐτοῦ, καὶ πολλὰ μὲν τοῖς ὀφθαλμοῖς, πολλὰ δὲ τῇ γλώττῃ χαρισάμενος, τὸ μὲν ἄλλο ῥιφῆναι ἐκέλευσε, τὴν δὲ κεφαλὴν ἐς τὴν Ῥώμην πέμψας, ἀνεσταύρωσεν. *Dion.* ubi notat Boeclerus ex Casaub. exercitat. in annales Baronii, vocem ἀνασταυροῦν *aliquando dici non de hominis vivi supplicio, sed de cadavere aut capite vel decollati vel alio supplicio extincti, quod ignominiæ causâ palo affixum in propatulo collatur.*

dispertisset, itemque omni Gallia (quemadmodum quidem videbatur) composita ex sententia, suppliciοque de Albini amicis sumto, sive quos ei sua quemque voluntas, sive necessitas adjunxerat, [bonisque pariter publicatis] continuò Romam proficiscitur, exercitum secum omnem adducens, quo terribilior videretur.

XXV. Confectoque magna velocitate itinere, quemadmodum consueverat infestus adhuc superstitibus Albini amicis Romam intrat, currente laureato populo, ac magno honore, faustisque acclamationibus excipiente, Senatuque universo consalutante. Tametsi plerosque metus consternaverat, quod sibi haudquaquam parsurum rebantur immitem suapte natura, & sanguinarium, neque sanè magna causa indigentem ad inferendas injurias, cæterum tunc probabiles odii rationes habiturum. Postea verò quàm in templum Jovis ingressus est, omniaque sacrificia de more peregit, reversus in Palatium, magnoque congiario populum Romanum victoriæ nomine prosecutus, ac nummos militibus largitus est, simul alia permulta indulsit, quæ nunquam antea acceperant. Nam & frumenti summam primus adau-

σίαν, τά τε κατὰ τὰς Γαλλίας, ὡς ᾤετο, ἄριστα διαθείς, πάντας τε τοὺς Ἀλβίνου φίλους εἴτε ἑκουσίως, εἴθ' ὑπὸ ἀνάγκης αὐτῷ γνωρισθέντας φονεύσας, τάς τε οὐσίας αὐτῶν δημεύσας, εἰς τὴν Ῥώμην ἠπείγετο, ἄγων ἅπαντα τὸν στρατὸν σὺν αὐτῷ, ὡς φανείη φοβερώτερος.

κε'. Ἀνύσας δὴ πολλῷ τὴν ὁδοιπορίαν τάχει, ὥσπερ ἦν ἔθος αὐτῷ, χαλεπαίνων πρὸς ἔτι περιόντας τοὺς ἐκείνου φίλους, εἰς τὴν Ῥώμην εἰσήλασεν. ὁ δὲ δῆμος αὐτὸν δαφνηφορῶν, μετὰ πάσης τιμῆς καὶ εὐφημίας ὑπεδέξατο, ἥ τε σύγκλητος προσηγόρευσαν, οἱ πλεῖστοι ἐν μεγίστῳ δέει καθεστῶτες, λογιζόμενοι ὅτι αὐτῶν οὐ φείσεται, φύσει μὲν ὢν ἐχθρὸς χαλεπώτατος, καὶ μικρᾶς προφάσεως δεόμενος εἰς τὸ ἀδικῆσαι, τότε δὲ δοκῶν καὶ εὐλόγους ἔχειν αἰτίας. ὁ δ' οὖν Σεβῆρος εἰς τὸ τοῦ Διὸς τέμενος ἀνελθών, καὶ τὰς λοιπὰς τελέσας ἱερουργίας, ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ τῷ δήμῳ προὔθηκεν ἐπὶ ταῖς νίκαις μεγίστας νομάς, τοῖς τε στρατιώταις ἐπέδωκε χρήματα πλεῖστα. ἄλλα τε πολλὰ συνεχώρησεν, ἃ μὴ πρότερον εἶχον. καὶ γὰρ τὸ [1] σιτηρέσιον αὐτοῖς πρῶ-

1. De rei frumentariæ summâ hæc disertè Polybius. Σιτομετροῦνται δὲ οἱ μὲν πεζοὶ πυρῶν Ἀττικοῦ μεδίμνου δύο μέρη μάλιστά πως. οἱ δὲ ἱππεῖς κριθῶν μὲν ἑπτὰ μεδίμνους εἰς τὸν μῆνα, πυρῶν δὲ δύο.

τῷ

τος ηὔξησε, καὶ [1] δακτυλίοις χρυσοῖς χρήσασθαι ἐπέτρεψε, [2] γυναιξί τε συνοικεῖν. ἅπερ ἅπαντα σωφροσύνης στρατιωτικῆς καὶ τοῦ πρὸς τὸν πόλεμον εὐστάλους τε καὶ ἑτοίμου ἀλλότρια ἐνομίζετο. καὶ πρῶτός τε ἐκεῖνος τὸ πάνυ αὐτῶν ἐρρωμένον, καὶ τὸ σκληρὸν τῆς διαίτης, τό τε εὐπειθὲς πρὸς τοὺς πόνους, καὶ εὔτακτον, μετ᾽ αἰδοῦς πρὸς ἄρχοντας ἐπανέτρεψε, χρημάτων τε ἐπιθυμεῖν διδάξας, καὶ μεταγαγὼν εἰς τὸ ἁβροδίαιτον.

κϛʹ. Διοικήσας δὲ ταῦτα, ὡς ᾤετο, ἄριστα, κατελθὼν εἰς τὴν σύγκλητον βουλὴν, ἀνελθών τε εἰς τὸν βασίλειον θρόνον, πικρῶς κατηγόρησε τῶν Ἀλβίνου φίλων. [3] ὧν μὲν ἐπιστολὰς προκομίζων ἀποῤῥήτους, ἃς ἐν τοῖς ἐκείνου ἀποθέτοις εὗρε γράμμασιν, οἷς δὲ δῶρα ὀνειδίζων πεμφθέντα ἐκείνῳ πολυτελέστερα, ἄλλοις δὲ ἄλλας ἐπιφέρων αἰτίας, τοῖς μὲν ἐξ ἀνατολῆς ἀνθρώποις φιλίαν, τοῖς δ᾽ ἐπὶ θάτερα γνῶσιν Ἀλβίνου, πάντας τοὺς ἐξέχοντας τότε τῆς συγκλήτου βουλῆς, καὶ τοὺς κατὰ ἔθνη πλούτῳ τε ἢ γένει ὑπερέχοντας, ἀφειδῶς ἀνῄρει.

xit, & aureis annulis uti, & domi habere mulierem permisit. Quæ omnia procul à militari disciplina, succinctos eos paratosque ad bellum minimè præstitura videbantur. Primusque ipse duritiem atque asperitatem victûs, tolerantiamque laborum, disciplinamque omnem, ac ducum reverentiam subvertit, inhiare pecuniis & mundicias colere militibus insuetactis.

XXVI. His ergo optimè pro suo judicio constitutis, curiam deinde ingressus, sedensque imperatoria sella, accusare infit truculenta oratione Albini amicos, prolatis etiam quorundam arcanis epistolis, quas apud illum sepositas deprehendisset: quibusdam autem exprobrans, quod eum splendidioribus muneribus affecissent, aliis quòd amici Orientalibus, aliis quòd Albino fuerunt notiores. Eoque pacto eximium quemque è Senatu, tum ut quisque in provinciis genere aut opibus excelleret, omnes sine discrimine supplicio afficiebat, ulciscens (ut

1. Quod quidem olim non nisi Tribunis aut equitibus saltem indultum est. Χρυσοφοροῦσι τῶν στρατευομένων οἱ χιλίαρχοι, *inquit Appianus*, τῶν ἐλαττόνων σιδηροφορούντων. Hùc facit illud Asconii, *Quædam præmia honori & lucro sunt, ut hastæ, vexilla, coronæ civicæ, & annuli aurei, ingenuitatis signa, quod sic donati stipendiis aucti fuerint.*

2. Novum enim hoc & inauditum fœminas, ne uxoribus quidem exceptis, in castris versari. Quod ex Tacito satis liquet tertio Annal. *Haud frustra placitum olim, ne fœminæ in socios aut exteras gentes traherentur, inesse enim mulierum comitatui, quæ pacem luxu, bellum formidine morentur, & Romanum agmen ad similitudinem barbari incessus convertant.*

3. *Denique cum apud Lugdunum eundem interfecisset, statim literas inquiri jussit, ita ut inveniret vel ad quos ipse scripsisset, vel qui ad eum rescripsissent.* Capitol.

quidem præ se ferebat) inimicos, sed reverà subigente avaritia, qua supra omnes Imperatores laboravit. Nam ut animi patientia, atque in laboribus perseverantia, simul rei militaris gloria, nemini etiam laudatissimo concesserit, ita quæstui supra quàm dici posset addictus, injustis cædibus, atque adeò quacunque ex causa pecuniam colligebat, Imperium metu potius quam benevolentia retinens. Quanquam popularis esse in primis volebat, edendis omnifariam magnificentissimis spectaculis, centenis etiam sæpenumero occisis belluis, quas omnibus è regionibus nostris, barbarisque conquirebat. Sed & congiaria dedit uberrima, & certamen proposuit undique accitis ludionibus, atque athletis. Vidimus item sub illo quosdam omnis generis ludos, cunctis editos theatris, simulque supplicationes & pervigilia ad formam Cereris initiorum, seculares hi tunc appellabantur, celebratos (ut

ὡς μὲν προσεποιεῖτο, χαλεπαίνων πρὸς ἐχθρούς, τὸ δ᾽ ἀληθὲς ὑπερβαλλούσης ἐν αὐτῷ φιλοχρηματίας. οὐδεὶς γοῦν βασιλέων οὕτω χρημάτων ἡττήθη. ὡς γὰρ καρτερίᾳ ψυχῆς, καὶ ἀνεξικακίᾳ πόνων, διοικήσει τε στρατιωτικῶν πραγμάτων, οὐδενὸς τῶν ἐπαινουμένων ἀπελείπετο, οὕτως ἐν αὐτῷ ἐπλήθυνε τὸ φιλοχρήματον, [1] ἐξ ἀδικίας φόνων, ἐκ τῆς τυχούσης αἰτίας. φόβῳ γοῦν ἦρξε μᾶλλον τῶν ἀρχομένων, ἢ εὐνοίᾳ. τῷ μέντοι δήμῳ ἐπειρᾶτο ποιεῖν κεχαρισμένα· καὶ γὰρ θέας πολυτελεῖς, καὶ παντοδαπὰς συνεχῶς ἐπετέλει, καὶ θηρίων ἑκατοντάδας ἀνεῖλε πολλάκις τῶν ἀπὸ πάσης γῆς ἡμετέρας τε καὶ βαρβάρου, νομάς τε μεγαλοφρόνως ἐπεδίδου. ἐτέλεσε δὲ καὶ ἐπινίκιον ἀγῶνα, τοὺς πανταχόθεν [2] μούσης τε ὑποκριτὰς καὶ ἀνδρείας μαθητὰς μεταπεμψάμενος. εἴδομεν δὲ ἐπ᾽ αὐτοῦ καὶ θέας τινῶν παντοδαπῶν θεαμάτων ἐν πᾶσι θεάτροις ὁμοῦ, ἱερουργίας τε καὶ παννυχίδας, ἐπιτελεσθείσας [3] εἰς μυστηρίων ζῆλον. αἰωνίους δὲ αὐτὰς ἐκάλουν οἱ τότε, ἀκούοντες [4] τριῶν γενεῶν διαδραμουσῶν ἐπιτε-

1. Videsis quo modo accipienda sit Dionis assertio. Χρηματιστὴς ἐξ ἁπάντων τρόπων, πλὴν καθότι οὐδένα τούτων χάριν ἀπέκτεινε. Consule si libet, apud Spartianum, prolixum illum Senatorum Syllabum quos sine causæ dictione interfecit.

2. Artifices scenicos τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. à quorum consortio longè nos relegat Aristoteles, ὅτι ἥκιστα λόγου καὶ φιλοσοφίας κοινωνοῦσι.

3. Qualia illa Eleusinæ Cereris sacra, quæ obscurâ luce fiebant, sacerdotesque facibus discurrentes fanatico cursu sacra peragebant. Ad cujus mysterii initiationem παννυχίδας suas Severus fortasse instituit.

4. Quot anni unam conficiant γενεάν, variè controversum est. Secundum Onuphrii computum 33. anni cum 4. mensibus, ut illud Horatianum sibi constet, *Undenis decies per annos.* Alii præter propter Centenarium numerum periodum esse existimant. Nihil enim magis familiare est quàm, *rotundationis,* ut ajunt, *causâ*, numerum quemcunque pro arbitrio aut dilatare aut contractiorem reddere. Memini me alibi legisse εἰς τὰ ἑκατὸν ἔτη τρεῖς γενεαὶ καταλέγονται.

λεῖσθαι.

λεῖσθαι. κήρυκες γοῦν κατά τε τὴν Ῥώμην καὶ τὴν Ἰταλίαν διεφοίτων, καλοῦντες ἥκειν καὶ θεάσασθαι πάντας, ἃ μήτε εἶδον, μήτε ὄψονται. οὕτως ὁ μεταξὺ χρόνος τῆς παρεληλυθούσης ἑορτῆς, καὶ τῆς μελλούσης ἐδηλοῦτο, πᾶσαν ἡλικίαν ἀνθρώπων ὑπερβαίνων.

κζʹ. Διατρίψας δὲ ἱκανοὺς χρόνους ἐν τῇ Ῥώμῃ, τούς τε [1] υἱεῖς αὐτοῦ κοινωνοὺς τῆς βασιλείας, καὶ αὐτοκράτορας ἀποδείξας, βουλόμενος δόξαν ἄρασθαι νίκης, μὴ μόνον ἐμφυλίου τε καὶ κατὰ Ῥωμαϊκῶν στρατοπέδων, ἐφ' ᾗ καὶ θριαμβεῦσαι ᾐδέσθη, ἀλλὰ καὶ κατὰ Βαρβάρων ἐγεῖραι τρόπαια, [2] πρόφασιν ποιούμενος τὴν Βαρσημίου τοῦ Ἀτρηνῶν βασιλέως πρὸς Νίγρον φιλίαν, ἐστράτευσεν ἐπὶ τὴν ἀνατολήν. παρὼν δὲ καὶ τὴν Ἀρμενίαν καταδραμεῖν ἠθέλησεν· φθάσας δὲ ὁ τῶν Ἀρμενίων βασιλεὺς, χρήματά τε αὐτῷ καὶ δῶρα, ὁμήρους τε ἱκετεύων ἔπεμψε, σπονδὰς καὶ εὔνοιαν ὑπισχνούμενος. ὁ δὲ Σεβῆρος τῶν ἐν Ἀρμενίᾳ προχωρούντων κατὰ γνώμην, ἐπὶ τῶν Ἀτρηνῶν ἠπείγετο. προσέφυγε δὲ αὐτῷ καὶ ὁ Ὀσροηνῶν βασιλεὺς [3] Αὔγαρος, τούς τε παῖδας ὁμηρεύειν εἰς ἀσφάλειαν πίστεως ἐξέδωκε, τοξότας τε πλείστους συμμάχους ἤγαγεν.

aiunt) decurso trium spacio ætatum, siquidem urbe tota atque Italia præcones itabant convocatum omnes ad ludos, quos nec vidissent hactenus, nec visuri postmodo forent. Ita scilicet intervallum præteritæ futuræque celebritatis, supra omnem esse hominum ætatem significantes.

XXVII. Igitur aliquandiu Romæ moratus, participato filiis Imperio, cum se civili tantum victoria, contraque Romanos exercitus habita clarum hactenus intelligeret, ex qua etiam triumphum recusaverat, decrevit item Barbarorum inclarescere trophæis. Quocirca prætextu vindicandi Barsemii Atrenorum regis, qui Nigri partes foverat, exercitum in Orientem eduxit: jamque in Armeniam facturus impetum, præventus à rege Armeniorum est, mittente obsides ultro, & munera: ac suppliciter petente, ut sibi cum illo inire amicitiam fœdusque ferire liceret. Quare Severus procedentibus ex sententia rebus, in Armeniam perrexit ad Atrenos. Sed & rex Osrhoënorum Augarus ad eundum transfugit: traditisque obsidio liberis, fidem suam authoravit, sagittariorumque vim magnam misit auxilio.

1. *Filium ejus Bassianum*, qui Cæsar appellatus jam fuerat, *annum decimum tertium agentem participem imperii dixerunt milites, Getam quoque minorem filium.* Spartianus.

2. Quia hoc bellum affectavit, referente Spartiano, gloriæ tantùm cupiditate ductus.

3. *Persarum regem Abgarum*, ita enim in utroque nomine peccat Spartianus si præferendus sit noster, *Arabas in ditionem accepit, Adiabenos in tributarios coegit.*

XXVIII

XXVIII. Cæterum Severus regionem interamnem agrumque Adiabenorum transgressus, etiam Arabiam felicem excurrit. Illic enim herbæ proveniunt odoratæ, quas nos aromata suffimentaque habemus. Ibi expugnatis vicis urbibusque permultis, omnemque agrum depopulatus, in Atrenorum regionem mox ingressus, Atras circumsedit, urbem scilicet altissimo impositam monti, ac maximis validissimisque obseptam mœnibus, florentem ingentique sagittariorum copia. Igitur hanc urbem Severianus exercitus, quanta maxima vi poterat oppugnabat, machinæque omnifariam mœnibus admovebantur, nullo oppugnationis genere prætermisso. Contrà autem Atreni audacter urbem defensare, sagittasque ac lapides supernè jacientes pessimè accipere Severianos: etiamque vasa fictilia volucribus quibusdam, venenatisque bestiolis oppleta devolvere: quæ cum aut oculis involitarent, aut in apertas corporis partes sensim obreperent, graviter singulos consauciabant. Incideratque in morbos Romanus miles, æstum illum cœli nimio sole præfervidi parum ferens: sicut longè plures ob hos casus, quàm hostili manu, interierint.

κη΄. Ὁ δὲ Σεβῆρος διαβὰς 1 τὴν τῶν ποταμῶν μέσην γῆν τε, καὶ Ἀδιαβηνῶν χώραν, ἐπέδραμε καὶ τὴν εὐδαίμονα Ἀραβίαν. φέρει γὰρ πόας εὐώδεις, αἷς ἀρώμασι καὶ θυμιάμασι χρώμεθα. πολλὰς δὲ κώμας καὶ πόλεις πορθήσας, τήν τε χώραν λεηλατήσας, ἐλθὼν εἰς τὴν Ἀτρηνῶν χώραν προσκαθεζόμενος τοὺς Ἄτρας ἐπολιόρκει. ἦν δὲ ἡ πόλις ἐπ᾽ ἄκρας ὑψηλοτάτης ὄρους, τείχει μεγίστῳ καὶ γενναίῳ περιβεβλημένη, πλήθει ἀνδρῶν τε τοξοτῶν ἀκμάζουσα. ὁ δὲ τοῦ Σεβήρου στρατὸς προσκαθεζόμενος, ἐπολιόρκει παντὶ σθένει, πειρώμενος τὴν πόλιν ἐξελεῖν. 2 μηχαναί τε παντοδαπαὶ προσήγοντο τῷ τείχει, καὶ οὐδὲν παρελείπετο εἶδος πολιορκίας. οἱ δὲ Ἀτρηνοὶ γενναίως ἀπεμάχοντο, τόξοις τε καὶ λίθοις ἄνωθεν βάλλοντες οὐ μικρῶς ἐλύπουν τὸν τοῦ Σεβήρου στρατόν. 3 σκεύη τε κεράμου πεποιημένα πληροῦντες πτηνῶν μικρῶν μὲν, ἰοβόλων δὲ θηρείων, ἐπέβαλον αὐτοῖς. τὰ δὲ ἐμπίπτοντα ταῖς ὄψεσι, καὶ εἴ τι τοῦ παραγεγύμνωτο τοῦ σώματος, λανθάνοντα καὶ παρεισιόντα, τιτρώσκοντά τε αὐτοὺς, ἐλυμαίνετο. καὶ μὴ φέροντες τὸ πνιγῶδες τοῦ ἀέρος, διὰ τὸ ὑπερβάλλον τοῦ ἡλίου πῦρ, νόσοις περιπίπτοντες διεφθείροντο, ὡς πλεῖστον μέρος τοῦ στρατοῦ διὰ τοιαύτας αἰτίας μᾶλλον ἀπόλλυσθαι, ἢ πρὸς τῶν πολεμίων.

1. Periphrasi illa significatur Mesopotamia.

2. Inter quas præstantiores illæ Prisci cujusdam insignissimi in hoc genere artificis.

3. Tali commento usus est Hannibal contra Eumenem Pergamenum regem. *v. Justin. lib. 32. Nepotem in vitâ Hannib.*

κθ΄. Ἀπα-

κθʹ. [1] Ἀπαγορευόντων τε τῶν στρατιωτῶν πρὸς τὰ εἰρημένα, τῆς τε πολιορκίας μὴ προχωρούσης, ἀλλὰ μᾶλλον βλαπτομένων τῶν Ῥωμαίων ἢ κατορθούντων, τὸν στρατὸν ὁ Σεβῆρος, ὡς μὴ διαφθαρείη πᾶς, ἄπρακτον ἐπανήγαγε. δυσφοροῦντα ἐπὶ τῷ μὴ, ὡς ἐβούλετο, τὰ τῆς πολιορκίας αὐτῷ προκεχωρηκέναι. [2] νικᾶν γὰρ πάντοτε ἐν ταῖς μάχαις εἰθισμένος, τὸ μὴ περιγενέσθαι, ἧτταν ἡγεῖτο. πλὴν παρεμυθήσατο αὐτὸν ἡ συναιρομένη τότε τοῖς ἐκείνου πράγμασι τύχη. οὐ γὰρ παντάπασιν ἄπρακτος ἐπανῆλθεν, ἀλλὰ μείζονα κατορθώσας, ὧν ἤλπισε. καταπλέων γὰρ ὁ στρατὸς ναυσὶ πολλαῖς, οὐκ εἰς ἃς ἐβούλετο Ῥωμαίων ὄχθας κατηνέχθη. ἐπὶ πλεῖστον δὲ αὐτὸν ἐξαγαγόντος τοῦ ῥεύματος, προσώκειλε ταῖς Παρθυαίων ὄχθαις, ἃ μὴ πολλῶν ἡμερῶν ὁδὸν ἀπεῖχον τῆς εἰς Κτησιφῶντα ἀφόδου, ἔνθα ἦν τὰ βασίλεια τοῦ Παρθυαίου. καὶ αὐτὸς διέτριβεν εἰρήνην ἄγων, μηδέν τι προσήκειν νομίζων ἑαυτῷ τὰς πρὸς τοὺς Ἀτρηνοὺς Σεβήρου μάχας. ἡσύχαζεν οὖν μηδέν τι δεινὸν προσδεχόμενος.

XXIX. Proin defatigatis jam & contusis omnibus, procedente secus obsidione, ac plus jacturæ quàm lucri Romano faciente, decrevit exercitum Severus, priusquam universus periret, deportare ex eis locis, tristem videlicet, infecto negotio. Quippe assuetus vincere præliis omnibus, victum se tunc putabat, quia non vicerat. Sed eum prospera fors, & fautrix statim consolatur. neque enim planè rebus infectis rediit, sed majore quàm speraverat successu. Nam impositus navibus permultis exercitus universus, nequaquam scilicet quò intenderat, Romanæ appulsus ripæ: sed undarum impetu, Parthorum ad agrum provectus, haud procul Ctesiphonte, qua in urbe sedes regis est. Is tunc pacem agitans, ac nihil ad se pertinere Severi pugnas autumans, quas gereret cum Atrenis, ociosus videlicet nihil expectabat mali.

λʹ. Ὁ δὲ τοῦ Σεβήρου στρατὸς, ἄκων προσαχθεὶς ὑπὸ τοῦ ῥεύματος ταῖς ἐπέκεινα ὄχθαις, ἀπόβασίν τε ποιησάμενος, τὴν γῆν ἐλεηλάτει, θρέμματά τε τὰ ἐμπίπτοντα ἐπελαύνων, ἵν' ἔχῃ τροφάς. καὶ κώμας ἐμπιπρὰς τὰς ἐμπιπτούσας, κατ' ὀλίγον τε προϊὼν, ἐπέστη Κτησι-

XXX. Cæterum Severi exercitus cum ad eas ripas vi fluminis invectus, moxque in terram esset expositus, omnem illico depopulari agrum cœpit; abactisque, ut in quæque inciderant, pecoribus ad vescendum, vicisque aliquot incensis, paulatim usque ad Cte-

1: De obsidione hac consule Dionem lib. 75. ad quam impulerunt Severum, reposita inibi τὰ τοῦ ἡλίου ἀναθήματα.

2. *A nullo congressu nisi victor.* Spart.

siphon-

siphontem perrexerunt: in qua civitate magnus rex Artabanus commorabatur. Igitur imparatos nacti Barbaros, cæsis primò quicunque restitissent, direptaque mox urbe, pueris fœminisque in captivitatem abductis, tantum ipso rege cum paucis equitibus elapso, thesauris illius, ornatuque omni & suppellectile potiti, victores regrediuntur. Ita Severus fortuna magis quàm consilio Parthicam victoriam adeptus est.

φῶντι, ἔνθ' ἦν ὁ μέγας βασιλεὺς 1 Ἀρτάβανος. προσπεσόντες δὲ οἱ Ῥωμαῖοι ἀπαρασκευάστοις τοῖς Βαρβάροις, πάντα τε τὸν ἐμπίπτοντα ἐφόνευον, καὶ διήρπαζον τὰ ἐν τῇ πόλει, πάντας τε παῖδας καὶ γυναῖκας αἰχμαλώτους ἔλαβον. φυγόντος δὲ τοῦ βασιλέως σὺν ὀλίγοις ἱππεῦσι, τούς τε θησαυροὺς τῶν χρημάτων αὐτοῦ αἱροῦσι, καὶ πάντα τὸν κόσμον καὶ κειμήλια ἁρπάσαντες ἐπανίασιν. οὕτω μὲν δὴ ὁ Σεβῆρος τύχῃ μᾶλλον ἢ γνώμῃ τῇ κατὰ Παρθυαίων νίκῃ κεκόσμητο.

XXXI. Igitur prosperè succedentibus rebus, literas ad Senatum populumque Romanum de se magnificas dedit: ac depictas in tabulis pugnas, victoriasque suas exposuit: nihil non honorum decernente Senatu, & super his cognomina imponente devictarum gentium. Ipse interea rebus ad Orientem sic gestis Romam revertebatur, filios jam puberes secum adducens.

λα'. Τούτων δὲ αὐτῷ δεξιῶς καὶ ὑπὲρ πᾶσαν εὐχὴν προχωρησάντων, ἐπέστελλε τῇ τε συγκλήτῳ καὶ τῷ δήμῳ, τάς τε πράξεις μεγαληγορῶν, τάς μάχας τε καὶ τὰς νίκας δημοσίαις ἀνέθηκε γραφαῖς. ἡ δὲ σύγκλητος, πάσας τε τιμὰς ἐψηφίσατο αὐτῷ, 2 καὶ προσηγορίας, ἀπὸ τῶν ἐθνῶν τῶν κεχειρωμένων. καταρθώσας δὲ τὰ κατὰ τὴν ἀνατολὴν ὁ Σεβῆρος, εἰς τὴν Ῥώμην ἠπείγετο, ἄγων καὶ τοὺς παῖδας, εἰς ἡλικίαν ἐφήβων ἤδη τελοῦντας.

XXXII. Confectoque itinere, ac provinciis, ut cuique visus foret, ordinatis, Mysorumque & Pannoniorum recognitis exercitibus, urbem dein triumphans invectus est, multis acclamationibus omni-

λβ'. Ανύσας δὲ τὴν ὁδοιπορείαν, τά τε ἐν τοῖς ἔθνεσι διοικήσας, ὡς ἑκάστῳ ἀπῄτει τὸ χρειῶδες, τά τε ἐν Μυσοῖς καὶ Παίοσι στρατόπεδα ἐπελθὼν, νικηφόρος ὑπὸ τοῦ Ῥωμαίων δήμου, μετὰ μεγάλης εὐφημίας τε καὶ

1. Ηρχε δὲ Οὐολογαισος αὐτῶν, inquit Dion, de hac ipsâ victoriâ verba faciens. καὶ μετὰ τοῦτο, pergit, καὶ τὴν Κτησιφῶντα ἑλὼν ἐκείνην τε πᾶσαν διαρπάσαι τοῖς στρατιώταις ἐφῆκε, φόνον τε ἀνθρώπων πλεῖστον εἰργάσατο.

2. Reversus, triumpho delato, appellatus est *Arabicus*, *Adiabenicus*, *Parthicus*.. *Spart.*

θρησκείας

θρησκείας ὑπεδέχθη. θυσίας τε καὶ ἑορτὰς, θέας τε καὶ πανηγύρεις τῷ δήμῳ παρέχε, νομάς τε μεγαλοφρόνως ἐπιδοὺς, θέας καὶ τελέσας ἐπινικίους, ἐτῶν οὐκ ὀλίγων ἐν τῇ Ῥώμῃ διέτριψε, 1 δικάζων τε συνεχῶς, καὶ τὰ πολιτικὰ διοικῶν, τούς τε υἱεῖς παιδεύων καὶ σωφρονίζων.

λγ'. Οἱ δὲ ἤδη μειράκια ἦσαν, 2 ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, τῆς τε περὶ τὰ θεάματα ὑπερβαλλούσης σπουδῆς, ἡνιοχείας τε καὶ ὀρχήσεως τὰ ἤθη διεφθείροντο. πρός τε ἀλλήλους ἐστασίαζον οἱ ἀδελφοὶ, τὰ πρῶτα μὲν ἀπὸ παιδαριώδους φιλονεικίας, διὰ ὀρτύγων μάχας καὶ ἀλεκτρυόνων συμβολὰς, πάλας τε παίδων, ἀλλήλοις ἐρίζοντες· ἤτε περὶ τὰ θεάματα αὐτῶν, ἢ τὰ ἀκροάματα σπουδὴ, φιλονείκως ἑκάστοτε ἐμερίζετο· καὶ οὐδενὶ ἀμφότεροι ὁμοίως ἠρέσκοντο, ἀλλὰ πᾶν τὸ τῷ ἑτέρῳ φίλον, τῷ ἄλλῳ ἐχθρὸν ἦν. συνέκρουον δὲ αὐτοὺς ἑκατέρωθεν οἵ τε κόλακες, καὶ οἱ θεράποντες, πρὸς τὸ ἡδὺ τῆς ἡλικίας κολακεύοντες, καὶ ἀνθέλκοντες. ὁ δὲ Σεβῆρος ταῦτα πυνθανόμενος, συνάγειν τε καὶ σωφρονίζειν τὰ πρῶτα ἐπειρᾶτο.

λδ'. Τὸν δὲ πρεσβύτερον (ᾧ γνήσιον μὲν ἦν ὄνομα Βασσιανὸς, πρὶν εἰς τὸν βασίλειον οἶκον παρελθεῖν) ὅτε δὴ τὴν τῆς ἀρχῆς τιμὴν εὐ-

que ceremonia populo excipiente. Cui quidem ipse festos dies sacrificiaque & spectacula, ac celebritates indulsit: magnoque dato congiario, & ludos pro victoria celebravit. Romæ dein haud paucos moratus annos, jus dicebat, frequenter civilibus negotiis, & liberis erudiendis intentus.

XXXIII. At illi jam tum adolescentes, deliciis, victuque urbano, nimioque spectaculorum aurigationisque, & saltationis studio bonam indolem corruperant. Interque se fratres dissidebant, puerili primum certamine, edendis coturnicum pugnis, gallinaceorumque conflictibus, ac puerorum colluctationibus exorta discordia. Nam seu quid in scena audirent, sive item spectarent, semper utique diversis accedebant, nusquam eisdem studente utroque: sed quod alteri charum foret, id alteri statim odiosum: committentibus etiam utrinque ipsos adulatoribus atque ministris, nihilque non ad gratiam suggerentibus, ut ad se quisque pro virili diversos retraherent. His cognitis, Severus reducere in gratiam, atque emendare conabatur.

XXXIV. Tum Bassiano, qui tunc honores imperatorios

1. V. Καζάβωνι vitæ Severi, ita enim Dion vocat, lib. 76. Inter cætera verò hoc præcipuum ducit, quod τοῖς δικαζομένοις ὕδωρ ἱκανὸν ἐνέχει i. e. abunde temporis dedit, quod olim aquâ metiebantur, καὶ ἔχειν μέχρι μεσημβρίας

2. Sylburgius insertam vellet partic. [π] post [ὑπὸ.]

adeptus, Severus Antoninus accepto Marci cognomine vocabatur, ac major natu erat, uxorem dedit filiam Plautiani, præfecti cohortibus urbanis. Hic (ut perhibent) Plautianus ab initio ætatis tenui fortuna fuit, seditionisque, & aliorum criminum reus, ac mulctatus exilio: sed erat Severi municeps, Afer natione, atque (ut quidam putant) etiam consanguinitate propinquus: ut verò alii affirmant, flore magis ætatis per stuprum conciliatus. Hunc autem Severus ex parva, humilique fortuna, ad opes maximas provexerat ac damnatorum bonis adjudicatis, longè supra cæteros collocupletaverat, tantum non imperio quoque participato. Quis ille opibus licentiaque abutens, nihil crudelitatis aut violentiæ, ut quidque ageret, omittebat, cunctis etiam atrocior omnium ætatum principibus. Ergo hujus filiam Severus uxorem filio suo tradidit.

τύχησε [1] Σεβῆρος, Ἀντωνῖνον ὠνόμασε, Μάρκου θελήσας αὐτὸν προσηγορίαν φέρειν. ἠγάγετό τε αὐτῷ γυναῖκα, γάμῳ σωφρονίσαι θέλων. ἦν δὲ ἐκείνη θυγάτηρ τοῦ ἐπάρχοντος τῶν στρατοπέδων, Πλαυτιανὸς δὲ ἦν ὄνομα αὐτῷ. τοῦτον τὰ μὲν πρῶτα τῆς ἡλικίας εὐτελῆ τινες [2] αὐτὸν καὶ πεφυγαδευμένον ἔλεγον, ἁλόντα ἐπὶ στάσει, καὶ πολλοῖς ἁμαρτήμασιν, ὄντα δὲ πολίτην ἑαυτοῦ (Λίβυς γὰρ κἀκεῖνος ἦν, ὡς μέν τινες ἔλεγον) πρὸς γένος αὐτῷ ὑπάρχοντα. ὡς δὲ ἕτεροι διέβαλλον, ἀκμαζούσῃ ἡλικίᾳ γενόμενον παιδικά. πλὴν ἀλλ' ὁ Σεβῆρος ἐκ μικρᾶς καὶ εὐτελοῦς τύχης εἰς μεγάλην προήγαγεν ἐξουσίαν, πλούτῳ τε ὑπερβάλλοντι ἐκόσμησε, τῶν ἀναιρουμένων χαριζόμενος τὰς οὐσίας, οὐδὲν ἕτερον ἀλλ' [3] ἢ μερισάμενος πρὸς αὐτὸν τὴν ἀρχήν· ᾗ περ ἐκεῖνος ἀποχρώμενος, οὔτε ὠμότητος, οὔτε βίας ἐν πᾶσιν οἷς ἔπραττεν, ἀπείχετο, φοβερώτερος τῶν πώποτε ἀρχόντων γενόμενος. τούτου τὴν θυγατέρα ὁ Σεβῆρος ζεύξας τῷ υἱῷ, τὸν οἶκον ἥνωσεν.

XXXV. Enimvero Antoninus ipse parum lætus eo matrimonio, ac necessitate magis quàm voluntate impulsus, puellam ipsam pariter & puellæ parentem pessimè oderat, sic ut

λε'. Ὁ δὲ Ἀντωνῖνος, οὐ πάνυ τι ἡδόμενος τῷ γάμῳ, ἀνάγκῃ δὲ μᾶλλον ἢ προαιρέσει συνεζευγμένος, ἀπεχθῶς πάνυ πρὸς τὴν κόρην διέκειτο, καὶ πρὸς τὸν πατέρα

1. Vertit Politianus quasi legeret Σε[illegible]ῆρον

2. Sylburg. [ὄντα.]

3. Οὕτως αὐτοῦ ὑπεῖκεν εἰς πάντα, ὥστε ἐκεῖνον μὲν, Plautianum sc. ἐν αὐτοκράτορος, αὐτὸν δὲ ἐν ἐπάρχου μοίρᾳ εἶναι. Erat enim uti, Dion refert, πλεῖστα τε ἀνθρώπων καὶ μέγιστα δυνηθεὶς, πολλούς τε τῶν ἐλλογίμων ἀνδρῶν καὶ ὁμοτίμων αὐτῷ ἐθανάτωσε. πάντων δὲ ἐπεθύμει, καὶ πάντα παρὰ πάντων ᾔτει, καὶ πάντα ἐλάμβανε, &c.

αὐτῆς, ὡς μήτε εὐνῆς, μήτε ἑστίας κοινωνεῖν, μυσάττεσθαί τε τὴν κόρην. [1] ἀλλ' ἦν τε ἑκάστοτε ἀποκτενεῖν καὶ αὐτὴν καὶ τὸν πατέρα, ἐπὰν τῆς ἀρχῆς ἐγκρατὴς γένηται μόνος. ταῦτα δὴ ἡ κόρη ἑκάστοτε ἀπήγγελλε τῷ πατρὶ, καὶ τοῦ γάμου τὸ μῖσος διηγουμένη, παρώξυνεν αὐτόν. ὁ δὲ Πλαυτιανὸς ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην τε ἤδη, καὶ συνεχῶς ὑπὸ νόσου ἐνοχλούμενον, τὸν δὲ Ἀντωνῖνον ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλὰς, δρᾶσαί τι μᾶλλον φθάσας ἢ παθεῖν ἀναμείνας, ἠθέλησεν. ἔπι τε αὐτὸν καὶ πολλὰ ἦν τὰ πρὸς βασιλείας ἐπιθυμίαν ἀναπείθοντα, πλούτου τε περιβολὴ, ἣ μὴ πρότερόν τινι ἰδιωτεύοντι ἐγένετο, στρατιωτῶν τε θεραπεῖαι, τιμαί τε αἱ παρὰ τῶν ἀρχομένων, σχῆμά τε ᾧ προῄει. ἠμφίεστο γὰρ τήν τε πλατύσημον ἐσθῆτα, ἔν τε τοῖς [2] δευτέροις ὑπατεύσασιν ἐτέτακτο. παρῃώρητό τε αὐτῷ ξίφος, καὶ παντὸς ἀξιώματος σχῆμα ἔφερε μόνος. προϊὼν δὲ φοβερὸς ἦν, ὡς μήτε τινὰ προσιέναι, ἀλλὰ καὶ τοὺς ὑπαντωμένους ἀναστρέφειν· οἵ τε προϊόντες αὐτοῦ ἐκήρυττον μηδένα παρ-

ne thorum quidem, laremque, cum ea communem pateretur: adeoque adversabatur, ut minaretur quotidie occisurum ipsam, patremque, simul atq; imperium solus obtinuisset. Quod cum illa identidem ad patrem referret, simulque quantopere foret invisa patefecisset, magnopere hominem irritavit. Igitur Plautianus senem jam Severum ipsum cernens, ac morbo sæpè laborantem: contra verò Antoninum ferocem inprimis, audacemque juvenem: pavidus ob illius minas, decrevit facinus invadere aliquod, priusquam ipse opprimeretur. Suberant præterea multa, quæ hominem ad imperii cupiditatem inflammarent: opes, quantas nemo privatus antea possederat. Militum præterea obedientia, & apud omnes Romanæ ditionis homines maximi honores. Ad hæc habitus, quo in publicum prodibat: siquidem latum clavum perpetuò habebat, atque in secundis consularibus numerabatur. Ensem præterea gestabat, cæteraque omnia supremæ dignitatis insignia; adeò quacunq; incederet, trux atque horribilis, ut non modò non adiretur à quoquam, sed etiam qui fortuitò occurrebant, ab eo verterent oculos. Quin anteambulones ali-

1. Stephanus leg. ἀπειλεῖν τε.

2. De honorario consulatu hoc intelligi nonvult Boeclerus, Gutheri alicujus vel autoritate vel conjecturâ fretus, qui ita hunc locum interpretatur, quasi Plautianus eum tenuerit locum, qui daretur iis, qui secundum (*rectius forsan dixerit secundò*) consules fuissent. Nam quid sit aliud esse secundum consules, quàm post illos proximè collocari non assequor; quod iis fortasse indultum est, qui secundâ vice consulatum obierint.

quot, quacunq; iter faceret, denunciabant, ne quis in proximo consistere, néve illum contueri auderet: sed averterent universi oculos, terramque despectarent.

XXXVI. Quæ cùm cognovisset Severus, ne ipse quidem prorsus æqui boni facere, sed molestius jam graviusque ferre, sic ut nonnihil etiam de illius autoritate detraheret, ac persuadere homini conaretur, aliquid jam è tanta illa insolentia imminueret. Quorum impatiens Plautianus non dubitavit imperium ipsum appetere insidiis: quocirca talia quædam machinatur.

XXXVII. Saturninus erat quidam tribunus, qui Plautianum in primis observabat. Et cum facerent idem omnes, unus tamen ille majore quadam venerationis specie, magisque homini obrepserat. Hunc sibi igitur fidissimum fore putans, ac solum denique commissa tacitè habiturum, & imperata facturum, vocari ad se sub vesperam jubet, remotisque arbitris. Nunc illud, inquit, est, cum summam imponere manum debeas amori, observantiæque tuæ, cujus mihi hactenus dedisti specimen; cumque remunerare te pro meritis, ac debitam referre gratiam possim. Datur optio tibi, velisve

ἱστάναι, μηδ' εἰς αὐτὸν βλέπειν, ἀλλ' ἀποστρέφεσθαι, καὶ κάτω βλέπειν.

λϛ'. Οἷς δὴ καὶ ὁ Σεβῆρος ἀγγελλομένοις, οὐ πάνυ τι ἠρέσκετο, ἀλλ' ἀπεχθὴς ἤδη, καὶ βαρὺς κἀκείνῳ ἐγίνετο, ὡς καὶ περιελεῖν τινα αὐτοῦ τῆς ἐξουσίας τὸν Σεβῆρον, καὶ πεῖσαι κωλύειν τὸ ὑπερβάλλον τῆς ἀλαζονείας. ἃ δὴ μὴ φέρων ὁ Πλαυτιανὸς, ἐτόλμησεν ἐπιβουλεῦσαι τῇ ἀρχῇ, καὶ μηχανᾶται τοιάδε.

λζ'. [1] Σατουρνῖνος ἦν εἷς τῶν ὑπ' αὐτῷ χιλιαρχούντων, ὅστις ὑπερβαλλόντως τὸν Πλαυτιανὸν ἐθεράπευσε, καὶ πάντων μὲν τοῦτο ποιούντων, ἐκεῖνος δὲ πλείονι θρησκείᾳ ᾠκείωτο αὐτόν. τοῦτον πιστότατον ἡγούμενος, καὶ μόνον οἷόν τε φυλάξαι καὶ πληρῶσαι ἀπορρήτους ἐντολὰς, περὶ δείλην μεταπεμψάμενος πάντων ἀνακεχωρηκότων· νῦν σοι καιρὸς, ἔφη, τέλος γενναῖον ἐπιθεῖναι εὐνοίᾳ τε καὶ ὑπηρεσίᾳ, ἣν πρός με ἐπιδείξω, ἐμοί τε ἀμείψασθαί σε κατ' ἀξίαν, καὶ τὴν προσήκουσαν χάριν ἀποδοῦναι. πρόκειται δὲ σοι αἵρεσις ἢ τὸ εἶναι ὅπερ ἐμὲ νῦν ὁρᾷς ὄντα, καὶ τὴν-

1. Dion aliter rem narrat, subornatumque ab Antonino Saturninum ut invidiam destinatæ hujus cædis in Plautianum rejiceret. Δι' Εὐόδου, *inquit*, τοῦ τροφέως αὐτοῦ Σατορνῖνόν τινα Ἑκατόνταρχον, καὶ ἄλλους δύο ὁμοίους αὐτῷ ἐπέσειεν ἐπαγγεῖλαι οἱ, ὅτι δέκα τισὶν ἑκατοντάρχοις, ἐξ ὧν καὶ αὐτοὶ ἦσαν, ὁ Πλαυτιανὸς κεκελευκὼς εἴη καὶ τὸν Σεβῆρον καὶ τὸν Ἀντωνῖνον κτεῖναι, (*de personis utrinque constat, nisi quod ipsum σκευώρημα sit incerti authoris*) καί τινα γραφὴν, ὡς καὶ ἐπ' αὐτῷ τούτῳ εἰληφότες, ἀνεγίγνωσκον.

δὲ

δὲ τὴν ἐξουσίαν παραλαβεῖν διαδεξάμενόν με, ἢ τεθνάναι αὐτίκα, ἀπειθείας ὑποσχόντα τιμωρίαν. μὴ δέ σε τοῦ ἔργου τὸ μέγεθος ἐκπληττέτω, μηδὲ τὸ τῶν βασιλέων ὄνομα ταραττέτω. εἰσιέναι τε γὰρ μέχρι τοῦ δωματίου, ἔνθα ἀναπαύονται, δύνασαι μόνος, ἅτε τὴν νυκτερινὴν φρουρὰν ἐκ περιόδου ἐγκεχειρισμένος. ὅτι δ' ἂν μέλλοις πράττειν, λανθάνων ἀκωλύτως τέλος ἕξεις, ἐπεὶ μήτ' ἐμὲ ἔτι τοιαῦτα κηδεῦσαι προσδόκα, μήτε σε ὑπακοῦσαι. ἄνιθι δὴ εἰς τὴν βασίλειον αὐλήν, καὶ ὡς μηνύσας ἀγγελίας ἐπειγούσας καὶ ἀπορρήτους παρ' ἐμοῦ φέρων, ἐπιστὰς αὐτοῖς, ἀπόκτεινον. ἀνὴρ δὲ γενναῖος γενοῦ, ῥᾳδίως κατεργασάμενος πρεσβύτην τε καὶ παιδάριον. μεταλαβὼν γὰρ τὸ μέρος τῶν κινδύνων, μεθέξεις καὶ τῶν μεγίστων τῆς κατορθώσεως τιμῶν.

λη'. Ταῦτα ἀκούσας ὁ χιλίαρχος, ἐξεπλάγη μὲν τὴν ψυχήν, οὐκ ἐταράχθη δὲ τὴν γνώμην. ἀλλ' ἅτε ἀνὴρ οὐκ ἔξω φρενῶν καθεστὼς (καὶ γὰρ ἦν τὸ γένει Σύρος, δεινότεροι δ' ὡς πρὸς τὰς ἐννοίας οἱ ὑπὸ τὴν ἀνατολὴν ἄνθρωποι) τόν τε θυμὸν ὁρῶν ἐνθουσιῶντα τοῦ κελεύοντος, καὶ τὴν ἐξουσίαν εἰδώς, οὐκ ἀντειπεῖν ὡς μὴ παρ' αὐτὰ κολασθείη. προσποιησάμενος δὲ εὐκταῖα καὶ ἀσπαστὰ ἀκούειν, προσκυνήσας τε ἤδη βασιλέα, γραμματεῖόν τε ᾔτησε τοῦ φόνου φέρον τὰς ἐντολάς. ἔθος γὰρ τοῦτο τυραννικόν, εἴ τινα ἐκπέμποιεν ἐπὶ φόνον ἄκριτον, ἐντέλλεσθαι τοῦτο διὰ γραμμάτων, ἵνα μή,

ne ille ipse evadere, quem me nunc esse cernis, atque huic tantæ potentiæ succedere: an perire statim, dato contumacis animi supplicio. Neque tu vel magnitudinem rei pertimueris, vel nomina imperatorum expaveris: intrare tibi in cubiculum ubi somnum capiunt, soli nempe licet, redeunte vice nocturnæ custodiæ clam, nullo prohibente, facilè quod volueris transiges. Nihil est autem quod hic meum jam expectes Imperium. Abi modò in aulam Principum, quasi aliqua à me mandata habeas arcana, & gravia: atque ut virum fortem decet, senem unum, ac puerum, intra suum utrumque cubiculum obtrunca. Nam cum in partem veneris periculi, etiam re confecta, in partem maximi honoris succedes.

XXXVIII. Hæc dicta ut animum tribuni perterruerunt, ita minimè consilium excusserunt, sed ut homo neutiquam mente captus (erat enim genere Syrus, ac sunt fermè ad Orientem mortales acerrimis ingeniis) cognito furore ac vecordia, quantumque ei liceret minimè ignarus, haudquaquam ausus detrectare, ne scilicet daret continuò pœnas, cum se optata ac lubentia simularet audire, prius adorato illo tanquam Imperatore, jam libellum petebat demandatæ sibi cædis. Quippe mos tyrannis, cum aliquem indemnatum occidi jubent, per literas potissimum injungere, ne dein cædis imperatæ nullum relinqua-

linquatur argumentum. Hic Plautianus cæcutiens nimia cupiditate, dat libellum tribuno: atque ad cædem mittens admonet diligenter, ut interfecto utroque principe, priusquam divulgetur facinus, se jubeat acciri, quo antè in palatio conspiciatur, quàm occupatum Imperium quisquam audiat. Sub hac pactione tribunus digreditur, ac de more totam liberè domum principis pervadit: cognitoque quàm difficile factu foret, duos ab uno homine principes, & quidem diversis habitantes cubiculis, obtruncari, adit ad Severum & cum janitoribus agit, ut se ad Principem intromittant, afferre se quæ ad illius salutem pertineant. Illi hæc Severo renunciant, qui tribunum continuò jubet acciri. Ingressus: Venio, inquit, tibi ô domine, ut sanè putat is à quo sum missus, ad cædem tui, carnificinamque: ut egomet opto ac volo, beneficii author tibi & salutis Plautianus Imperium captans insidiis, cædem mihi tuam, filiique tui mandavit: neque verbis modò, sed & literis. Testimonio est hic libellus. Equidem ego recepi facturum quæ imperaret, ne alter scilicet, me detrectante, negotium susciperet. Verum ad indicandam rem tibi sum præsto, ne ignarum illius opprimat audacia.

XXXIX. Dicenti hæc tribuno, atque ubertim lacrymanti, non continuò tamen fidem Severus habebat. Quippe

γιγνόμενον, ἢ ἀκατασήμαντον. ὁ δὲ Πλαυτιανὸς τυφλώττων τῇ ἐπιθυμίᾳ, δίδωσιν αὐτῷ τὸ γραμματεῖον, καὶ ἐκπέμπει ἐπὶ τὸν φόνον, ἐντειλάμενος, ἐπειδὰν ἀμφοτέρους διαχρήσηται, πρὶν διαβόητον γενέσθαι τὸ πραχθέν, πέμψαι τοὺς καλέσοντας αὐτόν, ἵνα ὀφθῇ πρότερον ἐν τοῖς βασιλείοις, ἢ ἀκουσθῇ τὴν βασιλείαν παραλαβών. ἐπὶ ταύταις δὴ ταῖς συνθήκαις ἀναχθεὶς ὁ χιλίαρχος, εἰσῆλθε μὲν διὰ πάσης τῆς βασιλικῆς οἰκίας κατὰ τὸ ἔθος ἀκωλύτως. εἰδὼς δὲ ἀδύνατον ὂν δύο διαχρήσασθαι βασιλέας, καὶ ταῦτα ἐν διαφόροις οἴκοις διατρίβοντας, ἐπιστὰς τῷ δωματίῳ τοῦ Σεβήρου, καλέσας τοὺς τοῦ βασιλικοῦ θαλάμου φύλακας, ἠξίωσεν εἰσαχθῆναι εἰς αὐτόν, ὡς δὴ ὑπὲρ σωτηρίας αὐτῷ τινα ἀγγέλλων. οἱ δὲ δηλώσαντες τῷ Σεβήρῳ, καὶ κελεύσαντος αὐτοῦ, τὸν χιλίαρχον εἰσήγαγον. ὁ δὲ εἰσελθών, ἥκω σοι ἔφη, ὦ δέσποτα, ὡς μὲν ὁ πέμψας οἴεται, φονεὺς καὶ δήμιος, ὡς δὲ αὐτὸς εὔχομαί τε καὶ βούλομαι, σωτήρ τε καὶ εὐεργέτης. Πλαυτιανὸς γὰρ ἐπιβουλεύων τῇ ἀρχῇ, ἐνετείλατό μοι φόνον σοῦ τε καὶ τοῦ παιδός, καὶ τοῦτο οὐ λόγοις μόνον, ἀλλὰ καὶ γράμμασι. καὶ μαρτυρεῖ τὸ γραμματεῖον. ἐγὼ δὲ ὑπεσχόμην μὲν ὅπως μή, ἐμοῦ τὸ ἔργον παραιτησαμένου, ἄλλῳ ἐγχειρισθῇ. σοὶ δὲ ταῦτα δηλώσων ἥκω, ὡς ἂν μὴ λάθοι τὰ τολμώμενα.

λθʹ. Τοιαῦτά τινα λέγοντος αὐτοῦ, καὶ δακρύοντος, οὐκ εὐθέως ὁ Σεβῆρος ἐπίστευσεν, ἀλλ'

ἅ τε

ἅτε 1 πολὺ ἔχων ἐν τοῖς στέρνοις τὸ Πλαυτιανοῦ φίλτρον, συσκευήν τινα καὶ σκηνὴν τὸ πρᾶγμα ὑπώπτευεν. ἡγεῖτό τε τὸν υἱὸν αὐτοῦ ἔχθει τοῦ Πλαυτιανοῦ, καὶ μίσει τῆς ἐκείνου θυγατρὸς ἐσκευωρηκέναι τινὰ τέχνην κατ' αὐτοῦ, καὶ διαβολὴν θανατηφόρον. μεταπεμψάμενος δὲ τὸν υἱὸν ᾐτιᾶτο, ὡς τοιαῦτα κατασκευάζοντα κατ' ἀνδρὸς φίλου καὶ οἰκείου. ὁ δὲ Ἀντωνῖνος, τὰ μὲν πρῶτα ἀπώμνυτο, μηδ' εἰδέναι φάσκων τὰ λεγόμενα. ἐγκειμένου δὲ τοῦ χιλιάρχου, καὶ τὸ γραμματεῖον δεικνύντος, παρεθάρσυνέ τε αὐτὸν, καὶ προὔτρεπεν εἰς τοὺς ἐλέγχους ὁ Ἀντωνῖνος. ὁ δὲ χιλίαρχος ὁρῶν ἐς ὅσον ἥκει κινδύνου, δεδιώς τε τὴν πρὸς τὸν Πλαυτιανὸν τοῦ Σεβήρου εὔνοιαν, ἐπιστάμενος ὡς εἰ λάθοι ἡ ἐπιβουλὴ, καὶ μὴ ἐλεγχθείη, ὄλεθρος αὐτῷ οὐχ ὁ τυχὼν ἐπήρτηται· καὶ τίνα, ἔφη, ὦ δέσποται, ἔλεγχον μείζονα βούλεσθε, ἢ ποίαν ἀπόδειξιν φανερωτέραν; ἐπιτρέψατε γὰρ δή μοι, ἔφη, προελθόντι τῶν βασιλείων, διά τινος τῶν ἐμοὶ πιστῶν δηλῶσαι, ὅτι δὴ τὸ ἔργον κατείργασται. ὁ δὲ ἀφίξεται πιστεύσας καὶ οἰόμενος ἔρημα τὰ βασίλεια καταλήψεσθαι. ὅταν δὲ ἀφίκηται, ὑμέτερον ἤδη ἔργον εὑρεῖν τὴν ἀλήθειαν. ἡσυχίαν δὲ εἶναι πολλὴν

adhuc in pectore multum ex Plautiani amatorio insederat, quin esse id totum negotium compositum, ac fabulosum suspectabat; ratus filium suum Plautiano infestum, natamque ejus perosum, commentum esse technam hujuscemodi ac mortiferam calumniam. Quare accitum ad se graviter increpare institit, quòd in hominem amicum atque domesticum talia machinaretur. Antoninus autem primo quidem dejerabat ignarum se totius negotii: dein instanti tribuno, & libellum ostendenti, animum audaciamque addebat ad crimen coarguendum. Sed ille cognito, quàm magnum in discrimen venerat: tum præterea haud ignarus, quàm acceptus Severo Plautianus foret: neque non etiam intelligens, si latuissent insidiæ, parumque indicium probaretur, exquisitissimum sibi impendere supplicium: & Quodnam, inquit, ô domini, argumentum amplius, quódve apertius quæritis indicium? Sinite egrediar regia, perque aliquem fidum mihi hominem significem Plautiano, facta esse jam quæ imperaverat. Aderit ille statim re credita, vacuam scilicet regiam occupaturus. Ibi vestri muneris fuerit, rem totam deprehendere.

1. Adeò amoris in Plautianum tenax Severus, ut affectus suos nemo vehementius expresserit, φιλῶ τὸν ἄνδρα, *inquit Dion de Severo*, ὥστε καὶ εὔχομαι προαποθανεῖν αὐτοῦ. quin & iis indiciis amorem suum publicè testatus est Severus, ut Orator, qui Constantem accusaverat propter eversas Plautiani statuas, multa diceret, atque illud inprimis. Θᾶσσον ἂν τὸν οὐρανὸν συμπεσεῖν, ἢ Πλαυτιανόν τι ὑπὸ Σεβήρου παθεῖν.

Jubete

Jubete modo in ædibus quietem agitari, ne præcognita res omne consilium subvertat.

XL. Hæc locutus, fidissimum sibi hominem deligit, qui Plautianum suis hortetur verbis, acceleret, atque, adsit quàm primùm, dum uterque princeps jacet: oportere antequàm res populo innotescat, intus esse eum, ut sc. occupata arce, constabilitoque imperio, velint nolint universi, non scilicet principatum adeunti, sed jam plane principi obediant. His creditis Plautianus (erat autem jam diei vesper) magnam in spem sublatus, loricam induitur sub vestem, tuendi corporis gratia: simul conscenso vehiculo properat in regiam, paucis modò qui aderant deducentibus, ratisque eum magnis de rebus ab imperatoribus acciri.

XLI. Ut autem, in aulam nullo prohibente ingressus est, ignaris quæ agitarentur custodibus, occurrens tribunus, composito dolo salutat Imperatorem: dein manu prehensum, deducit intra cubiculum, ubi projecta esse Imperatorum cadavera mentiebatur. Jamque aliquot è corporis sui custodibus Severus comparaverat, qui statim ingresso manus injicerent. At Plautianus quum longè alias animo spes agitaret, ut ingressus cubiculum est, cernens utrumque illic stantem principem, comprehensumque se teneri sentiens: re tanta per-

ἀνὰ τὰ βασίλεια κελεύσατε, ὅπως τὸ πραττόμενον μὴ προγνωσθὲν, ἀνακοπῇ.

μ'. Ταῦτα εἰπὼν, ἐντέλλεταί τινι τῶν πιστοτάτων ἑαυτῷ, ἀγγεῖλαι Πλαυτιανῷ, ἥκειν τὴν ταχίστην, κεῖσθαι γὰρ ἀμφοτέρους τοὺς βασιλέας, καὶ δεῖν αὐτὸν ἔνδον εἶναι, πρὶν ἔκπυστα τῷ δήμῳ γενέσθαι. ὡς ἂν τῆς ἀκροπόλεως κατειλημμένης, καὶ τῆς βασιλείας ἱδρυμένης, ἑκόντες τε καὶ ἄκοντες ὑπακούοιεν οὐκ ἐσομένῳ βασιλεῖ, ἀλλ' ἤδη ὄντι. τούτοις πιστεύσας ὁ Πλαυτιανὸς, ἤδη περὶ δείλην ἑσπέραν, ἀρθεὶς τῇ ἐλπίδι θώρακα μὲν ἀμφιέννυται, τῆς τοῦ σώματος ἀσφαλείας χάριν. κρύψας δὲ αὐτὸν τῇ λοιπῇ ἐσθῆτι, ἐπιβὰς ὀχήματος αἰφνιδίως εἰς τὰ βασίλεια ἠπείγετο, ὀλίγων αὐτὸν παραπεμπόντων, οἳ παρῆσαν οἰόμενοι κεκλῆσθαι ὑπὸ τῶν βασιλέων διά τινα ἐπείξαντα.

μα'. Ὡς δὲ ἐπέστη τῇ βασιλείῳ αὐλῇ, ἀκωλύτως τε εἰσῆλθεν, ἀγνοούντων τὸ πραττόμενον τῶν φυλάκων, ὑπαντώμενος δ' ὁ χιλίαρχος, ἐνεδρεύων τε προσεῖπεν αὐτοκράτορα, καὶ δῆθεν συνήθως λαβόμενος τῆς χειρὸς, εἰς τὸ δωμάτιον εἰσήγαγεν, ἔνθα ἔφασκεν ἐρρίφθαι τὰ τῶν βασιλέων σώματα. ἤδη δὲ παρεσκευάκει ὁ Σεβῆρος νεανίας τῶν περὶ αὐτὸν σωματοφυλάκων, οἳ συλλήψονται αὐτὸν εἰσελθόντα. ὁ δὲ Πλαυτιανὸς ἐφ' ἑτέραις εἰσεληλυθὼν ἐλπίσιν, ὁρᾷ τοὺς βασιλέας ἀμφοτέρους ἑστῶτας. συλληφθείς τε κατείχετο, ἐκπλαγείς τε τῷ πράγματι ἐδεῖ-

το,

τὸ, καὶ ἐλιπάρει. ἀπελογεῖτό τε, πάντα φάσκων ψευδῆ εἶναι, καὶ συσκευὴν κατ' αὐτοῦ, καὶ δρᾶμα ἐσκευάσθαι. πολλὰς δὲ τοῦ μὲν Σεβήρου ὀνειδίζοντος εὐεργεσίας τε καὶ τιμάς· τοῦ δὲ πίστεώς τε καὶ εὐνοίας τῆς ἄνωθεν ὑπομιμνήσκοντος, ἠρέμα πως ὁ Σεβῆρος ἠπείγετο πείθεσθαι τῶν ὑπὸ τοῦ Πλαυτιανοῦ λεγομένων, ἕως τε δὴ ὑπεφάνη τοῦ θώρακος μέρος, καταῤῥαχθείσης τῆς ἐπ' αὐτῷ ἐσθῆτος.

μβ΄. Ὅπερ ἰδὼν ὁ Ἀντωνῖνος, νέος θρασὺς, θυμοειδής τε, καὶ φύσει μισῶν τὸν ἄνθρωπον· ἀλλὰ πρὸς δύο, ἔφη, ταῦτα τί ἂν ἀποκρίναιο; ἥκεις πρὸς βασιλέας ἑσπέρας, μὴ καλέσαντας· ὁ δὲ θώραξ σοι τί βούλεται; τίς γὰρ εἰς ἑστίασιν ἢ κῶμον ὡπλισμένος ἔρχεται; καὶ ταῦτα εἰπὼν, κελεύει τῷ χιλιάρχῳ, τοῖς τε παροῦσι σπασαμένοις τὰ ξίφη, φονεῦσαι τὸν ἄνδρα, ὡς ὁμολογουμένως πολέμιον. οἱ δὲ μὴ μελλήσαντες, κελεύσαντι τῷ νέῳ βασιλεῖ πείθονται. ἀναιροῦσί τε αὐτὸν, καὶ τὸ σῶμα ῥίπτουσιν εἰς τὴν λεωφόρον, ὡς ἂν πᾶσι φανερὸν γένοιτο, καὶ ὑπὸ μισούντων ὑβρισθείη. τούτῳ μὲν δὴ τῷ τέλει Πλαυτιανὸς ἐχρήσατο, ἀπλήστῳ τε [1] ζήσας πάντων ἐπιθυμίᾳ, καὶ χρησάμενος ἐν τῷ τέλει [2] ἀπλήστῳ ὑπηρεσίᾳ.

μγ΄. Ὁ δὲ Σεβῆρος, τοῦ μὲν λοιποῦ ὑπάρχοντας δύο τῶν στρατο-

territus, rogare, supplicare, falsa illa omnia, commentum id in se, fabulamque excogitatam. Igitur exprobrante hinc Severo beneficia & honores, illinc Plautiano fidei benevolentiæque suæ veteris testimonia repetente, paulatim labascere Severus, atque adduci Plautiani verbis, donec pars loricæ per scissum vestimenti apparuit.

XLII. Qua Antoninus animadversa, audax juvenis, & iracundus, ac jam antea homini infestus: Atqui, inquit, ad hæc certè duo quid respondeas expecto. Venisti ad imperatores sub vesperam, minimè accitus: dein, quid sibi rogo hæc lorica vult? Quis ad cœnam, commessationémve armatus accedit? Simul hæc dicens, jubet tribunum, cæterosque qui aderant, illico eum strictis gladiis obtruncare, ut hostem manifestarium. Nihil illi cunctati jussa faciunt juvenis Imperatoris, occiduntque hominem, & cadaver in viam projiciunt ad vulgi ludibrium. Hunc finem habuit parem vitæ Plautianus, inexhaustæ homo cupiditatis.

XLIII. Cæterum Severus duobus præfectis militaribus

1. Sylburgius mallet ζέσας.
2. Stephanus ἀπίστῳ, quoniam à Saturnino proditus, quem sibi pollicitus erat fidelissimum omnium futurum.

constitutis, plurimùm in suburbanis, aut circum maritimas Campaniæ oras agitabat jus dicens, & civilibus negotiis intentus: cupiensque imprimis, uti Romæ sui liberi bonis moribus instituerentur: Nam ludis eos, spectaculisque vehementius studere animadverterat, quàm principibus conveniebat. Quo fieret, uti studio certamineque semper in diversum tendente, etiam animi juvenum distraherentur, quibusdam quasi admotis contentionum atque inimicitiarum facibus. Maximè tamen Antoninus intolerandus, sublato jam è medio Plautiano, terribilisque & formidolosus erat omnibus: tum illius natæ, conjugi scilicet suæ, quibus maximè artibus aut machinis poterat, exitium intendebat. At Severus ipsam pariter cum filiolo quem pepererat, relegavit in Siciliam: datis opibus, quantæ ad victum, atque usum abunde sufficerent. Imi-

πέδων κατέστησεν, αὐτὸς δὲ τὰ πλεῖστα τοῦ βίου διέτριβεν ἐν τοῖς βασιλικοῖς προαστείοις, καὶ τοῖς παραλίοις τῆς Καμπανίας χωρίοις, δικάζων τε καὶ τὰ πολιτικὰ διοικῶν. ἄπασι γὰρ ἤθελε τοὺς παῖδας τῆς ἐν Ῥώμῃ διαίτης χρηστῆς ἀπολαύειν. ἐπειδὴ γὰρ αὐτοὺς ἑώρα περὶ τὰ θεάματα ἐσπουδακότας ἀπρεπέστερον ἢ βασιλεῦσιν ἥρμοζεν. [1] ἥτε περὶ ἐκεῖνα σπουδὴ καὶ φιλονεικία, διάφορον ἔχουσα καὶ ἀντίπαλον ἀεὶ τὴν γνώμην, τῶν ἀδελφῶν ἐτάραττε τὰς ψυχὰς, ἐναύσματά τε ἔριδος καὶ ἔχθρας παρεῖχε. μάλιστα δὲ ὁ Ἀντωνῖνος ἀφόρητος ἦν, ἀποσκευασάμενος τὸν Πλαυτιανόν. [2] ᾐδεῖτο δὲ καὶ ἐφοβεῖτο τὸν πατέρα πρᾶξαί τι ἀνήκεστον. τῇ τε θυγατρὶ μὲν ἐκείνου, γυναικὶ δὲ αὐτοῦ, παντὶ τρόπῳ θάνατον ἐμηχανᾶτο. ὁ δὲ Σεβῆρος αὐτήν τε ἐκείνην, καὶ τὸν [3] ἀδελφὸν αὐτῆς, εἰς Σικελίαν ἐξέπεμψεν, [4] αὐτάρκη δοὺς περιουσίαν εἰς τὸ βιοῦν δαψιλῶς·

1. Quod in Antonino & Geta fratre maximè apparuit. Egregius est de hâc re Dionis locus. Τοὺς μονομάχους τούς τε ἁρματηλάτας προσεταιρίζοντο, τῇ μὲν ὁμοιότητι τῶν ἔργων ζηλοῦντες ἀλλήλους· τῷ δὲ ἀντικατασπουδάζειν στασιάζοντες. Εἰ γὰρ τῷ ὁ ἕτερος προσέθετο, πάντως ἂν τὸ ἐναντίον ὁ ἕτερος ἀνθῃρεῖτο

2. Aliter vertit Stephanus & parenthesi includit (sed reverentia & metus patris obstabat, quo minus malum quodiam patraret) atque illius natæ &c.

3. Politianus [*filium*] vertit. Quem non verisimile est Plautillam ex Antonino suscepisse, utpote qui eam nec laris nec lecti consortio dignatus est, ita ut erga illum infensior esset Plautianus διὰ τὴν θυγατέρα ἀτιμαζομένην, ut refert Dion.

4. Convenit Dioni cum nostro in assignandâ exilii sede, aliàs verò à se multum discedunt. Πλαυτίλλα δὲ καὶ ὁ Πλαυτιανοῦ υἱὸς τότε μὲν ἐσώθησαν, ἐς Λιπάραν ἐξορισθέντες. Ἐπὶ δὲ Ἀντωνίνου ἀπώλοντο, καίτοι καὶ ζῶντες ἔν τε δέει καὶ ταλαιπωρίᾳ πολλῇ, τῶν τε ἀναγκαίων οὐκ εὐπορίᾳ διῆγον.

μιμη-

μιμνησάμενος τοῦ Σεβαστοῦ. καὶ γὰρ ἐκεῖνος, τοῖς Ἀντωνίου παισὶ πολεμίου γενομένου οὕτως ἐχρήσατο.

μδ'. Αὐτὸς δὲ ἐπειρᾶτο συνάγειν ἀεὶ τοὺς παῖδας εἰς φιλίαν, καὶ προτρέπειν εἰς ὁμόνοιαν καὶ συμφωνίαν, 1 μύθων τε ἀρχαίων καὶ δραμάτων ὑπεμίμνησκεν, ἀεὶ βασιλέων ἀδελφῶν συμφορὰς ἐκ στάσεως διηγούμενος. θησαυρούς τε καὶ νεώς, πάντα ἐδείκνυε χρημάτων πλήρη, πλοῦτόν τε καὶ δύναμιν 2 οὐκ ἔσεσθαι ἔξωθεν ἐπιβουλεῦσαι. τοσαύτης μὲν οὔσης οἴκοι περιουσίας, ὡς ἀφειδῶς καὶ δαψιλῶς 3 τοῖς στρατιώταις χορηγεῖν, τῆς τε ἐν Ῥώμῃ δυνάμεως αὐτῆς τετραπλασιασθείσης, καὶ στρατοπέδου τοσούτου πρὸ τῆς πόλεως ἱδρυθέντος ὡς μηδεμίαν εἶναι δύναμιν ἔξωθεν ἐχέγγυον, μηδ' ἀντίπαλον πλήθει στρατοῦ, μήτε μεγέθει σωμάτων, μήτε χρημάτων περιουσίᾳ. πλὴν οὐδὲν ὄφελος τούτων πάντων ἔλεγε, στασιαζόντων πρὸς ἀλλήλους, τοῦ τε πολέμου ἔνδον ὄντος. ὁ μὲν δὴ τοιαῦτά τινα λέγων ἑκάστοτε, ποτὲ μὲν λιπαρῶν, ποτὲ δὲ ἐπιπλήττων, σω-

tatus in hoc Augustum, qui filios Antonii, posteaquàm hostis judicatus est, eodem modo tractaverit.

XLIV. Ipse ad pacem concordiamque revocare liberos, & reconciliare utrumque alteri conabatur, admonens identidem veterum fabularum, in quibus pleræque regum calamitates fraternis ortæ seditionibus memorantur. Huc addebat, thesauros templaque pecuniis plena esse, divitias foris ex vectigalibus accedere posse, in tanta opulentia militem largitione teneri, auctas in quadruplum copias urbanas: tantum sedere exercitum ante urbem, ut nulla externa vis, seu multitudinem ipsam militum, seu corporum magnitudinem, seu pecuniæ abundantiam spectes, par inveniri tantis opibus possit. Sed ea in nihilum recasura, ipsis inter se discordantibus atque intestinum agitantibus bellum. Hæc ille quotidie differens, precesque castigationibus admiscens, reprimere illorum spi-

1. Qualia, inquit Boeclerus, persequuti sunt ex Græcis Latinisque, qui Thebaidas, Thyestes, Atreas, & Pelopidas scripsere. Monet etiam Spartianus Severum filiis suis inprimis commendatam habuisse Micipsæ apud Sallustium orationem, quâ filios ad pacem hortatur.

2. Vertit Politianus quasi leg. παρέσεσθαι, omisso tamen subsequente ἐπιβουλεῦσαι. Multus est Stephanus in conjecturis, quæ huic loco emendando inserviant; quarum prima hæc est [Πλοῦτόν τε καὶ δύναμιν οὐδεμίαν ἔλεγεν ἱκανὴν ἔσεσθαι τοῖς ἔξωθεν ἐπιβουλεῦσαι] cæteræ conjecturæ non sunt multum absimiles. Quid si compendiosiùs corrigi possit, ἐπιβουλεῦσαι mutato in ἐπιβουλεύουσι. Ita enim constabit sensus sine liberiore interpolandi licentiâ.

3. Ut milites præcipue demereri studerent, brevi illâ apud Dionem oratione, filios moriturus hortatur. Ὁμονοεῖτε, τοὺς στρατιώτας πλουτίζετε, τῶν ἄλλων καταφρονεῖτε.

ritus, ac reducere germanos in gratiam ſtudebat.

XLV. Cæterum omnia fruſtra erant. Quippe frænos ore depulerant, proni ſemper in pejus: atque illos adoleſcentes adhuc in ipſo ætatis fervore, atque in ſumma licentia voluptatum omnium irritamentis incitatos, etiam adulatorum miniſteria diverſos trahebant: ſcilicet qui non modò illorum obſequerentur cupidinibus atque flagitiis, ſed nova ſemper aliqua excogitarent, unde alteri gratum fieret, alter offenderetur. Quorum etiam nonnullos Severus ipſe in hujuſcemodi miniſteriis deprehenſos ſupplicio affecit.

XLVI. Hanc liberorum ſuorum vitam, & indecora in ſpectaculis ſtudia, ferens graviter ſenex Imperator; literas à Britanniæ præfecto accepit, quæ docebant, Barbaros illic ſeditiones agitare, regionemque omnem incurſionibus ac depopulationibus vaſtare. Quare majore manu ad reſiſtendum, vel etiam principis ipſius præſentia opus eſſe. Lætus ea Severus accepit, quippe homo ſuapte natura gloriæ appetentior, poſt victorias ad Orientem Septentrionemque, & cognomina utrinque parta, etiam trophæa contra Britannos excitare aliqua cupiebat. Ad hæc filios quoque abducere ex urbe, ut procul à munditiis urbanis, in caſtris militari vitæ, & ſobriæ, juvenes inſueſcerent. Ita expeditionem in Britanniam edicit, ſenex jam, & morbo articulari

φρονίζειν αὐτοὺς, ἅμα καὶ συνάγειν ἐπειρᾶτο.

με'. Οἱ δ' οὔτι γε ἐπείθοντο. ἀφηνίαζον δὲ, καὶ ἐπεδίδοσαν εἰς τὸ χεῖρον. ἅτε δὲ νεανίας σφριγῶντας, καὶ ὑπὸ βασιλικῆς ἐξουσίας εἰς πάσας ἡδονῶν ὀρέξεις ἀπλήστως ὁρμωμένους, ἕκαστοι τῶν κολακευόντων ἀνθεῖλκον πρὸς αὐτοὺς, οὐ μόνον ὑπηρετούμενοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ταῖς περὶ τὰ αἴσχιστα σπουδαῖς, ἀλλὰ καὶ ἀεί τι καινὸν ἐξευρίσκοντες, δι' οὗ εὐφρανοῦσι μὲν ὃν ἐκολάκευον, λυπήσουσι δὲ τὸν ἀδελφόν. ἤδη γοῦν τινας καὶ λαβὼν ἐπὶ τοσαύταις ὑπηρεσίαις ὁ Σεβῆρος, ἐκόλασεν.

μς'. Ἀσχάλλοντι δὲ αὐτῷ ἐπὶ τῷ τοιούτῳ βίῳ τῶν παίδων, καὶ τῇ περὶ τὰ θεάματα ἀπρεπεῖ σπουδῇ, ἐπιστέλλει ὁ τῆς Βρεττανίας ἡγούμενος, στασιάζειν τοὺς ἐκεῖ Βαρβάρους φάσκων, καὶ κατατρέχοντας τὴν χώραν, λείαν τε ἀπαγαγεῖν, καὶ πορθεῖν τὰ πλεῖστα. δεῖσθαι τοίνυν χειρὸς πλείονος, πρὸς βοήθειαν τοῦ τόπου, ἢ βασιλικῆς ἐπιδημίας. ὁ δὲ Σεβῆρος ἀσμένως ταῦτα ἀκούσας, φύσει μὲν καὶ φιλόδοξος ἄλλως ὑπάρχων, καὶ μετὰ τὰς ὑπὸ ἀνατολαῖς καὶ ἄρκτῳ νίκας καὶ προσηγορίας, βουλόμενος καὶ κατὰ Βρεττανῶν ἐγεῖραι τρόπαια. ἔτι δὲ καὶ τοὺς υἱεῖς ἀπαγαγεῖν τῆς Ῥώμης θέλων, ὡς ἂν νεάζοιεν ἐν στρατιωτικῷ βίῳ καὶ σώφρονι, ἀπαχθέντες τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, ἐπαγγέλλει τὴν εἰς τὴν Βρεττανίαν ἔξοδον, πρεσβύτης τε ἤδη ὤν,

καὶ

καὶ ὑπὸ τῆς ἀρθρίτιδος νόσου κάμνων, ἀλλὰ τὰ τῆς ψυχῆς αὐτοῦ, ἔῤῥωτο ὑπὲρ πάντα νεανίαν. τὰ πλεῖστα γοῦν καὶ φοράδην φερόμενος, τῆς ὁδοιπορείας εἴχετο· οὐδέ ποτε ἐπὶ πολὺ μένων ἀνεπαύετο. ἀνύσας δὲ τὴν ὁδὸν ἅμα τοῖς παισί, παντὸς λόγου καὶ ἐλπίδος θᾶττον, τὸν ὠκεανὸν διαπλεύσας, Βρεττανοῖς ἐπέστη, τούς τε πανταχόθεν στρατιώτας ἀθροίσας, καὶ δύναμιν πολλὴν ἀγείρας, τὰ πρὸς τὸν πόλεμον παρεσκευάζετο.

laborans: tanta autem animi virtute, quanta nemo unquam vel juvenum. Igitur iter ingressus, lectica plurimum vehebatur, nulloque cessabat loco. Quare confecto itinere, speque omni ac sermone celerius enavigato oceano, Britanniam ingressus est: collectisque militibus, ac maximis conflatis viribus, bellum comparabat.

μζ΄. Οἱ δὲ Βρεττανοὶ τῇ τοῦ Βασιλέως ἐκπλαγέντες αἰφνιδίῳ ἐπιδημίᾳ, δύναμίν τε ἀκούσαντες παμπλείστην ἐπ' αὐτοὺς ἀθροισθεῖσαν, πρεσβείας ἔπεμπον, περί τε εἰρήνης διελέγοντο, ἀπολογεῖσθαί τε ἐβούλοντο πρὸς τὰ προημαρτημένα. ὁ δὲ Σεβῆρος διατριβάς τε χρόνου ζητῶν, ὡς ἂν μὴ πάλιν εἰς τὴν Ῥώμην ἐπείγοιτο, ἔτι δὲ καὶ βουλόμενος προσκτήσασθαι τὴν κατὰ Βρεττανῶν νίκην τε καὶ προσηγορίαν, τοὺς μὲν πρέσβεις αὐτῶν ἀπράκτους ἔπεμψεν, συνέταττε δὲ καὶ πρὸς τὴν μάχην. μάλιστα δὲ γεφύραις διαλαμβάνειν ἐπειρᾶτο τὰ ἑλώδη χωρία, ὡς ἂν ἐπ' ἀσφαλοῦς βαίνοντες οἱ στρατιῶται, ῥᾳδίως τε αὐτὰ διαβρέχοιεν, καὶ ἐπ' ὀχυροῦ βήματος ἑδραίως ἑστῶτες μάχοιντο. τὰ γὰρ πλεῖστα τῆς Βρεττανῶν χώρας ἐπικλυζόμενα ταῖς τοῦ ὠκεανοῦ συνεχῶς ἀμπώτισιν, ἑλώδη γίνεται. [1] οἷς ἔθος τοῖς μὲν βαρβάροις ἐννήχεσθαί τε καὶ

XLVII. Cæterùm Britanni repentino Principis adventu perculsi, auditoque tantas contra se comparari copias, legatos ad eum de pace, ac seipsos expurgatum miserunt. At Severus moras de industria nectens, ne vacuo sibi Romam adeundum foret, cupidus victoriæ, cognominisque Britannici, legatos quidem re infecta domum dimittit: ipse quæ bello usui forent, magna solertia comparabat. Sed inprimis tamen curæ habuit pontibus occupare paludes, ut stare in tuto milites possent, atque in solido præliari. Siquidem Britanniæ pleraque loca frequentius oceani adluvionibus paludescunt. Per eas igitur paludes Barbari ipsi natant, excursantque ad ilia usque demersi, ac pleraque corporis

1. Ἔς τε γὰρ τὰ ἕλη, inquit Dion, καταδυόμενοι, καρτεροῦσιν ἐπὶ πολλὰς ἡμέρας, τὴν κεφαλὴν μόνον ἔξω τοῦ ὕδατος ἔχοντες.

nudi

nudi cœnum contemnunt. Neq; enim vestis usum cognorunt, sed ventrem atque cervicem ferro incingunt, ornamentum id esse, ac divitiarum argumentum existimantes, perinde ut aurum cæteri Barbari. Quin ipsa notant corpora pictura varia, & omnifariam formis animalium. Quocirca ne induuntur quidem, videlicet picturam corporis ne adoperiant. Sunt autem bellicosissima gens, atque avidissima cædis: tantum scuto angusto, lanceaque contenti. Præterea gladio nudis corporibus dependente, loricæ ac galeæ penitus ignorant usum, impedimentum id esse transgrediendis paludibus arbitrantes, quarum vaporibus æstuque cœlum ibi semper caliginosum.

XLVIII. Ad hæc Severus nihil non comparabat, quod usui Ro. militi, quod detrimento Barbaris impedimentoque foret. Ubi verò satis ex sententia promta sibi esse, ac parata omnia intellexit, juniorem filium Getam nomine in parte insulæ Romanis subjecta reliquit, ut juri dicundo rebusq; civilibus administrandis præesset: eique consiliarios ex a-

διαθεῖν βρεχομένοις μέχρις ἰξύος. γυμνοὶ γὰρ ὄντες τὰ πλεῖστα τοῦ σώματος, τὸν ἰλὺν καταφρονοῦσι. οὐ δὲ γὰρ ἐσθῆτος ἴσασι χρῆσιν, ἀλλὰ τὰς μὲν λαπάρας καὶ τοὺς τραχήλους κοσμοῦσι σιδήρῳ, καλλώπισμα τοῦτο καὶ πλούτου σύμβολον νομίζοντες, ὥσπερ τὸν χρυσὸν οἱ λοιποὶ Βάρβαροι. [1] τὰ δὲ σώματα στίζονται γραφαῖς ποικίλων ζώων παντοδαπῶν εἰκόσιν. ὅθεν οὐδ' ἀμφιέννυνται ἵνα μὴ σκέπωσι τοῦ σώματος τὰς γραφάς. εἰσὶ δὲ μαχιμώτατοί τε καὶ φονικώτατοι, ἀσπίδα μόνην στενὴν περιβεβλημένοι, καὶ δόρυ. ξίφος δὲ παρηρτημένοι, γυμνοῦ σώματος. θώρακος δὲ ἢ κράνους οὐκ ἴσασι χρῆσιν, ἐμπόδιον νομίζοντες πρὸς τὴν δίοδον τῶν ἑλῶν, ἐξ ὧν τῆς ἀναθυμιάσεως καὶ παχύτητος, ὁ κατ' ἐκείνην τὴν χώραν ἀὴρ ζοφώδης ἀεὶ φαίνεται.

μη'. Πρὸς δὴ ταῦτα ἐξήρτυεν ὁ Σεβῆρος, ὅσα συνοίσειν ἔμελλε τῷ Ῥωμαίων στρατῷ, λυπήσειν δὲ καὶ ἐμποδιεῖν τὴν τῶν Βαρβάρων ὁρμήν· ὡς δὲ αὐτάρκως ὤφθη αὐτῷ τὰ πρὸς τὸν πόλεμον εὐτρεπίσθαι, τὸν μὲν νεώτερον τῶν υἱῶν, τὸν Γέταν καλούμενον, καταλιπὼν ἐν τῷ ὑπὸ Ῥωμαίους ἔθνει δικάζοντά τε, καὶ τὰ λοιπὰ διοικήσοντα πολιτικὰ τῆς ἀρχῆς, δοὺς αὐτῷ συνέδρους, τῶν

1. Quem morem ita expressit Solinus. *Regionem partim tenent Barbari, quibus per artifices plagarum figuras, jam inde à pueris variæ animalium effigies incorporantur, inscriptisque visceribus, hominis incremento pigmenti notæ crescunt. Nec quicquam magis patientiæ loco nationes feræ ducunt, quam ut per memores cicatrices plurimum fuci artus bibant.*

2. Τάδε ὅπλα αὐτῶν, ἀσπὶς καὶ δόρυ βραχύ, μῆλον χαλκοῦν ἐπ' ἄκρου τοῦ στύρακος, *sc. hastæ cuspidis*, ἔχον, ὥστε σειόμενον κτυπεῖν πρὸς κατάπληξιν τῶν ἐναντίων *Dion.*

φίλων

φίλων τοὺς πρεσβυτέρους, τὸν δὲ Ἀντωνῖνον παραλαβών, ἐπὶ τοὺς Βαρβάρους ὑπήγετο. ὑπερβάντος δὲ τοῦ στρατοῦ τὰ προβεβλημένα ῥεύματά τε καὶ χώματα τῆς Ῥωμαίων ἀρχῆς, συμβολαὶ καὶ [1] ἀκροβολισμοὶ πολλάκις ἐγίνοντο, τροπαί τε τῶν Βαρβάρων. ἀλλὰ τοῖς μὲν ῥᾳδία ἦν ἡ φυγή, καὶ διελάνθανον. ἔν τε δρυμοῖς, καὶ ἕλεσι, καὶ τῇ τῶν χωείων γνώσει, ἅπερ πάντα Ῥωμαίοις ὄντα ἐναντία, πλείονα παρέχε τοῦ πολέμου τὴν διατριβήν.

micis natu grandibus reliquit, Antonino secum adversus Barbaros educto. Transgresso igitur Romano exercitu, amnes aggeresque eos qui objecti Barbaris Romanorum fines distерminant, pugnæ quædam tumultuariæ fiebant, & excursiones, victore ubique Romano. Cæterùm, facilis erat ex fuga receptus Barbaris: quippe inter sylvas ac paludes, & loca ipsis notissima delitescentibus. Quæ omnia Romanis adversa moram bello addebant.

μθ'. Τὸν δὲ Σεβῆρον γηραιὸν ὄντα, ἤδη νόσος ἐπιμηκεστέρα καταλαμβάνει. ὅθεν αὐτὸς μὲν ἠναγκάζετο μένειν οἴκοι, τὸν δὲ Ἀντωνῖνον ἐπειρᾶτο ἐκπέμπειν διοικήσοντα τὰ στρατιωτικά. ὁ δὲ Ἀντωνῖνος τῶν μὲν πρὸς τοὺς Βαρβάρους μετρίως ἐφρόντιζεν, ἐπειρᾶτο δὲ οἰκειοῦσθαι τὰ στρατόπεδα. καὶ πάντας ἀνέπειθεν εἰς αὐτὸν βλέπειν μόνον. ἐμνᾶτό τε παντὶ τρόπῳ τὴν μοναρχίαν, διαβάλλων τὸν ἀδελφόν. ὁ δὲ πατὴρ ἐπιπολὺ νοσῶν, καὶ πρὸς τὸν θάνατον βραδύνων, ἐπαχθὴς αὐτῷ καὶ ὀχλη-

XLIX. Interea Severum jam confectum senio longior invasit morbus, sic ut ipsi domi residere, atque Antoninum mittere in bellum, ad Imperatoris obeunda munia cogeretur. Cæterum Antoninus haud magnopere de Barbaris solicitus, exercitum sibi adjungere, & confirmare universos tentabat, uti se unum intuerentur: soli sibi [2] Imperium vindicans, ac germano identidem obtrectans. Quin longior quoque patris valetudo, ac mortis mora diuturnior anxium videlicet adolescentem habebat; sic ut

1. Utcunque dissimulet Herodianus, non sunt illæ velitationes censendæ, ubi tam acriter pugnatum est, ὥστε ἐς πέντε μυριάδας, *Romanorum sc.* ὅλας πλούτησαι. Neque enim nihili res Severo expressisset sanguinarios istos versiculos.

——— Τῶν μήτις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
Χεῖράς θ' ἡμετέρας, μηδ' ὅντινα γαστέρι μήτηρ
Κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι αἰπὺν ὄλεθρον.

2. Semel atque iterum Severo insidiatus est Antoninus, quin & in extremo actu aliquid contulit ad senem è medio tollendum, καὶ αὐτὸν περὶ τοῦτ' ἔχοντα, *prælio sc: intentum*, ἡ νόσος τῇ τετάρτῃ τοῦ Φεβρουαρίου ἀπήλλαξε, συνεξεργασαμένου τι πρὸς τοῦτο καὶ τοῦ Ἀντωνίνου. *Dion.*

medi-

medicis, ministrisque subinde conaretur persuadere, senem ut è medio quam primùm quoquo modo tollerent Donec tandem Severus mœrore magis quàm morbo consumtus, vitaque defunctus est, clarissimus omnium Imperatorum bellicis operibus. Neque enim aut civiles quisquam adversus inimicos, aut externas adversus barbaros totidem alius victorias reportavit. Annisque duodeviginti gesto Imperio decessit, successoribus liberis: tanta pecuniæ relicta copia, quantam antea nemo: tum ampliore exercitu, quàm cui obsistere ulla vis posset.

L. Igitur Antoninus mortuo Severo, summam potestatem nactus, confestim universos ab ipso (quod ajunt) lare interficere cœpit. Nam & medicos supplicio affecit, quod sibi parum obtemperaverant, jubenti senis maturare necem; nutriciosque suos juxta, & fratris, quòd de reconciliandis egissent: ne uno quidem reliquo suæ crudelitati facto, ex eo ordine hominum qui in honore aliquo fuerant, quique ipsius parentem observaverant. Duces porrò exercitus magnis muneribus ac promissis adhortabatur, persuaderent militibus, uti se unum Imperatorem declararent, nullasque non machinas adversus germanum intendebat. Neque id tamen persuadere militibu

ρὸς ἐφαίνετο. [1] ἀνέπειθέ τε τοὺς ἰατροὺς καὶ ὑπηρέτας, κακουργῆσαί τι περὶ τὴν θεραπείαν τοῦ γέροντος, ὡς ἂν θᾶττον αὐτοῦ ἀπαλλαγείη. πλὴν ἀλλὰ μόλις ποτὲ Σεβῆρος λύπῃ τὸ πλεῖστον διαφθαρεὶς, ἀνεπαύσατο τοῦ βίου, ἐνδοξότατα βιώσας, ὅσον πρὸς τὰ πολεμικὰ τῶν πώποτε βασιλέων. οὔτε γὰρ ἐμφύλια κατ᾽ ἐχθρῶν, οὔτε ξένα κατὰ βαρβάρων, τοσαῦτά τις πρὸ αὐτοῦ ἤγειρε τρόπαια. βασιλεύσας δὲ ὀκτωκαίδεκα ἔτεσιν ἐπὶ παισὶ νεανίαις διαδόχοις, ἀνεπαύσατο, [2] χρήματά τε αὐτοῖς καταλιπὼν ὅσα μηδεὶς πώποτε, καὶ δύναμιν στρατιωτῶν ἀνανταγώνιστον.

ν΄. Ο δὲ Ἀντωνῖνος, τοῦ πατρὸς ἀποθανόντος, λαβόμενος ἐξουσίας, εὐθὺς ἐφ᾽ ἑστίας πάντας φονεύειν ἤρξατο. τούς τε ἰατροὺς ἀνῄρει (οἳ μὴ ὑπήκουσαν αὐτῷ, κελεύσαντι κακουργῆσαι καὶ τὸν θάνατον ἐπισπεῦσαι τοῦ γέροντος) τούς τε τροφεῖς αὐτοῦ, καὶ τοῦ ἀδελφοῦ, ἐπειδὴ προσέκειντο λιπαροῦντες αὐτὸν ὑπὲρ ὁμονοίας. οὐδένα δὲ εἴασε περιλειφθῆναι τῶν ἐν τιμῇ γενομένων, ἢ θεραπείᾳ τοῦ γέροντος. ἰδίᾳ τε δώροις καὶ μεγάλαις ὑποσχέσεσι τοὺς τῶν στρατοπέδων ἡγουμένους ἐθεράπευεν, ὅπως ἀναπείσειαν τὸν στρατὸν ἀποδεῖξαι μόνον αὐτοκράτορα, πᾶσαν μηχανὴν κατὰ τοῦ ἀδελφοῦ ἐζήτει. οὐ μὴν ἔπειθε τὸ στρατιωτικόν μεμνημέ-

1. *Periit Ebraci in Britanniâ, subactis gentibus, quæ Britanniæ videbantur infestæ, anno imperii decimo octavo.* Spart.

2. Οὐκ διαριθμητὰς τινὰς μυριάδας δραχμῶν καταλέλοιπε.

νοι δὲ τοῦ Σεβήρου, [1] καὶ ὅτι ἀμφοτέρους ἴσως δὴ ἐκ παίδων περιθρέψειαν, ἴσην αὐτοῖς ὑπηρεσίαν καὶ εὔνοιαν παρείχοντο.

να'. Ὁ δὲ Ἀντωνῖνος, ἐπεὶ μὴ προεχώρει αὐτῷ τὰ τῶν στρατοπέδων, σπεισάμενος πρὸς τοὺς Βαρβάρους, δούς τε εἰρήνην, τά τε πιστὰ λαβών, ἐξῄει τε τῆς βαρβάρου, πρός τε τὸν ἀδελφὸν ἤδη καὶ τὴν μητέρα ἠπείγετο. ὡς δὲ κατὰ τὸ αὐτὸ ἐγένοντο, συνάγειν αὐτοὺς ἡ μήτηρ ἐπειρᾶτο, καὶ οἱ ἐν ἀξιώσει ὄντες, καὶ σύνεδροι πατρῷοι φίλοι. ὁ δὲ Ἀντωνῖνος πάντων αὐτῷ πρὸς ἃ ἐβούλετο ἐναντιουμένων, ἀνάγκῃ μᾶλλον ἢ γνώμῃ ἐς ὁμόνοιαν καὶ φιλίαν ἐπίπλαστον μᾶλλον ἢ ἀληθῆ περιήγετο. οὕτω δὴ τὰ τῆς βασιλείας ἀμφότεροι διοικοῦντες, ἐν ὁμοτίμῳ ἀρχῇ ἀπᾶραι τῆς Βρεττανίας ἠθέλησαν. εἴς τε τὴν Ῥώμην ἠπείγοντο, κομίζοντες τὰ τοῦ πατρὸς λείψανα. τὸ γὰρ σωμάτιον πυρὶ παραδόντες, τήν τε κόνιν σὺν ἀρώμασιν εἰς κάλπιν ἀλαβάστρου ἐμβαλόντες, ἀπεκόμιζον εἰς τὴν Ῥώμην, εἰς τὰ βασίλεια ἀποθησόμενοι ἱερὰ μνήματα. αὐτοὶ δὲ τὸν στρατὸν ἀναλαβόντες, νικηφόροι δὴ κατὰ Βρεττανῶν εἰς τὴν ἀντικειμένην Γαλλίαν, διαβάντες τὸν ὠκεανόν, ἀφίκοντο.

Ὅπως μὲν δὴ Σεβῆρος τὸν βίον μετήλλαξε, καὶ οἱ παῖδες αὐτοῦ τὴν ἀρχὴν διεδέξαντο, ἐν τῷ βιβλίῳ τούτῳ δεδήλωται.

potuit. Quippe memores, utrunque à Severo jam inde à pueritia pari honore cultuque educatum: etiam ipsi parem utrinque obedientiam, benevolentiamque exhibebant.

L I. Igitur Antoninus cognito parum sibi rem adversus exercitum procedere, icto cum Barbaris fœdere, dataque pace, & obsidibus acceptis, decedensque illinc, ad matrem jam germanumque festinat. Congressos reducere in gratiam mater conata, adnitentibus honestiss. quibusque Severi amicis & consiliariis. Igitur Antoninus, cum nemo scilicet non ejus libidini refragaretur, vi potius quàm voluntate ad concordiæ, amorisque simulationem adducitur. Ita ambo pari honore Imperium gerentes, solverunt ex Britannia, Romamque cum patris reliquiis contendebant. Nam corpusculo ignibus tradito, cinerem ipsum cum odoribus in vasculum alabastri conjectum Romam referebant, ut videlicet in sacris Principum monimentis componeretur. Ipsi exercitum deportantes, victoresque jam Britanniæ, in adversam Galliam emenso Oceano pervenerunt.

Quo igitur pacto & diem suum obierit Severus, & liberi ejus Imperium susceperint, in hoc volumine demonstratum est.

---

1. Quare postea pars militum apud Albam, Getam occisum ægerrimè tulit; dicentibus cunctis, duobus se fidem promisisse liberis Severi, duobus servare debere. Spart. in Anton. Caracall.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΤΕΤΑΡΤΟΝ.

HERODIANI

LIBER QUARTUS.

BREVIARIUM LIBRI QUARTI.

SEveri reliquiæ ex Britanniâ Romam sunt delatæ. Ibi parentatione factâ, & illo inter Divos relato, Antoninus & Geta fratres Imperium suscipiunt; ita dissidentes, ut illud, nisi tunc Julia intercessisset, certis limitibus inter se divisissent. Mox tamen gliscente indies odio, Antoninus fratrem Getam super pectus matris obtruncat; & ad castra confugiens, militibus largitione corruptis, solus Imperator declaratur, ac statim in senatum populumque crudelissimè sævit. Posthac varias profectiones obiens ad Danubium Germanos, in Macedoniâ Alexandrum, in Asiâ Achillem æmulabatur. Dein Alexandriam veniens, insigni latrocinio cives contrucidavit. Posthac Parthiam titulo nuptiarum ingressus, incautos Parthos, violato fœdere opprimit, rege vix elapso. Postremo Carris Mesopotamiæ à milite, cujus fratrem interemerat, interficitur; & combusto ejus cadavere cineres Antiochiam matri Juliæ mittuntur. Deinceps Macrinus Imperator eligitur; qui cum Artabano Rege Parthorum per integrum triduum prælio decernit, neutro exercitu vincente aut devicto; mox facto fœdere & discedente Partho, ipse cum Romanis copiis Antiochiam proficiscitur.

Τὰ μὲν δὴ πραχθέντα Σεβήρῳ βασιλεύσαντι ὀκτωκαίδεκα ἔτεσιν, ἐν τῷ πρὸ τούτου βιβλίῳ δεδήλωται. οἱ υἱεῖς αὐτοῦ ἤδη νεανίαι, ἅμα τῇ μητρὶ εἰς τὴν Ῥώμην ἠπείγοντο, ἤδη μὲν κατὰ τὴν ὁδὸν στασιάζοντες πρὸς ἀλλήλους (οὔτε γὰρ καταγωγαῖς ταῖς αὐταῖς ἐχρῶντο, οὔτε συνεσιτῶντο ἀλλήλοις) πολὺ δὲ τὸ ὕποπτον ἐν ἅπασιν, ἐδέσμασί τε καὶ πόμασι, μή τις αὐτῶν προλαβὼν καὶ λαθὼν, ἤ τινας ἀναπείσας τῶν ὑπηρετῶν, δηλητηρίῳ χρήσηται φαρμάκῳ. ταύτῃ γοῦν καὶ τὴν ὁδοιπορείαν ἔτι μᾶλλον ἤπειγον, ἀδεέστερον ἑκάτερος βιώσεσθαι προσδοκῶν, εἰ ἐν τῇ Ῥώμῃ γένοιντο, καὶ τὰ βασίλεια διελόμενοι ἐν πλατείᾳ καὶ πολλῇ οἰκήσει, καὶ πάσης πόλεως μείζονι, καθ᾽ ἑαυτὸν ἑκάτερος διάγοι, ὡς βούλοιτο.

β΄. Ὡς δὲ ἀφίκοντο εἰς τὴν Ῥώμην, ὅ, τε δῆμος αὐτοὺς δαφνηφορῶν ὑπεδέξατο, ἥ τε σύγκλητος προσηγόρευσεν· ἡγοῦντο δ᾽ αὐτοὶ μὲν τὴν βασίλειον φέροντες πορφύραν· εἵποντο δ᾽ ὄπισθεν αὐτοῖς, οἱ τὴν ὕπατον ἀρχὴν τότε διέποντες, κάλπιν φέροντες, ἔνθα ἦν τὰ Σεβήρου λείψανα. οἵ τε προσαγορεύοντες τοὺς νέους αὐτοκράτορας παριόντες, καὶ τὴν κάλπιν προσεκύνουν. ἐκείνην μὲν οὖν παραπέμψαντες, καὶ προπομπεύσαντες αὐτῆς, ἀπέθεντο ἐν τῷ νεῷ, 1 ἔνθα

RES gestas Severi Principis per annos duodeviginti, superiore libro sumus persecuti. Porrò autem ipsius liberi, adolescentes jam, unà cum matre Romam festinabant: seditiones jam tum in itinere agitantes. Quippe diversoriis, mensaque nunquam eisdem utebantur: multumque suspicionis in cibo omni, potuque; ne alteruter antecapto tempore, ipse clam, aut per ministeria, veneno rem gereret. Ob eamque causam etiam iter properantius faciebant: tutius rati victuros, ubi jam in urbem pervenissent, divisaque inter se regia, amplis ac spaciosis ædibus, majoribus etiam reliqua urbe, pro suo uterque arbitrio separatim agitarent.

II. Postquam verò in urbem perventum, populus eos universus laureatus excepit, & Senatus consalutavit. Præibant igitur Principes ipsi cum purpura imperatoria: pòst sequebantur consules, urnam cum Severi reliquiis gestantes. Qui autem novos Imperatores consalutaverant, progressi deinde, urnam quoque ipsam supplices adorabant. Ita comitati magna pompa, composuerunt ipsum in templo, ubi

1. Ita Spartianus Severi corpus Antoninorum sepulchro illatum refert, sub finem Severi.

ubi Marci, ac superiorum principum sacra visuntur monimenta.

III. Re igitur divina, cæremoniisque de more concelebratis, uterque in regiam discedunt, partiti inter se domum, januisque secretioribus obstructis, publicis tantùm, atque atriensibus promiscuè utentes. Quin & custodes corporis separatim sibi delegerunt, vix unquam congredientes, nisi pauxillum duntaxat, ut in publico à multitudine ipsa conspicerentur. Sed inprimis tamen justa parenti persolverunt. Mos est enim Romanis consecrare Imperatores, qui superstitibus filiis, vel successoribus moriuntur. Quique eo sunt honore affecti, relati dicuntur inter divos. Est autem tota urbe quasi luctus quidam festæ celebritati promiscuus. Quippe functum vita corpus, ritu hominum sumptuoso funere sepeliunt. Sed ceream imaginem defuncto quàm simillimam fingunt, eamque in regiæ vestibulo proponunt supra eburneum lectum, maximum atque sublimem, vestibus instratum aureis. Et quidem imago illa ad ægroti speciem pallida recumbit. Circa lectum verò utrinque magnam partem diei sedent, à læva quidem Senatus omnis vestibus atris ami-

Μάρκου τε καὶ τῶν πρὸ αὐτοῦ βασιλέων ἱερὰ μνήματα δείκνυνται.

γ'. Ἐπιτελέσαντες δὲ νενομισμένας ἱερουργίας ἐπὶ τοῖς βασιλικοῖς εἰσόδοις, ἀνῆλθον εἰς τὰ βασίλεια. διελόμενος δὲ αὐτὰ ἑκάτερος ᾤκει, παραφράττοντές τε πάσας εἰσόδους, εἴ τινες ἦσαν λανθάνουσαι, μόναις δὲ ταῖς δημοσίοις καὶ αὐλείοις ἀναίδην χρώμενοι· φρουράς τε ἐπιστήσαντες ἰδίᾳ ἑκάτερος, οὐδὲ συνιόντες, εἰ μὴ πρὸς ὀλίγον, ὅσον δημοσίᾳ εἴποτε ὀφθῆναι. ἐπετέλεσαν δὲ πρὸ ἁπάντων τὴν εἰς τὸν πατέρα τιμήν. ἔθος γάρ ἐστι Ῥωμαίοις ἐκθειάζειν βασιλέων τοὺς ἐπὶ [1] διαδόχοις παισὶ τελευτήσαντας. τήν τε τοιαύτην τελετὴν, ἀποθέωσιν καλοῦσι. μεμιγμένον δέ τι πένθος ἑορτῇ καὶ θρησκείᾳ, κατὰ τὴν πόλιν δείκνυται. τὸ μὲν γὰρ σῶμα τοῦ τελευτήσαντος, πολυτελεῖ κηδείᾳ καταθάπτουσιν ἀνθρώπων νόμῳ. [2] κηροῦ πλασάμενοι εἰκόνα πάντα ὁμοίαν τῷ τετελευτηκότι, ἐπὶ μεγίστης ἐλεφαντίνης κλίνης εἰς ὕψος ἀρθείσης, προτιθέασιν ἐν τῇ τῶν βασιλείων εἰσόδῳ, χρυσοϋφεῖς στρωμνὰς ὑποστρωννύντες. ἡ δ' εἰκὼν ἐκείνη ἐν σχήματι νοσοῦντος πρόκειται ὠχριῶσα. τῆς δὲ κλίνης ἑκατέρωθεν καθέζονται ἐπὶ πλεῖστον τῆς ἡμέρας· ἐν μὲν τῷ λαιῷ μέρει, πᾶσα ἡ σύγκλητος μελαίναις ἐφεστρίσι χρώμε-

1. Lege [διαδόχοις ἢ παισί.]

2. Descriptioni huic ad amussim respondet Dionis illa de solutis Pertinaci exequiis. *Καὶ ἐς αὐτὴν, κλίνην sc.* εἴδωλόν τι τοῦ Περτίνακος κήρινον σκευῇ ἐπινικίῳ ἐσθημένον ἀνετέθη· libro 74.

νοι, ἐν δὲ τῷ δεξιῷ, γυναῖκες πᾶσαι, ὅσαις ἀνδρῶν ἢ πατέρων ἀξίωμα τιμῆς ἔνδοξον μεταδίδωσιν. οὔτε δὲ χρυσοφοροῦσά τις αὐτῶν ὁρᾶται, οὔτε περιδεραίοις κοσμουμένη, ἀλλὰ λιτὰς ἐσθῆτας λευκὰς ἀμφιεννύμεναι, σχῆμα παρέχουσι λυπουμένων. ἑπτὰ οὖν ἡμερῶν τὰ εἰρημένα ἐπιτελεῖται. ἰατροί τε εἰσιόντες ἑκάστοτε, προσιόντες τῇ κλίνῃ, καὶ δῆθεν ἐπισκεψάμενοι τὸν νοσοῦντα, χαλεπώτερον ἔχειν ἀπαγγέλλουσιν ἑκάστοτε. ἐπειδὰν δὲ δόξῃ τετελευτηκέναι, τὴν μὲν κλίνην ἀράμενοι τοῦ τε ἱππικοῦ τάγματος οἱ εὐγενέστατοι, καὶ τῆς συγκλήτου ἐπίλεκτοι νεανίαι κατακομίζουσι διὰ τῆς ἱερᾶς ὁδοῦ, εἰς τὴν ἀρχαίαν ἀγορὰν προτιθέασιν, ἔνθα οἱ Ῥωμαίων ἄρχοντες ἀπόμνυνται. ἑκατέρωθεν δὲ βάθρα τινὰ σύγκειται, ἐν κλίμακος σχήματι, καὶ ἐπὶ μὲν θατέρου μέρους τῶν εὐγενεστάτων καὶ εὐπατριδῶν [1] χορὸς ἕστηκε παίδων· ἐν δὲ τῷ ἀντικειμένῳ, γυναικῶν τῶν ἐν ἀξιώσει εἶναι δοκουσῶν. ᾄδουσι δὲ ἑκάτεροι ὕμνους τε καὶ παιᾶνας εἰς τὸν τετελευτηκότα, σεμνῷ μέλει καὶ θρηνώδει ἐρρυθμισμένους. μετὰ δὲ τοῦτο βαστάσαντες τὴν κλίνην, φέρουσιν ἔξω τῆς πόλεως εἰς τὸ καλούμενον Ἄρεως πεδίον. ἔνθα κατεσκεύασται ἐν τῷ πλατυτάτῳ τοῦ πεδίου τόπῳ τετράγωνόν τι καὶ ἰσόπλευρον, ἄλλης μὲν ὕλης οὐδεμίας μετέχον ἢ ἐκ μόνης τε συμπήξεως ξύλων μεγίστων, εἰς σχῆμα

ctus: à dextra verò matronæ, quas virorum aut parentum dignitas honestat. Harumque nulla vel aurum gestans, vel ornata monilibus conspicitur: sed vestibus albis exilibus indutæ, mœrentium speciem præbent. Hæc ita per septem dies continuos faciunt, medicis ad lectum quotidie accedentibus, inspectumque velut ægrum deterius se habere subinde pronuntiantibus. Dein ubi jam visus est obiisse diem, lectum humeris attollunt equestris senatoriique ordinis nobilissimi ac lectissimi juvenes, perque viam sacram in vetus forum deferunt, ubi magistratus Romani deponere Imperium consueverant. Utrinque autem gradus quidam sunt ad scalarum similitudinem extructi, in quibus altera ex parte puerorum chorus est à nobilissimis atque patriciis, altera fœminarum illustrium, hymnos in defunctum pæanasque canentium, verendo ac lamentabili carmine emodulatos. Quibus peractis, tollunt iterum lectum, atque extra urbem perferunt in Martium campum: ubi quàm latissimè campus patet, suggestus quidam specie quadrangula, lateribus æquis assurgit, nulla præterquàm lignorum ingentium materia compactus in tabernaculi formam. Id quidem interius totum est aridis fo-

1. Ἐπεὶ δὲ χοροὶ παίδων καὶ ἀνδρῶν, ᾄδοντες παρῆλθον. *idem.* Θρηνῳδη τινὰ ὕμνον εἰς τὸν Περτίνακα

mitibus

mitibus oppletum, extra autem intextis auro ſtragulis, atque eboreis ſignis, variiſque picturis exornatum. Infrà verò alterum minuſculum quidem poſitum eſt, ſed forma & ornatu perſimile, portis januiſque patentibus. Tertiumque item & quartum ſemper ſuperiore contractius, ac deinceps alia: donec ad extremum, quod eſt omnium breviſſimum perveniatur. Poſſis ejus ædificii formam comparare turribus his, quæ portubus imminentes noctu igne prælato, naves in tutas ſtationes dirigunt: Pharos vulgo appellant. Igitur lecto in ſecundum tabernaculum ſublato, aromata & ſuffimenta omnis generis, fructus, herbaſque ſuccoſque omnes odoratos conquirunt, atque acervatim effundunt. Quippe neque gens eſt, neque civitas, neque qui honore ullo aut dignitate præcellat, quin certatim pro ſe quiſque ſuprema illa munera principis honori deferant. Ubi verò ingens aromatum acervus aggeſtus eſt, ac locus omnis expletus, tum circa ædificium illud adequitant, univerſis equeſtris ordinis certa quadam lege ac recurſu, motuque pyrrhichio, numeroque in orbem decurrentibus. Currus item circumaguntur inſeſſu purpuratis rectoribus, qui perſonas ferant ducum omnium Roma-

οἰκήματος. πᾶν δὲ ἐκεῖνο ἔνδοθεν μὲν φρυγάνων πεπλήρωται, ἔξωθεν δὲ χρυσοϋφέσι στρωμναῖς, ἐλεφαντίνοις τε ἀγάλμασι, γραφαῖς τε ποικίλαις κεκόσμηται. ὑπ' ἐκείνῳ δὲ ἕτερον, σχήματι μὲν καὶ κόσμῳ παραπλήσιον μικρότερον ἐπίκειται, πυλίδας ἔχον καὶ θύρας ἀνεῳγυίας. τρίτον τε καὶ τέταρτον ἀεὶ τοῦ ὑποκειμένου μεῖον ἐς τελευταῖον βραχύτατον περαιοῦται. ἀπεικάσαι τις ἂν τὸ σχῆμα τοῦ κατασκευάσματος 1 φρυκτωρίοις, ἃ τοῖς λιμέσιν ἐπικείμενα, νύκτωρ διὰ τοῦ πυρὸς ἐς ἀσφαλεῖς καταγωγὰς τὰς ναῦς χειραγωγεῖ. φάρους δ' αὐτὰ οἱ πολλοὶ καλοῦσιν. ἐς δὴ τὸ οἴκημα τὸ δεύτερον ἀνακομίσαντες τὴν κλίνην τιθέασιν, ἀρώματά τε καὶ θυμιάματα πάντα ὅσα γῆ φέρει. εἴ τέ τινες καρποὶ ἢ πόαι χυμοί τε, συμβαλλόμενοι πρὸς εὐωδίαν ἀνακομίζονται, καὶ σωρηδὸν χέονται. οὔτε γὰρ ἔθνος, οὔτε πόλις τις, οὔτε τῶν ἐν ἀξιώσει ἢ τιμῇ ὄντων, ὃς μὴ δῶρα ταῦτα ὕστατα πέμπει φιλοτίμως ἐς τιμὴν τοῦ βασιλέως. ἐπειδὰν δὲ μέγιστον χῶμα ἀρθῇ τῶν ἀρωμάτων, πᾶς δὲ ὁ τόπος πληρωθῇ, ἱππασία περὶ τὸ κατασκεύασμα ἐκεῖνο γίγνεται. πᾶν τε τὸ ἱππικὸν τάγμα περιθεῖ κύκλῳ, μετά τινος εὐταξίας καὶ ἀνακυκλώσεως πυρριχίῳ δρόμῳ καὶ ῥυθμῷ. ἅρματά τε περιέρχεται ὁμοίᾳ εὐταξίᾳ, φέροντα τοὺς ἐφεστῶτας, ἠμφιεσμένους μὲν τὰς περιπορφύρους ἐσθῆτας, προσωπεῖα δὲ

1. Ἐπεσκεύαστο δὲ ἐν αὐτῷ, *sc. campo Martio*, πυρὰ πυργοειδὴς ἐλέφαντι καὶ χρυσῷ, μετὰ ἀνδριάντων τινῶν κεκοσμημένη.

περι-

κειμένοις, εἰκόνας ἔχοντα, ὅσοι Ῥωμαίων ἐνδόξως ἐστρατήγησαν, ἢ ἐβασίλευσαν. τούτων δὲ συντελεσθέντων, λαβὼν λαμπάδα ὁ τὴν βασιλείαν διαδεξάμενος, προσφέρει τῷ οἰκήματι, οἵ τε λοιποὶ πανταχόθεν πῦρ περιτιθέασι. πάντα δὲ ῥᾷστα ἀνάπτεται [1] εὐμαρῶς ὑπὸ τοῦ πυρὸς, φρυγάνων τε πλήθους καὶ θυμιαμάτων [2] ἐπιθέντος. ἐκ δὲ τοῦ τελευταίου, καὶ βραχυτάτου κατασκευάσματος, ὥσπερ ἀπό τινος ἐπάλξεως, αἰτὸς ἀφίεται, τῷ πυρὶ ἀνελευσόμενος εἰς τὸν αἰθέρα, ὃς φέρειν ἀπὸ γῆς ἐς οὐρανὸν τὴν τοῦ βασιλέως ψυχὴν πιστεύεται ὑπὸ Ῥωμαίων, καὶ ἐξ ἐκείνου μετὰ τῶν λοιπῶν θεῶν θρησκεύεται.

δ'. Ταύτην δὲ τὴν τιμὴν ἐκθειάσαντες οἱ παῖδες ἐς τὸν πατέρα, ἐπανῆλθον εἰς τὰ βασίλεια. ἐξ ἐκείνου δὲ ἐστασίαζον πρὸς ἀλλήλους, ἐμίσουν τε καὶ ἐπεβούλευον. πάντα τε ἔπραττεν ἑκάτερος, πειρώμενος τὸν ἀδελφὸν ἀποσκευάσασθαι, εἰς αὐτόν τε μόνον περιαγαγεῖν τὴν ἀρχήν. ἐμερίζοντο δὲ καὶ πάντων αἱ γνῶμαι, καὶ ὅσοι ἐν ἀξιώσει ἢ τιμῇ τινι ἦσαν κατὰ τὴν πόλιν. ἰδίᾳ γὰρ αὐτοῖς ἑκάτερος ἐπέστελλέ τε λανθάνων, καὶ ᾠκειοῦτο μεγάλαις ὑποσχέσεσι πρὸς αὐτὸν ἀνηκόντων. καὶ τό γε πλεῖστον μέρος εἰς τὸν Γέταν ἔβλεπε. φαντασίαν γὰρ

norum, principumque illustrium. Quæ ubi celebrata sunt, facem capit imperii successor, eamque tabernaculo admovet. Tum cæteri omnes undique ignem subjiciunt: cunctaque illico fomitibus illis aridis odoramentisque referta, igni valido corripiuntur. Mox ab extremo, minimoque tabernaculo, tanquam è fastigio quodam, simul cum subjecto igni, aquila dimittitur, quæ in cœlum creditur ipsam Principis animam deferre. Ac jam ex illo unà cum cæteris numinibus Imperator colitur.

IV. Ita consecrato parente reversi domum juvenes, discordias quotidie & simultates exercere, insidiari inter se, moliri, parare omnibus modis, atque ea modò uterque in animo habere, quibus alter dolo caperetur: postremò quacunque via grassari ad singulare imperium; ac nihil invicem prætermittere, dum consortem potestatis expungerent. Sed & mentes, animique omnium urbanorum, quicunque honore aliquo aut dignitate præstarent, diversi trahebantur, utroque seorsum literas clanculum missitante, magnisque pollicitationibus sibi homines adjungente. Major tandem pars ad Getam spectabat, quod

1. Alterum hic loci redundat [ῥᾷστα] aut [εὐμαρῶς.]

2. Rectius ἐπιτηδείως quod annotavit Stephanus.

3. Γινομένων δὲ τούτων, αἰετός τις ἐξ αὐτῆς [πυρᾶς] ἀνίπτατο. Sed longum est per singula ire, quare Dionem consule, libro statim citato.

opi-

opinionem nonnullam ostenderet probitatis, moderatumque se & lenem in congressibus præstaret. Studia porrò tractabat honestissima: quippe & disciplinarum laude celebres circa se frequentes habebat, & in palæstra ac reliquis ingenuis exercitationibus versabatur Placidus præterea in omnes, atq; humanus, fama & gloria quadam optima plurimos ad amicitiam, benevolentiamque alliciebat. Contrà verò Antoninus cuncta asperius ferociusque gerebat, atque ab his rebus, quas suprà diximus alienus, militaris vitæ ac bellicæ videri amator affectabat, nihilque non iracundè faciens, minitando quàm suadendo, metu quam benevolentia sibi amicitias quærebat.

V. Sed cùm diu frustra mater discordantes inter se germanos redigere in gratiam studeret, visum aliquando ambobus est Imperium inter se dividere, ne Romæ agitantes, alter alterius essent insidiis opportuni. Quare convocatis paternis amicis, coram ipsa matre de Imperio dividendo disceptabant, sicut Europa omnis Antonino, tellus autem adversa quæ omnis Asia nuncupatur, Getæ adjudicaretur. Ita enim divina quadam providentia, utrumque continentem Propontidos incursu distermìnari. Placebat autem ut Antoninus castra ad Byzantium ha-

τινα ἐπιεικείας ἐπεδείκνυτο, [1] μέτριόν τε καὶ πρᾷον ἑαυτὸν τοῖς προσιοῦσι παρεῖχεν. ἐπιτηδεύμασί τε σπουδαιοτέροις ἐχρῆτο, περιεσπεμμένος τε τοὺς ἐπὶ παιδείᾳ ἐπαινουμένους, ἐσπουδακώς τε περὶ παλαίστραν καὶ γυμνάσια ἐλεύθερα, χρηστός τε ὢν καὶ φιλάνθρωπος τοῖς συνοῦσι, φήμῃ καὶ δόξῃ ἀρίστῃ πλείους εἰς εὔνοιαν καὶ φιλίαν προεκαλεῖτο. ὁ δὲ Ἀντωνῖνος ἐμβριθῶς τὰ πάντα καὶ θυμοειδῶς ἔπραττε. πολὺ δὲ ἀπάγων ἑαυτὸν τῶν προειρημένων, στρατιωτικοῦ τε καὶ πολεμικοῦ βίου ἐραστὴς εἶναι προσεποιεῖτο. ὀργῇ τε πάντα πράττων, καὶ ἀπειλῶν μᾶλλον ἢ πείθων, φόβῳ καὶ οὐκ εὐνοίᾳ φίλους ἐκτᾶτο.

ε'. Ὡς στασιάζοντας δὲ τοὺς ἀδελφοὺς ἐν ἅπασιν οἷς ἔπραττον, μέχρι τῶν εὐτελεστάτων ἔργων ἡ μήτηρ συνάγειν ἐπειρᾶτο. καί ποτε ἔδοξεν αὐτοῖς, ἵνα δὴ μὴ μένοντες ἐν τῇ Ῥώμῃ ἀλλήλοις ἐπιβουλεύοιεν, νείμασθαι τὴν ἀρχήν. συναγαγόντες δὴ τοὺς πατρῴους φίλους, τῆς τε μητρὸς παρούσης, ἠξίουν διαιρεθῆναι τὴν βασιλείαν, καὶ τὰ μὲν ὑπὸ Εὐρώπην πάντα ἔχειν τὸν Ἀντωνῖνον· τὴν δὲ ἀντικειμένην ἤπειρον, Ἀσίαν τε καλουμένην παρὰ Γέτα παραδοθῆναι. οὕτω γὰρ ἔλεγον καὶ θείᾳ τινὶ προνοίᾳ τὰς ἠπείρους διῃρῆσθαι τῷ Προποντίδος ῥεύματι. ἤρεσκε δὲ τὸν μὲν Ἀντωνῖνον ἐπὶ τῷ Βυζαντίῳ ἱδρύ-

1. Angebatur enim Antoninus, *ut ait Victor*, modestiore fratris ingenio, Qui, *referente Spartiano*, in adolescentiâ comis habebatur.

σαι στρατόπεδον, τὸν δὲ Γέταν ἐν Καλχηδόνι τῆς Βιθυνίας, ὡς ἀντικείμενα ἀλλήλοις τὰ στρατόπεδα φρουροίη τε τὴν ἑκατέρου ἀρχὴν, καὶ κωλύοι τὰς διαβάσεις. ἐδόκει τε τῆς συγκλήτου βουλῆς τοὺς μὲν Εὐρωπαίους πάντας ἀπομεῖναι, τοὺς δὲ ἐκεῖθεν ἀπελθεῖν σὺν τῷ Γέτᾳ. τῇ τε βασιλείᾳ τῇ αὐτοῦ αὐτάρκη ἔσεσθαι ὑποδοχὴν ὁ Γέτας ἔλεγεν, ἢ τὴν Ἀντιόχειαν, ἢ τὴν Ἀλεξάνδρειαν, οὐ πολύ τι τῆς Ῥώμης, ὡς ᾤετο, μεγέθει ἀπολειπούσας. τῶν δὲ ὑπὸ μεσημβρίᾳ ἐθνῶν, Μαυρουσίους μὲν καὶ Νομάδας, Λιβύης τε τὰ παρακείμενα, Ἀντωνίνῳ παραδοθῆναι· τὰ δὲ ἐπέκεινα, μέχρις ἀνατολῆς, προσήκειν τῷ Γέτᾳ.

ς'. Ταῦτα δὴ αὐτῶν διατυπούντων, οἱ μὲν ἄλλοι πάντες σκυθρωποῖς προσώποις ἐς γῆν ἔνευον. ἡ δὲ Ἰουλία γῆν μὲν, ἔφη, καὶ θάλασσαν, ὦ τέκνα, εὑρίσκετε ὅπως νείμησθε, καὶ τὰς ἠπείρους, ὥς φατε, τὸ Πόντιον ῥεῖθρον διαιρεῖ· τὴν δὲ μητέρα πῶς ἂν διέλοισθε; καὶ πῶς ἡ ἀθλία ἐγὼ εἰς ἑκάτερον ὑμῶν νεμηθείην ἢ τμηθείην; πρῶτον δὴ ἐμὲ φονεύσατε, καὶ διελόντες ἑκάτερος παρ' ἑαυτῷ τὸ μέρος, θαπτέτω. οὕτω γὰρ ἂν μετὰ γῆς καὶ θαλάττης εἰς ὑμᾶς μερισθείην. ταῦτα δὲ λέγουσα μετὰ δακρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας περιβάλλουσα, καὶ ὑπὸ τὰς ἀγκάλας ἄγουσα συνάγειν ἐπειρᾶτο. πάντας δὲ οἴκτου καταλαβόντος, διελύθη τὸ συνέδριον, ἥ τε σκέψις ἀπεδοκιμάσθη, ἑκάτερός τε εἰς τὰ ἑαυτοῦ βασίλεια ἀνεχώρησε.

beret, Geta verò, in Calchedone Bithyniæ urbe, quæ scilicet opposita inter se utriusque Imperium tuerentur, atque à transmittendo prohiberent. Tum ut è Senatorio ordine quotcunque ex Europa forent, in urbe ipsa remanerent, reliqui Getam sequerentur. Sedes Imperii sui Geta destinabat Antiochiam vel Alexandriam, urbes magnitudine haud longè infrà Romam. Tum ex gentibus ad meridiem habentibus Mauros, Numidasque Antonino concedens, reliquos ad orientem usque Geta sibi asciscebat.

VI. Hæc dum illi agitarent, reliquis omnibus mœsto vultu terram intuentibus, ita Julia mater locuta est. Terram quidem & mare, ô filii, jam invenistis quo pacto dividatis: & continentem utramque, ut dicitis, Pontici discriminant fluctus: matrem verò quonam modo dividetis? Quonam modo infelix ego distribuar inter utrumque vestrum, aut dissecabor? Me primùm igitur occidite, dimidiamque uterque apud se partem sepeliat, ut ego quoque inter vos cum mari terraque ipsa dividar. Hæc locuta multis cum lacrymis ejulatuque manus ambobus injiciens, complexa utrumque reconciliare inter se conabatur. Quare coorta miseratione, cuncti discessere, improbato consilio, ipsique in ædes suas reversi.

VII. Sed gliſcebat indies odium, atque diſcordiæ. Nam ſive duces ac magiſtratus aliqui eligerentur, uterque amico ſuo potiſſimum ſuffragabatur: ſive jus dicerent, ſemper diverſa ſentiebant, magno illorum periculo cuja res agebatur. Pluris enim ſtudium ſuum, quàm jus aut æquum faciebant: etiam in ludis ipſis diverſarum ſemper factionum. Nihil præterea inſidiarum omittebant. Cocos identidem, & pincernas, conati ad veneficia impellere. Quæ ubi tardius procedebant, quod, ſcilicet uterque magna diligentia curaque cibum capeſſerent, poſtremò impatiens Antoninus, atque imperii totius cupidine inſtigatus, deliberat magnum aliquid vel facere, vel pati, ferrumque & cædem molitur.

VIII. Et quando ſecus proceſſerant latentes inſidiæ, neceſſarium putabat periculo omni ac ſpe poſthabita, quovis modo inceptum patrare. Quare irrupto fratris cubiculo, nihil eum tale expectantem

ζ'. Τὸ δὲ μῖσος καὶ ἡ στάσις ηὔξετο. εἴτε γὰρ ἡγεμόνας, ἢ ἄρχοντας ἔδει ποιεῖν, ἑκάτερος τὸν ἑαυτοῦ φίλον προάγειν ἤθελεν. εἴτε δικάζοιεν, τὰ ἐναντία ἐφρόνουν, ἐπ' ὀλέθρῳ τῶν δικαζομένων ἔσθ' ὅτε. πλέον γὰρ ἦν παρ' αὐτοῖς τοῦ δικαίου τὸ φιλόνεικον ἔν τε θεάμασι περὶ τὰ ἐναντία ἐσπούδαζον· πάντα τε εἴδη ἐπιβουλῆς ἐξήρτυον, οἰνοχόους τε καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια φάρμακα. οὐ ῥᾳδίως δὲ αὐτῶν οὐδετέρῳ προεχώρει, ἐπειδὴ μετὰ πολλῆς ἐπιμελείας καὶ φρουρᾶς διῃτῶντο. τέλος δὲ, μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος διέγνω δρᾶσαί τι, ἢ παθεῖν γενναῖον, διὰ ξίφους χωρήσας, καὶ φόνου.

η'. Μὴ προχωρούσης γὰρ τῆς λανθανούσης ἐπιβουλῆς, ἀναγκαίαν ἡγήσατο τὴν κινδυνώδη τε καὶ ἀπεγνωσμένην, [1] τὴν μὲν διὰ στοργὴν, τὴν δὲ δι' ἐπιβουλήν. [2] Γέτας μὲν δὴ τρωθεὶς καιρίως, προχέας τὸ αἷμα τοῖς τῆς

1. Locum hunc deploratæ ſanitatis, ut Stephano & Sylburgio videtur, nemo hactenus in integrum reſtituere conatus eſt; quod quidem adeò diſſimulat Politianus ut in interpretatione omiſerit. Quid ſi ſalvo textu, ſenſu pariter & interpretatione legitimâ, ita poſſit efferri? contulit ſe Antoninus ad inſidias ſummo cum periculo conjunctas, tum propter matris amorem, quo Getam ſc. proſequuta eſt, tum propter Getæ inſidias quas contra moliri ſolitus eſt. Quem ſenſum ita præ ſe ferunt, [τὴν μὲν διὰ στοργὴν, τῆς δὲ δι' ἐπιβουλήν [ut lacunam, quam alii ſuſpicantur, nequaquam videam.

2. Inſidiarum ordo hic erat. Perſuaſit matri Antoninus, ut fratrem in thalamum vocaret, facta reconciliationis ſpe, qui cùm accerſitus veniſſet, à Centurionibus ibidem, Antonini juſſu, collocatis interficitur. Καὶ αὐτὸν, *inquit Dion*, πρός τε τὴν μητέρα προσκαταφυγόντα, καὶ ἀπό τε τοῦ αὐχένος αὐτῆς ἐξαρτηθέντα, καὶ τοῖς τε στήθεσι τοῖς τε μαστοῖς προσφύντα κατέκοψαν ὀλοφυρόμενον καὶ βοῶντα, μῆτερ, μῆτερ, τεκοῦσα, τεκοῦσα, βοήθει, σφάζομαι.

μητρὸς

μητρὸς στήθεσι, μετήλλαξε τὸν βίον. ὁ δ' Ἀντωνῖνος, κατορθωθέντος αὐτῷ τοῦ φόνου, προπηδᾷ τοῦ δωματίου θέων, φερόμενός τε δι' ὅλων τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι, μόλις τε σωθῆναι. τούς τε στρατιώτας, οἳ φρουροῦσι τὰ βασίλεια, ἐκέλευεν αὐτὸν ἁρπάσαντας ἀπάγειν εἰς τὸ στρατόπεδον, ὡς ἂν σωθῇ ἐκεῖ φυλαχθείς. μείνας γὰρ ἐπὶ τῆς βασιλείου αὐλῆς, ἔλεγεν ἀπολεῖσθαι. πιστεύσαντές τε ἐκεῖνοι, τό, τε πεπραγμένον ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ καὶ φερομένῳ συνεξέδραμον πάντες. ταραχή τε κατεῖχε τὸν δῆμον, ὁρῶντα περὶ δείλην, διὰ μέσης φερόμενον τῆς πόλεως δρόμῳ τὸν βασιλέα. ὡς δὲ εἰσέπεσεν εἰς τὸ στρατόπεδον, ἔς τε τὸν νεὼν, ἔνθα τὰ σημεῖα καὶ τὰ ἀγάλματα τοῦ στρατοπέδου προσκυνεῖται, ῥίψας ἑαυτὸν εἰς γῆν, ὡμολόγει τε χαριστήρια, ἔθυέ τε σωτήρια. ὡς δὲ διηγγέλη τοῦτο τοῖς στρατιώταις, ὧν οἱ μὲν ἤδη περὶ λουτρὰ εἶχον, οἱ δὲ ἀνεπαύοντο, πάντες ἐκπλαγέντες συνέθεον. ὁ δὲ προελθὼν, τὸ μὲν πραχθὲν εὐθέως οὐχ ὡμολόγησεν. ἐβόα δὲ πεφευγέναι κίνδυνον καὶ [1] ἐπιβουλὴν πολεμίου καὶ ἐχθροῦ, τὸν ἀδελφὸν λέγων. μόλις τε καὶ μετὰ πολλῆς μάχης τῶν ἐχθρῶν κεκρατηκέναι. κινδυνευσάντων δὲ ἀμφοτέρων κἂν ἕνα ἑαυτὸν βασιλέα τετηρεῖσθαι ὑπὸ τῆς τύχης.

ſupra matris pectus multo undantem ſanguine ſævus obtruncat. Quo facto exilit ſtatim, ac per totam regiam currens, clamitat magnum ſe periculum effugiſſe, vixque evaſiſſe incolumem. Simul imperat militibus regiæ cuſtodibus raperent illico ſe, atque in caſtra deducerent, ubi tutius aſſervetur: periturum dictans ſi diutius in ædibus moram trahat. Illi pro veris ea dicta accipientes, ſimul ignari quæ intus geſta, currentem eum currentes & ipſi comitantur. Fit ingens populi tumultus, raptim agente ſe ſub veſperam principe mediam per urbem. Ut autem caſtra attigit ædiculamque eam, intra quam ſigna ac ſimulacra exercitus adorantur, procidens humi gratias agebat votis quaſi pro ſalute ſuſceptis. Ea re militibus nunciata, partim jam lavantibus, partim requieſcentibus, ſtatim illuc omnes exterriti feruntur. Ille progreſſus in medium, non quidem continuò rem ipſam prout erat geſta fatebatur, ſed effugiſſe periculum clamitabat, inſidiaſque inimici hominis atque hoſtis. Nam ita fratrem appellabat. Vixque tandem poſt longum certamen adverſarios ſuperatos; quippe utriſque periclitantibus, ſe poſtremò unicum imperatorem fortunæ

1. *Poſt fratris mortem in caſtra Prætoria pergens, apud milites conqueſtus eſt circumveniri ſe fratris inſidiis, atque ita fratrem in palatio fecit occidi* Spart. quin poſt fratrem occiſum hoc uno ſe munivit prætextu.

relictum dono. Talia quædam obliquans atque involvens, intelligi quæ feciſſet, quam audiri malebat.

IX. Tum pro ſalute imperioque ſuo ſingulis militibus Atticarum drachmarum duo millia ſupra quingentas pollicetur, prætereaque annonæ ſupra quam ſueti accipere dimidium. Jubet item jam tum ex templis, theſauriſque ſibi ipſos pecuniam ſumere, largiter effuſis uno die quæcunque per duodeviginti annos Severus collegerat atque reconditerat alienis calamitatibus. At milites tanta pecuniæ magnitudine illecti, totoque jam negotio intellecto, vulgata paſſim cæde per eos qui ædibus effugerant, unum illum declarant Imperatorem, Geta hoſte appellato. Igitur ea nocte moratus in templo Antoninus, ac fretus largitionibus, quibus ſibi milites adjunxerat, contendit poſtridie in Senatum, toto ſtipante exercitu, ſed armis inſtructiore, quàm conſuevit Principem deducere. Ingreſſus deinde, ubi rem divinam fecit, conſcendit ſellam Imperatoriam, atque in hunc modum verba facit.

Concio Antonini.

X. Non me quidem fugit, omnem domeſticorum cædem, ſtatim atque auribus inciderit, odioſam videri: nomenque ipſum ut primum audiatur, afferre gravem calumniam. Quippe infelices miſericordia, po-

τοιαῦτα δή τινα πλαγίως ἐμφαίνων, νοεῖσθαι μᾶλλον ἐβούλετο τὰ πραχθέντα ἢ ἀκούεσθαι.

θ'. Ὑπισχνεῖται δὲ αὐτοῖς, ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ μοναρχίας, ἑκάστῳ μὲν στρατιώτῃ διχιλίας καὶ πεντακοσίας δραχμὰς Ἀττικάς. προστίθησι δὲ τῷ σιτηρεσίῳ ἄλλο τοῦ τελουμένου ἥμισυ. κελεύει τε ἀπελθόντας αὐτοὺς ἤδη, ὑποδέχεσθαι ἔκ τε τῶν ναῶν καὶ τῶν θησαυρῶν τὰ χρήματα, μιᾶς τε ἡμέρας ἀφειδῶς ἐκχέας πάντα ὅσα ἔτεσιν ὀκτωκαίδεκα ὁ Σεβῆρος ἤθροισέ τε καὶ κατέκλεισεν ἐξ ἀλλοτρίων συμφορῶν. οἱ δὲ στρατιῶται τοσούτων χρημάτων πλῆθος ἀκούσαντες, καὶ συνέντες τὸ πεπραγμένον, ἤδη τε καὶ τοῦ φόνου διαβοήτου γινομένου ὑπὸ τῶν ἔνδοθεν φευγόντων, μόνον τε αὐτοκράτορα ἀναγορεύουσιν αὐτὸν, καὶ τὸν Γέταν καλοῦσι πολέμιον. ἐπιμείνας δὲ ὁ Ἀντωνῖνος τῆς νυκτὸς ἐκείνης ἐν τῷ νεῷ τοῦ στρατοπέδου, θαῤῥήσας τε, καὶ ταῖς ἐπιδόσεσιν οἰκειωσάμενος τοὺς στρατιώτας, εἰς τὴν σύγκλητον κατῆλθε μετὰ παντὸς τοῦ στρατοῦ, ὡπλισμένου μᾶλλον ἢ ἔθος ἐστὶ βασιλέα προπομπεύειν. εἰσελθὼν δὲ καὶ θύσας, τῶν τε βασιλείων ἐπιβὰς θρόνων, ἔλεξε τοιάδε.

Δημηγορία Ἀντωνίνου.

ι'. Οὐκ ἀγνοῶ μὲν, ὅτι πᾶς οἰκείου φόνος εὐθέως ἀκουσθεὶς μεμίσηται, τό, τε ὄνομα ταῖς ἀκοαῖς ἅμα τῷ προσπεσεῖν, εὐθὺς φέρει χαλεπὴν διαβολήν. τοῖς μὲν γὰρ δυστυχήσασιν ἔλεος, τοῖς δὲ κρατήσασι

τήσασι φθόνος παρακολουθεῖ· καὶ τὸ μὲν ἡττηθὲν τοῖς τοιούτοις ἀδικεῖσθαι, τὸ δὲ νικῆσαν ἀδικεῖν δοκεῖ. πλὴν εἴ τις ὀρθῇ κρίσει, καὶ μὴ διαθέσει τῇ πρὸς τὸν πεσόντα, τὸ πεπραγμένον λογίζοιτο, τήν τε αἰτίαν αὐτοῦ καὶ τὴν ὑπόθεσιν ἐξετάζοι, εὕροι ἂν ὅμως καὶ εὔλογον καὶ ἀναγκαῖον, τὸν μέλλοντα πείσεσθαι δεινὸν, ἀμύνασθαι μᾶλλον ἢ ὑπομεῖναι. τῇ μὲν γὰρ συμφορᾷ τοῦ πεσόντος, καὶ ἀνανδρίας ψόγος παρακολουθεῖ· ὁ δὲ κρατήσας ἅμα τῷ σεσῶσθαι, καὶ δόξαν ἀνδρείας ἀπηνέγκατο. τὰ μὲν οὖν ἄλλα, ὅσα διὰ δηλητηρίων φαρμάκων, καὶ διὰ πάσης ἐνέδρας ἐπεβούλευσέ μοι, ἔνεστιν ὑμῖν καὶ διὰ βασάνων χωρήσασι μαθεῖν. καὶ γὰρ διὰ τοῦτο τοὺς ἐκείνου ἐν τοῖς ὑπηρέταις ἐκέλευσα παρεῖναι, ὅπως εὕρητε τὴν ἀλήθειαν. εἰσὶ δέ τινες αὐτῶν, καὶ ἤδη ἐξετασθέντες, καὶ τῆς ἐξετάσεως ἐπακοῦσαι δύνασθε. τὸ δ' οὖν τελευταῖον, ἐπῆλθέ μοι παρὰ τῇ μητρὶ ὄντι, ξιφήρεις ἔχων τινὰς ἐς τοῦτο παρεσκευασμένους, ὅπερ ἐγὼ προμηθείᾳ πολλῇ καὶ ἀγχινοίᾳ συνεὶς, ἠμυνάμην ὡς πολέμιον, ἐπεὶ μήτε γνώμην ἔτι μήτε ὁρμὴν ἔφερεν ἀδελφοῦ. ἀμύνεσθαί τε αὐτοὺς ἐπιβουλεύοντας οὐ μόνον δίκαιον, ἀλλὰ καὶ συνήθες. αὐτὸς γοῦν ὁ τῆσδε τῆς πόλεως κτίστης Ῥωμύλος οὐκ ἠνέσχετο ἀδελφὸν, ὑβρίσαντα μόνον εἰς τὰ ἐκείνου ἔργα. σιγῶ Γερμανικὸν [1] τὸν

tentes invidia sequitur: ac victus accepisse, victor attulisse injuriam videtur. Cæterum si quis vero magis judicio, quàm studio erga defunctum aliquo, rem ipsam expendat, causamque ejus & consilium exquirat; facilè scilicet inveniet, rectum esse & necessarium, vindicare magis quàm accipere injuriam. Quippe ad occisi calamitatem etiam infamia timiditatis accedit. Victor præterquàm quòd incolumis est, etiam gloriam retulit fortitudinis: ac cætera quidem, quæ sæpe in me cum veneficiis, tum omni genere insidiarum intendit, facilè vobis est exquirere tormentis. Quippe idcirco adesse omnes illius ministros imperavi, ut verum deprehendatis. Sunt autem nonnulli quoque ex his jam torti, quorum exaudire confessionem possitis. Postremò autem cum ego apud matrem forem, venit ille in me, quosdam secum adducens gladiis accinctos. Sed ego re præcognita, ultus hostem sum. Neque enim jam aut fratris mentem gerebat, aut fraterna moliebatur. Ulcisci autem illum, qui prior insidetur, ut justum est, ita usu quoque jam receptum. Quippe ne ipse quidem hujus urbis conditor Romulus germanum pertulit, suis tantum operibus illudentem. Taceo Germanicum Neronis,

1. De exemplo à Romulo petito satis constat, si cætera, quæ adducuntur, utique quadrarent. Nam præterea quòd Germanicum Tiberii fratrem ap-

ac Titum Domitiani fratres. Marcus ipſe philoſophiæ ſimulator ac manſuetudinis, Lucii generi ſui contumeliam non pertulit. Ego verò venenis comparatis in me, gladioque impendente, ultus hoſtem: quippe hoc illi ſua opera nomen imponebant. Vos autem Diis gratias agite, quod alterum vobis principem ſervaverint: neque mentes veſtras in diverſa partiti, ſed unum tantum ſpectantes Imperatorem, vitam ſecuri traducite. Imperium autem Jupiter, ſicut ipſe inter Deos ſolus poſſidet, ita etiam uni tantum mortalium adjudicat.

XI. Hæc locutus magna voce, irarumque plenus, ac truculento vultu illius amicos intuens, trementibus pallentibuſque pleriſque in regiam revertitur. Continuò igitur cœpti occidi domeſtici omnes fratris, atque amici, quique in ædibus habitabant, quas ille incoluerat: miniſtrique item univerſi, ſic ut ne ætati quidem infantium parceretur.

Νέρωνος, καὶ Τίτον τὸν Δομετιανοῦ. Μάρκος αὐτὸς φιλοσοφίαν καὶ ἐπιείκειαν προσποιούμενος, Λουκίου τὴν ὕβριν οὐκ ἤνεγκεν, ὄντος γαμβροῦ, ἀλλ' ἐξ ἐπιβουλῆς αὐτὸν ἀπεσείσατο. ἐγὼ δὲ δηλητηρίων παρεσκευασμένων, ξίφους ἐπηωρημένου τὸν ἐχθρὸν ἠμυνάμην. τοῦτο γὰρ αὐτῷ τοὔνομα ἐδίδου τὰ ἔργα. ὑμᾶς δὲ χρὴ πρῶτον μὲν θεοῖς εἰδέναι χάριν, ὅτι κἂν τὸν ἕτερον ὑμῖν τῶν βασιλέων ἔσωσαν. παύσασθαι δὲ ἤδη τὰς ψυχὰς, καὶ τὰς γνώμας διῃρημένους, εἰς ἕνα δὲ βλέποντας, ἀμερίμνως βιοῦν. βασιλείαν δὲ ὁ Ζεὺς, ὥσπερ αὐτὸς ἔχει μόνος θεῶν, οὕτω καὶ ἀνθρώπων ἑνὶ δίδωσι.

ια'. Ταῦτα εἰπὼν μεγάλῃ βοῇ, θυμοῦ πεπληρωμένος, βλέμματι δριμεῖ ἀφορῶν εἰς τοὺς ἐκείνου φίλους, τρέμοντάς τε καὶ ὠχριῶντας τοὺς πλείστους καταλιπὼν, εἰς τὰ βασίλεια ἀνέδραμεν. [1] εὐθὺς δὲ πάντες ἐφονεύοντο οἱ ἐκείνου οἰκεῖοί τε καὶ φίλοι, καὶ οἱ ὄντες ἐν τοῖς βασιλείοις ἔνθα ἐκεῖνος ᾤκει. ὑπηρέται τε πάντες ἀνῃροῦντο. οὐδέ τις ἦν φειδὼ ἡ-

---

pellet, cùm per adoptionem filius eſſet, nullibi, quod ſciam, proditum eſt Germanicum Tiberio inſidias ſtruxiſſe, aut quoquo modo opprimendum curaſſe; quod tamen noſter innuere videtur. Certè Germanicus ipſe Antiochiæ obiit, non ſine veneni ſuſpicione. Suet. lib. 4. c. 1. Adhæc neque Titus commodè in exemplum ceſſerit, qui, *referente Suet. c. 4. lib. 11. fratrem inſidiari ſibi non deſinentem, ſed pæne ex profeſſo ſollicitantem exercitus, nec occidere, nec ſeponere, ac ne minore quidem in honore habere ſuſtinuit.* Quod ad Marcum attinet v. Spart. in Vero. *Hæc*, inquit, *vitæ diverſitas atque alia multa inter Marcum & Verum ſimultates feciſſe non aperta veritas indicabat; ſed occultius rumor inſuſurrabat.* Deinde Marcum ab omni hujuſce fraudis ſuſpicione liberat.

1. Quos omnes Dion in numerato habet. Τῶν δὲ δὴ Καισαρείων, καὶ τῶν στρατιωτῶν τῶν μετὰ τοῦ Γέτα γενομένων, ἐς δύο μυριάδας παραχρῆμα ἀπέκτεινε, ἄνδρας ἁπλῶς καὶ γυναῖκας, ὥς που τις καὶ ἔτυχεν ἐν τῷ βασιλείῳ ὤν.

λικίας

λικίας, οὔτε μέχρι νηπίων. τὰ δὲ πτώματα φερόμενα μεθ᾽ ὕβρεως, πάσαις ἁμάξαις ἐπιτεθέντα, ἔξω τῆς πόλεως κομισθέντα, σωρηδὸν κατεπίμπρατο, ἢ ὅπως δὴ ἐξερρίπτετο. οὐδεὶς δὲ παρελείπετο, τῶν κἂν μετρίως ἐκείνῳ γνωσθέντων. ἀθληταὶ δὲ καὶ ἡνίοχοι, ὑποκριταί τε πάσης μούσης καὶ ὀρχήσεως, πᾶν τε ὅπερ ἐκεῖνος δι᾽ ἡδονῆς εἶχε θέαμα, ἢ ἄκουσμα, διεφθείρετο. τῆς τε συγκλήτου βουλῆς ὅσοι γένει ἢ πλούτῳ ὑπερεῖχον, ἐπὶ βραχυτάταις ἢ οὐδ᾽ ὑφεστώσαις αἰτίαις, ἐκ τῆς τυχούσης διαβολῆς ὡς ἐκείνου φίλοι ἀνῃροῦντο. τήν τε Κομμόδου ἀδελφὴν, πρεσβῦτιν ἤδη, καὶ πρὸς πάντων βασιλέων, ὡς Μάρκου θυγατέρα, τετιμημένην ἀπέκτεινεν, αἰτίαν ἐπαγαγὼν, ὡς δακρυσάσῃ παρὰ τῇ μητρὶ αὐτοῦ ἐπὶ τῷ παιδὸς φόνῳ. τήν τε γυναῖκα γενομένην ἑαυτοῦ, Πλαυτιανοῦ θυγατέρα, οὖσαν δὲ ἐν Σικελίᾳ, τόν τε ἀνεψιὸν αὐτοῦ, Σεβήρῳ τε ὁμώνυμον, καὶ τὸν [1] Περτίνακος υἱὸν, τῆς τε Κομμόδου ἀδελφῆς Λουκίλλης υἱὸν, καὶ εἴ τι γένος ἦν βασιλικὸν, ἢ ἐν συγκλήτῳ ἐξ εὐπατριδῶν καταβαῖνον, πᾶν ἐξέκοψεν. εἴς τε τὰ ἔθνη πέμπων ἡγεμόνας τε καὶ ἐπιτρόπους, ὡς ἐκείνου φίλους, πάντας διεχειρίσατο. πᾶσα δὲ νὺξ ἔφερε φόνους παν-

Porro ipsa cadavera plaustris omnibus per contumeliam imposita, atque extra urbem exportata, acervatim aut temerè injecta rogis comburebantur. Nec quisquam superfuit ex iis, qui levem modò cum Geta notitiam habuisset. Athletæ etiam, & aurigæ, atque omnifariam histriones, & quicquid denique vel oculis illius, vel auribus jucundum fuerat, passim occidebantur. Præterea Senatorii ordinis quicunque aut nobilitate, aut opibus excellerent, minima quaque de causa, vel planè nulla, quantumlibet levi delatione pro illius amicis interimebantur. Quin & Commodi sororem jam anum, atque ab omnibus Imperatoribus, ut Marci filiam opportuit, magno in honore habitam, morte affecit: causatus quod Getæ necem apud ipsius matrem deflevisset. Et conjugem quondam suam Plautiani filiam, quæ fuerat in Siciliam relegata, ac consobrinum Severo cognominem, filiumque Pertinacis, & Lucillæ Commodi sororis: postremò quicquid ex cognatione Imperatoria, aut in Senatu ex patricia nobilitate supererat, planè quasi ab stirpe abscidit. Ducesque provinciarum universos, ac procuratores, veluti Getæ amicos, neci dedidit: totæque noctes cædendis plurifariam mortalibus impendebantur.

1. Helvium Pertinacem ideò interfectum, quòd, cùm Antoninus plurimos sibi titulos ascripserat, joco dixerit, *Adde, si placet, Geticus Maximus*, quòd Getam occiderat, & Gothi Getæ dicerentur, quos ille tumultuariis aliquot præliis devicerat. *Spart.*

tur.

tur. Sed & Vestales virgines vivas obruit terræ, quasi temerata virginitate. Denique id quod nunquam aliàs factitatum, cùm Circenses spectante eo populus Romanus in aurigam, cui studebat, nescio quid cavillatus esset, ratus sibi contumeliam illatam, repentè omnem exercitum facere impetum jussit in populum, ac raptare & occidere quicunque in aurigam dixissent. Ac milites accepta semel violandi rapiendique potestate, cùm discerni à reliquis nequirent, qui fuerant protervius locuti, nullo scilicet in tanta multitudine verum fatente, passim ut in quemque inciderant, aut occidebant, aut omnibus ereptis, quasi salute redempta, vivos ægrè dimittebant.

XII. His actis stimulante malorum facinorum conscientia, vitamque perosus urbanam; statuit Roma secedere, ut & milites ordinaret, & provincias viseret. Igitur Italia decedens, ad ripas Danubii pervenit, ac partes Imperii Romani Septentrioni subjectas. Ibi aut corpus exercebat aurigando, cædendisque cominus omne genus belluis, aut jus dicebat (rarius id tamen) statimque sententiam ferens, ac respondens, pauculis duntaxat auditis. Cæterum Ger-

τοδαπῶν ἀνθρώπων. τάς τε τῆς Ἑστίας ἱερείας ζώσας κατώρυξεν, ὡς μὴ [1] φυλαξάσας τὴν παρθενίαν. τὸ δὲ τελευταῖον καὶ μήποτε γενόμενον ἔργον, ἱπποδρομίαν μὲν ἐθεᾶτο, ἀπέσκωψε δέ τι τὸ πλῆθος εἰς τὸν ἡνίοχον, περὶ ὃν ἐκεῖνος ἐσπουδάκει. ὁ δὲ οἰηθεὶς αὐτὸς ὑβρίσθαι, κελεύει τῷ πλήθει ἐπεισπεσεῖν τὸ στράτευμα, ἀπάγειν τε καὶ φονεύειν τοὺς κακῶς τὸν ἡνίοχον εἰπόντας. οἱ δὲ στρατιῶται, τὴν βιάζεσθαί τε καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν, οὐκέτι διεκρίνοντο, τίνες ἦσαν οἱ προπετέστερον φθεγξάμενοι. (καὶ γὰρ ἦν εὑρίσκειν ἀδύνατον, ἐν δήμῳ τοσούτῳ, μηδενὸς ὁμολογοῦντος,) ἀφειδῶς τοὺς ἐντυγχάνοντας ἀπάγοντες ἀνῄρουν, ἢ ἀφαιρούμενοι ἅπερ εἶχον, ὥσπερ λύτρα, μόλις ἐφείδοντο.

ιβʹ. Τοιαῦτα δὴ πράττων ὑπό τε τῆς τῶν ἔργων συνέσεως ἐλαυνόμενος, καὶ πρὸς τὴν ἐν τῇ πόλει διατριβὴν ἀπεχθῶς ἔχων, ἀποδημῆσαι τῆς Ῥώμης ἠθέλησεν, ὡς δὴ διοικήσων τὰ ἐν τοῖς στρατοπέδοις, καὶ τὰ ἔθνη ἐποψόμενος. ἀπάρας δὲ τῆς Ἰταλίας, ἐπί τε ταῖς ὄχθαις τοῦ Ἴστρου γενόμενος, διῴκει δὲ τὰ ἀρκτῷα τῆς ἀρχῆς μέρη, γυμνάσια τοῦ σώματος ποιούμενος ἡνιοχείας, καὶ θηρίων παντοδαπῶν συστάδην ἀναιρέσεις· δικάζων μὲν σπανίως, πλὴν νοῆσαι τὸ κρινόμενον εὐθὺς ἦν, εὐθίκτως τε πρὸς τὰ λεχθέντα ἀποκρίνασθαι. ᾠκειώσατο δὲ καὶ πάντας τοὺς ἐ-

---

1. Imo verò quoniam illibatâ erant castitate, quorum una Κλωδία Λαῖτα ὀνομάζετο, ἥτις καὶ μέγα βοῶσα, Οἶδεν αὐτὸς Ἀντωνῖνος ὅτι παρθένος εἰμί, ζῶσα κατωρύγη. Dion.

πέκεινα

πὲ κεῖνα Γερμανοὺς, ἔς τε φιλίαν ὑπηγάγετο, ὡς καὶ συμμάχους παρ' αὐτῶν λαβεῖν, καὶ τοῦ σώματος ἑαυτοῦ φρουροὺς ποιήσασθαι, γενναίους τε καὶ ὡραίους [1] ἀπολεξάμενος. πολλάκις δὲ καὶ τὴν Ῥωμαϊκὴν ἀποθέμενος χλαμύδα, ἠμφιέννυτο τὰ Γερμανῶν περιβλήματα, ἔν τε χλαμύσιν, αἷς εἰώθασιν, ἀργύρῳ πεποικιλμέναις ἑωρᾶτο. κόμας τε τῇ κεφαλῇ ἐπετίθετο ξανθὰς, καὶ εἰς κουρὰν τὴν Γερμανῶν ἠσκημένας. τούτοις δὴ χαίροντες οἱ Βάρβαροι ὑπερηγάπων αὐτόν. ἔχαιρον δὲ αὐτῷ καὶ οἱ Ῥωμαίων στρατιῶται· μάλιστα μὲν διὰ τὰς τῶν χρημάτων ἐπιδόσεις, αἷς ἀφειδῶς προσεφέρετο αὐτοῖς. ὅτι τὸ πᾶν ὡς στρατιώτης ἐπερεπτεῖν, εἴ τε ὄρυγμά τι ὀρύττειν ἔδει, σκάπτων πρῶτος, εἴ τε ῥεῖθρον γεφυρῶσαι, ἢ βάθος χῶσαι, πᾶν δ' ὃ χειρῶν, ἢ καμάτου σώματος, ἔργον, πρῶτος εἰργάζετο, τραπέζαις τε εὐτελῆ παρετίθετο, ἔσθ' ὅτε καὶ ξυλίνοις ἔς ποτὸν καὶ ἐδέσματα χρώμενος σκεύεσιν, ἄρτον τε προσεφέρετο αὐτοσχέδιον. σῖτον γὰρ ἀλήσας τῇ ἑαυτοῦ χειρὶ, ὃ ἤρκει μόνῳ, μᾶζαν τε ποιήσας [2] καὶ ἐπ' ἀνθράκων ὀπτήσας ἐσιτεῖτο. καὶ πάντων μὲν τῶν πολυτελῶν ἀπείχετο· ὅσα δὲ εὐτελέστατα, καὶ τοῖς πενεστάτοις τῶν στρατιωτῶν εὔπορα, τούτοις ἐχρῆτο. συστρατιώτης τε ὑπ' αὐτῶν μᾶλλον ἢ βασιλεὺς καλούμενος χαίρειν προσεποι-

manos illic ſibi omnes adjunxit, atque in amicitiam conciliavit, ſic ut ex his ſocios bellorum, & cuſtodes corporis validiſſimum quemque & pulcherrimum ſibi aſciverit. Sæpè etiam Romano cultu depoſito, veſtem Germanicam induebat, atque in eorum ſagulis argento variegatis conſpiciebatur: etiam flavam capiti cæſariem imponens, ad modum Germanicæ tonſuræ. Quibus læti Barbari mirificè eum diligere: gaudere etiam Romanus miles, quem ſcilicet ille ampliſſimis largitionibus proſequebatur. Ipſe nullum non militiæ munus promtè ſubire: & ſive quid fodiendum foret, primus fodere: ſive flumini imponendus aut extruendus agger, ſive quod opus manuum faciendum, aut labor ſubeundus, primus omnia occupare: tenuique menſa, ac ligneolis poculis, vaſiſque eſculentorum contentus eſſe, panemque etiam temere factum comeſſe. Quippe tritico quantum ſatis uni foret ſua manu molito, maſſaque inde facta, atque in carbonibus decocta, veſci ſolitus; omnia denique elegantiora aſpernari, & viliſſimis quibuſque, ac vel pauperrimo gregarioque militi facillimis uti. Tum commilitonem, quàm principem vocari ſe malle, ac ple-

---

1. Rectiùs [ἐπιλεξάμενον.]
2. Εἰς μὲν τοὺς στρατιώτας φιλαναλώτης ἦν, τοὺς δὲ λοιποὺς πάντας ἀνθρώπους ἔργον εἶχεν ἀποδύειν, περισυλᾶν &c. *Dion.*

runque iter facere, perinde atque ipse pedibus ambulans, raroque vehiculum conscendere aut equum, sibi ipse portare arma: nonnunquam etiam signa militaria longissima, & aureis ornamentis prægravia, ac ne robustissimis quidem militibus facilia, ipse humeris subire. Ob hæc igitur aliaque hujuscemodi, ut hominem militarem, diligere eum suus exercitus, & ut virum fortem admirari. Quippe instar miraculi videbatur, tantulæ hominem staturæ, tantis esse laboribus parem.

XIII. Sed ubi milites apud Danubium ordinavit, atque in Thraciam Macedonibus conterminam discessit, continuò Alexander alter evasit. Nam & memoriam regis ejus omnibus modis renovavit, statuis, imaginibusque nulla non urbe poni jussis, Romamque ipsam, Capitoliumque, & templa universa refersit Alexandri simulacris. Vidimus item imagines nonnullas ridiculè depictas, quæ uno corpore duas facies præ-

εἶτο. τὰ πλεῖστά τε αὐτοῖς συνώδευε περιπατῶν, σπανίως ἅρματος ἢ ἵππου ἐπιβαίνων, τά τε ὅπλα βαστάζων ἑαυτῷ. ἔστι δ' ὅτε καὶ τὰ τῶν στρατοπέδων σύμβολα, καὶ ἐπιμήκη ὄντα καὶ χρυσοῖς ἀναθήμασι πολλοῖς κεκοσμημένα, μόλις ὑπὸ τῶν γενναιοτάτων στρατιωτῶν φερόμενα, ἐπιθεὶς τοῖς ὤμοις ἔφερεν αὐτός. διὰ δὴ ταῦτα καὶ τὰ τούτοις ὅμοια, ὡς στρατιωτικὸς ὑπ' αὐτῶν ἐφιλεῖτο, καὶ ὡς γενναῖος ἐθαυμάζετο. καὶ γὰρ ἦν θαύματος ἄξιον, ἐν μικρῷ πάνυ τὸ μέγεθος σώματι γενναίων πόνων ἄσκησις τοσαύτη.

ιγ'. Ἐπεὶ δὲ τὰ περὶ τῷ Ἴστρῳ στρατόπεδα διῴκησε, κατῆλθέ τε εἰς Θρᾴκην, Μακεδόσι γειτνιῶσαν, [1] εὐθὺς Ἀλέξανδρος ἦν, καὶ τήν τε μνήμην αὐτοῦ παντοίως ἀνενεώσατο, εἰκόνας τε καὶ ἀνδριάντας ἐν πάσαις πόλεσιν ἀναστῆναι ἐκέλευσε. τήν τε Ῥώμην ἐπλήρωσεν ἀνδριάντων καὶ εἰκόνων, ἐν τῷ Καπετωλίῳ, καὶ ἐν ἄλλοις ἱεροῖς [2] τῆς πρὸς Ἀλέξανδρον συναφείας. [3] ἔσθ' ὅπου δὲ καὶ χλεύης εἴδομεν ἀξίας εἰκόνας ἐν γραφαῖς, ἑνὸς σώματος, ὑπὸ περιφερείᾳ κεφαλῆς

1. Alexandrum Magnum ejusque gesta, *inquit Spartianus*, semper in ore habuit.

2. Omisit hæc verba Politianus, quibus aliquid deesse suspicor, quò sensus suppleatur: contextus ratio talem suggerit, viz. quod Antoninus ideo Alexandrum omnibus ferè coleret, propter cognationem quam sibi cum Alexandro intercedere somniavit. *Ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον*, *inquit Dio*, Εῷον Αὔγουστον ἐπεκαλεῖτο, καί ποτε ἐν τῇ βουλῇ ἔγραψεν ὅτι ἐς τὸ σῶμα αὐτοῦ ὁ Αὔγουστος εἰσῆλθεν, *Alex. sc.* ἵνα ἐπειδὴ ὀλίγον τότε χρόνον ἔζω, πλείονα αὖθις δι' ἐκείνου ζήσῃ.

3. Iterum quædam omisit interpres. *Vidimus item imagines nonnullas ridiculè depictas, unius corporis duas dimidiatas facies capitis unius mensurâ circumscriptas.*

μιᾶς,

μιᾶς, ὄψεις ἡμιτόμους δύο, Ἀλεξάνδρου τε καὶ Ἀντωνίνου. προῄει δὲ αὐτὸς ἐν Μακεδονικῷ σχήματι, καυσίαν τε ἐπὶ τὴν κεφαλὴν φέρων, καὶ κρηπῖδας ὑποδούμενος. ἐπιλεξάμενός τε νεανίας καὶ στρατεύσας, Μακεδονικὴν ἐκάλει φάλαγγα· τοῖς τε ἡγουμένοις αὐτῆς [1] φέρειν, τὰ τῶν ἐκείνου στρατηγῶν ὀνόματα. ἀπό τε Σπάρτης μεταπεμψάμενος νεανίας, Λακωνικὸν καὶ [2] Πιτανάτην ἐκάλει λόχον.

ιδ'. Ταῦτα δὲ ποιήσας, τά τε ἐν ταῖς πόλεσι διοικήσας, ὡς ἐνεδέχετο, ἠπείχθη εἰς Πέργαμον τῆς Ἀσίας, χρήσασθαι βουλόμενος [3] θεραπείας τῆς Ἀσκληπιοῦ. ἀφικόμενος δὲ ἐκεῖ, καὶ ἐς ὅσον ἤθελε, τῶν ὀνειράτων ἐμφορηθεὶς, ἧκεν εἰς Ἴλιον. ἐπελθὼν δὲ πάντα τὰ τῆς πόλεως λείψανα, ἧκεν ἐπὶ τὸν Ἀχιλλέως τάφον· στεφάνοις τε κοσμήσας καὶ ἄνθεσι πολυτελῶς πάλιν Ἀχιλλέα ἐμιμεῖτο, ζητῶν τε καὶ Πάτροκλόν τινα, ἐποίησέ τι τοιοῦτον. ἦν αὐτῷ τις τῶν ἀπελευθέρων φίλτατος Φῆστος μὲν ὄνομα, τῆς δὲ βασιλείου μνήμης προεστώς. τούτου ὄντος αὐτοῦ ἐν Ἰλίῳ ἐτελεύτησεν, ὡς μέν τινες ἔλεγον, φαρμάκῳ ἀναιρεθεὶς, ἵν' ὡς μὲν Πάτροκλος ταφῇ, ὡς δὲ

ferrent, Alexandri atque Antonini. Ipse prodibat Macedonico habitu, cauliam gestans, & crepidas: ac lectissimam juvenum manum in exercitu phalangem Macedonicam appellabat, jussis ducibus nomina sibi ducum Alexandri imponere. Præterea juvenes Sparta accitos, Laconicam & Pitanitem centuriam vocabat.

XIV. His igitur actis, atque urbibus prout quæque poterat ordinatis, Pergamum adit, Asiæ civitatem, ut Æsculapii curationibus uteretur. Quò postquam pervenit somniis quamdiu voluit captatis, Ilium mox petiit, & cunctis urbis reliquiis collustratis, ad Achillis tumulum processit. Eoque coronis, floribusque magnificè exornato rursus imitari Achillem cœpit. Sed Patroclum desiderans aliquem, quippiam hujusmodi fecit, libertorum omnium charissimus Festus, à memoria, dum ad Ilium moratur, vita defunctus est, veneno (ut quidam aiebant) extinctus, quo scilicet Patrocli more sepeliretur, (ut alii affirmant) morbo

1. Vide num desit [ἐκέλευε] aut tale quid, verbum enim, quod [φέρειν] præcedat, nullum est.

2. Nominis rationem non tradunt Lexicographi: cohortis elogium habeamus apud *Alex. ab Alex. lib.* 1. *c.* 5. *Inter cæteras*, inquit, *fuit Spartæ cohors Pitaneta, præcipui roboris, quæ ultimo discrimini & ad extremos casus servabatur.* Cui nimirum respondent Romanorum Triarii.

3. Jamdudum secretâ quadam laniena torqueri se Antoninus sensit. ἐνόσει δὲ καὶ τῇ ψυχῇ πικροῖς τισι φαντάσμασι, *inquit Dio*, ideoque, ut suspicari par est, contulit se ad Æsculapii templum. καὶ διὰ τοῦτο, *pergit*, ἐψυχαγώγησε μὲν ὅπως τινὰ ἄκεσιν αὐτῶν λάβῃ.

interceptus. Hujus igitur cadaver efferri juſſit, compluribuſque lignis rogum ſtrui. Dein impoſito in medium, mactatiſque omne genus animalibus ſubjecit ignem, phialamque manu tenens, vinumque libans, ventos precabatur. Cumque eſſet raro capillo, & crinem quæreret, ut imponeret ignibus, deridiculo erat omnibus, cæterùm quos habuit capillos tamen totondit. Laudabat autem ex omnibus ducibus, præcipuè Syllam Romanum, & Afrum Annibalem: quibus etiam ſtatuas atque imagines excitavit.

XV. Decedens autem Ilio, Aſiaque omni & Bithynia, gentibuſque reliquis pertranſitis, atque ubique rebus compoſitis, devenit Antiochiam: ibique exceptus honorificentiſſimè, atque aliquandiu moratus, Alexandriam contendit, prætexens huic itineri deſiderium viſendi urbis ab Alexandro conſtructæ, ſimul conſulendi illorum Numinis, quod egregiè incolæ venerantur: ac ſimulans hæc duo inprimis, re-

ἕτεροι ἔφασκον, νόσῳ διαφθαρείς. τοῦτον κομισθῆναι κελεύει τὸν νέκυν, ξύλων τε πολλῶν ἀθροισθῆναι πυράν. ἐπιθεὶς δὲ αὐτὸν ἐν μέσῳ, καὶ παντοδαπὰ ζῶα κατασφάξας, ὑφῆψέ τε καὶ φιάλην λαβὼν, σπένδων τε [1] τοῖς ἀνέμοις εὔχετο. πάνυ δὲ ὢν ψιλοκόρσης, [2] πλόκαμον ἐπιθεῖναι τῷ πυρὶ ζητῶν ἐγελᾶτο. πλὴν ὧν εἶχε τριχῶν, ἀπεκείρατο. [3] ἐπῄνει δὲ καὶ στρατηγῶν μάλιστα, Σύλλαν τε τὸν Ῥωμαῖον, καὶ Ἀννίβαν τὸν Λίβυν· ἀνδριάντας τε αὐτῶν, καὶ εἰκόνας ἀνέστησεν.

ιε'. Ἀπάρας δὲ τοῦ Ἰλίου, διά τε τῆς ἄλλης Ἀσίας καὶ Βιθυνίας, τῶν τε λοιπῶν ἐθνῶν, κἀκεῖσε διοικήσας τὰ πρακτέα, εἰς τὴν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ τε ὑποδεχθεὶς πολυτελῶς, καὶ διατρίψας χρόνου τινὸς, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο, πρόφασιν μὲν ποιούμενος ποθεῖν τὴν ἐπ' Ἀλεξάνδρῳ κτισθεῖσαν πόλιν, καὶ τῷ θεῷ χρήσασθαι, [4] ὃν ἐκεῖνοι σέβουσιν ἐξαιρέτως. δύο γὰρ ταῦτα ὑπερβαλλόντως προσεποιεῖτο, τήν τε τοῦ θεοῦ θρη-

1. *Ita Augustus Circio, ne Galliam vastaret, sacrum fecit; Calabri Japygi, Apuli vento Arabulo,* &c. v. Alex. ab Alex. lib. 3. c. 22. & ideo Antoninus ut ventos haberet ſecundos.

2. *Græcorum & Æthiopum præcipuus mos, ut comas ad rogum diſſecent, corporique & igni imponant.* idem lib. 3. c. 7. *Qui mos*, alibi inquit in eodem capite, *antiquiſſimus uſque ab Homero traditur, apud quem Patrocli cadaver opertum amicorum ſuperjectis capillis fuit.*

3. Quibus adde, ex Spartiano, Tiberium.

4. Serapin ſc. *ἡ δὲ Ἀλεξάνδρεια διὰ τὸ τοῦ Σεράπιδος ἱερὸν, ἱερά τις ἦν οἰκουμένη. Eunapius.* Quo loco, quamvis obiter, annotamus apud Ægyptios perpetuâ conſtitutione ſervatum, ut nunquam Saturni templa aut Serapidis intra urbem admiſerint, ſed velut pervigiles & excubitores deos extra pomœria collocaverint. *ib. Al. ab Alex.* l. 2. c. 4. *ſub finem.*

σκείαν

σκείαν, καὶ τῆς τοῦ ἥρωος μνήμης. ἑκατόμβας τε οὖν κελεύει παρασκευασθῆναι, ἐναγισμοὺς τε παντοδαπούς. ὡς δὲ ἠγγέλη τῷ τῶν Ἀλεξανδρέων πλήθει, φύσει μὲν ὄντι τὰς γνώμας κουφοτάτῳ, καὶ ἐπὶ τοῖς βραχυτάτοις ῥᾷστα κινουμένῳ, τότε δὲ ἐξεπτόηντο, τὴν τοῦ βασιλέως σπουδήν τε καὶ εὔνοιαν πυνθανόμενοι. ὑποδοχὴ δὲ παρεσκευάζετο, οἵαν μηδενὶ πώποτε βασιλεῖ γενέσθαι φασί. πάσης τε γὰρ μούσης ὄργανα πανταχοῦ διακείμενα ποικίλον ἦχον εἰργάζετο. ἀρωμάτων τε παντοδαπῶν καὶ θυμιαμάτων ἀτμίδες εὐωδίαν παρεῖχον ταῖς εἰσόδοις, δᾳδουχίαις τε καὶ ἀνθέων βολαῖς ἐτίμων τὸν βασιλέα. ὡς δὲ εἰσήλασεν εἰς τὴν πόλιν σὺν παντὶ τῷ στρατῷ, πρῶτον εἰς τὸν νεὼν ἀνελθών, πολλὰς ἑκατόμβας κατέθυσε, λιβάνῳ τε τοὺς βωμοὺς ἐσώρευσεν. ἐκεῖθεν δὲ ἐλθὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν ἔφερεν ἁλουργῆ, δακτυλίους τε οὓς εἶχε λίθων τιμίων, ζωστῆράς τε καὶ εἴ τι πολυτελὲς ἔφερε, περιελὼν ἑαυτοῦ, ἐπέθηκε τῇ ἐκείνου σορῷ. ἃ δὴ ὁρῶν ὁ δῆμος ὑπερέχαιρε, παννυχίζων τε καὶ ἑορτάζων, οὐκ εἰδὼς τὴν τοῦ βασιλέως λανθάνουσαν γνώμην.

ιϛʹ. Ταῦτα γὰρ πάντα ἐκεῖνος ὑπεκρίνατο, βουλόμενος τὸ πλῆθος αὐτῶν διαφθεῖραι. ἡ δ' αἰτία τοῦ λανθάνοντος μίσους τοιάδε τις ἦν. ἀπηγγέλλετο αὐτῷ διατρίβοντι ἐπὶ τῆς Ῥώμης ἔτι, καὶ τοῦ ἀδελφοῦ πε-

ligionem Dei, & Herois memoriam, jubet hecatombas comparari, ac parentationis omne genus. Quod ut primum est Alexandrinæ multitudini nunciatum, levissimæ suapte natura, & omnibus momentis expositæ; studium, benevolentiamque Principis, omnes quasi animorum impotes accipiebant. Igitur ad excipiendum illum se comparabant, quanto nunquam antea honore consueverant. Quippe omnifariam musica instrumenta disposita, ubique varium edebant sonitum. Præterea aromatum ac suffimentorum vapor omne genus aditus cunctos optimis replebat odoribus: tædis præterea & florum sparsionibus honorabat. Sed ubi in urbem jam pervenit, primò quidem templum ingressus est, multisque victimis immolatis, ac thure cumulatis altaribus ad Alexandri monimentum se contulit: paludamentumque purpureum & claris speciosisque gemmis annulos conspicuos, balteumque, & si qua alia gestabat elegantiora, dempta sibi, tum illius imposuit tumulo. Hæc cernentes Alexandrini, læti supra modum, noctibus totis ac diebus festum celebrabant, ignari quid intra ulceratum pectus Imperator occuleret.

XVI. Hæc enim omnia per simulationem faciebat, ut universam illorum multitudinem contrucidaret. Latentis odii causa talis erat. Nunciatum ei fuerat Romæ agenti, vivo adhuc fratre, atque item post extincto,

tincto, multa in ipsum dicere Alexandrinos. Sunt autem homines suapte natura dicaces, atque ad describendum, illudendumque maximè facti, jactantes in optimum quemque & potentissimum dicteria quædam, ut quidem ipsi putant, festiva: ut autem videntur iis in quos dicuntur, longè gravissima. Quippe hujuscemodi jocorum vel maximè illæ permovent, quibus delicti veritas arguitur. Quare quum multa in eum dixissent, ne dissimulata quidem fraterna cæde, matremque Jocastam vulgo appellarent, irriderentque ipsum quod tantulæ homo staturæ Alexandrum atque Achillem, maximos ac fortissimos heroas æmularetur: dum ludere se putant, eo impulerunt Antoninum, hominem suapte natura iracundum, atque sanguinarium, ut perniciem illis, insidiasque moliretur.

XVII. Igitur celebritate ac festo jam peracto, quum videret maximam hominum multitudinem ex vicinis regionibus confluxisse in urbem, monuit edicto, ut in planiciem quandam juventus universa conveniret, velle affirmans, sicuti Ma-

εἰόντος, καὶ μετὰ τὸν ἐκείνου φόνον, ὅτι ἄρα εἶεν πολλὰ εἰς αὐτὸν ἀποσκώψαντες. πεφύκασι δέ πως εἶναι φιλοσκώμμονες, καὶ λέγειν εὐστόχως ὑπογραφὰς ἢ παιδιάς, ἀποῤῥιπτοῦντες εἰς τοὺς ὑπερέχοντας πολλὰ χαρίεντα μὲν αὐτοῖς δοκοῦντα, λυπηρὰ δὲ τοῖς σκωφθεῖσι· τῶν γὰρ τοιούτων κνίζει μάλιστα, ὅσα ἐλέγχει τῶν ἁμαρτημάτων τὴν ἀλήθειαν. πολλὰ τοίνυν αὐτὸν ἐκείνων σκωψάντων ἔς τε τὴν τοῦ ἀδελφοῦ ἀναίρεσιν καὶ τὴν πρεσβῦτιν [1] Ἰοκάστην καλούντων, ἐκεῖνον δὲ χλευαζόντων ὅτι δὴ μικρὸς ὢν, Ἀλέξανδρον καὶ Ἀχιλλέα γενναιοτάτους καὶ μεγίστους ἥρωας ἐμιμεῖτο. τοιαῦτά τινα παίζειν αὐτῶν δοκούντων, ὀλέθρια καὶ ἐπίβουλα κατ᾽ αὐτῶν σκέψασθαι τὸν Ἀντωνῖνον ἀνέπεισαν, φύσει ὄντα ὀργίλον καὶ φονικώτατον.

ιζ΄. Συμπανηγυρείσας, ὡς εἶδε πᾶσαν τὴν πόλιν πλήθους μεγίστου πεπληρωμένην, τῶν ἀπὸ πάσης ἀεὶ τῆς χώρας ἐκεῖ συνελθόντων, [2] διὰ προγράμματος πᾶσαν τὴν νεολαίαν εἰς τι πεδίον κελεύει συνελθεῖν, φήσας εἰς τὴν Ἀλεξάνδρου τιμὴν

1. Propter Antonini nuptias cum matre initas, perditissimæ libidinis fœminâ. *Quæ cum*, referente Spartiano, *esset pulcherrima, & quasi per negligentiam se maxima corporis parte denudasset*, dixissetque Antoninus, *vellem si liceret*, respondisse fertur, *si libet, licet. An nescis Te imperatorem esse & leges dare non accipere ?*

2. Dion aliter rem narrat. μετὰ δὲ τοῦτο, postquàm sc. ab Alexandrinis exciperetur, πάντα τὸν στρατὸν ἐξοπλίσας, ἐς τὴν πόλιν ἐνέβαλε, πᾶσι μὲν τῇδε ἀνθρώποις προπαραγγείλας οἴκοι μένειν, πάσας δὲ τὰς ὁδοὺς, καὶ προσέτι καὶ τὰ τέγη προκαταλαβών.

φάλαγγα

φάλαγγα βούλεται συστῆσαι, ὥσπερ Μακεδονικὴν καὶ Σπαρτιάτιν, οὕτω καὶ τοῦ ἥρωος ἐπωνύμους. κελεύει δὴ στιχηδὸν τοὺς νεανίας πάντας διαστῆναι, ὡς ἂν ἐπελθὼν ἕκαστον ἴδῃ, πῶς τῆς ἡλικίας ἔχοι, καὶ μεγέθους σώματος, καὶ εὐεξίας εἰς στρατείαν ἐπιτηδείου. πιστεύσαντες αὐτοῦ ταῖς ὑποσχέσεσι πιστεύσαντες οἱ νεανίαι πάντες, ἐοικότα τε ἐλπίσαντες διὰ τὴν προϋπάρξασαν παρ' αὐτοῦ [1] ἐς τὴν πόλιν τιμὴν, συνῆλθον, ἅμα γονεῦσί τε καὶ ἀδελφοῖς συνηδομένοις αὐτῶν ταῖς ἐλπίσιν. ὁ δ' Ἀντωνῖνος διεστῶτας αὐτοὺς ἐπιὼν, ἑκάστου ἐφαπτόμενος, καὶ ἄλλο ἄλλου λέγων ἐγκώμιον, παρήει, ἐς ἂν αὐτοὺς οὔτε τι ὁρῶντας, οὔτε προσδοκοῦντας, τὸ στρατιωτικὸν πᾶν ἐκυκλώσατο. ὡς δὲ ἐτεκμήρατο ἤδη αὐτοὺς εἶναι ἔνδον τῶν ὅπλων περιειλημμένους, καὶ ὥσπερ ἐν δικτύοις σεσαγηνευμένους, ἐπελθὼν πάντας, αὐτὸς μὲν ὑπεξέρχεται μεθ' ἧς εἶχε φρουρᾶς περὶ ἑαυτόν. ὑφ' ἑνὶ δὲ σημείῳ προσπεσόντες πανταχόθεν οἱ στρατιῶται, τὴν ἐν μέσῳ πᾶσαν νεολαίαν, καὶ εἴ τινες ἄλλως παρῆσαν, παντὶ τρόπῳ φόνου ἀναιροῦσιν, ὡπλισμένοι τε ἀόπλους, καὶ πανταχόθεν περιειληφότες. τῶν δὲ στρατιωτῶν οἱ μὲν ἐφόνευον ἔξωθεν, οἱ δ' ὤρυττον ὀρύγματα μέγιστα ἕλκοντές τε τοὺς ἐμπίπτοντας ἐνέβαλλον, πληροῦντες σωμάτων, καὶ τὴν γῆν ἐπιχέοντες, μέγιστον ἤγειρον ταχέως πολυάνδριον. πολλοὶ τε καὶ ἡμιθνῆτες εἱλκύσθησαν, ἔτι

cedonicam, Spartanamque habebat, ita etiam in Alexandri honorem ipſius herois cognomento phalangem conſtituere. Jubet igitur conſiſtere juvenes univerſos, relicto intervallo, ut ſingulorum ætatem, ſtaturamque & corporis habitudinem militiæ idoneam conſideraret. His creditis, juvenes, ac veriſimili ſpe ducti, ob inſignem honorem paulò ante exhibitum Principi, conveniunt frequentes una cum parentibus atque germanis lætis gratulantibuſque. At verò Antoninus ſingulos inter ſe diſtantes circumiens, contrectanſque, & aliud in alio laudans præteribat: donec illos, neque id animadvertentes, neque expectantes univerſus circumveniret exercitus. Ut verò conjecturam fecit jam eſſe omnes militum ſuorum armis incluſos, quaſique retibus implicitos, ipſe ſtatim cum ſuo præſidio exceſſit, ac ſignum militibus dedit. Qui ſtatim facto undique impetu, deprehenſam in medio inermem juventutem, cæteroſque qui aderant, magna cæde contrucidant: atque è militibus alii cædem tantùm faciebant, alii foveis ingentibus cadavera obruebant, aggeſtaque deſuper humo immanem tumulum excitarunt. Multi etiam in eas foveas ſemivivi protrahebantur, multi

1. Politianus perperam vertit *poſt exhibitum* [Principi] *honorem*.

adhuc

adhuc integri detrudebantur. Sed & milites nonnulli simul perierunt. Nam qui reliquias adhuc aliquas spiritus retinebant, neque penitus defecti erant viribus, impliciti proruentibus se militibus, eos quoque secum trahebant in foveam. Tanta est autem facta cædes, ut rivis cruoris per planiciem decurrentibus, cum fauces ipsæ Nili ingentes, tum littus omne circa urbem purpurasceret. Quum autem talia adversus illam urbem perpetrasset, indè movit, atque Antiochiam venit.

XVIII. Sed non longo post tempore affectans Parthici cognomen, famamque devictæ ad Orientem Barbariæ, quanquam in altissima pace, tale quiddam machinatur. Dat literas ad Regem Parthorum Artabanum, simulque legatos cum muneribus mittit, materiæ & artis conspicuæ. In eis literis fuerat scriptum, velle se Regis filiam ducere in matrimonium, Principem se esse, & Principe natum, quare haud decorum, privati cujusquam ac tenuis fieri generum, sed Reginam ducere potius, filiamque magni Regis. Duo maxima imperia esse Romanum & Parthicum, quibus affinitate illa in unum coeuntibus, ac nullo jam discriminante fluvio, unam tantùm potentiam

τε ἄβατοι συνεχώσθησαν. ἀλλὰ μὴν καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγοι προσαπώλλυντο. ὅσοι γὰρ ἔτι ἐμπνέοντες, καὶ δυνάμεως μετρίως ἔχοντες, συνωθοῦντο, περιπλεκόμενοι συγκαθεῖλκον αὐτούς. [1] τοσοῦτος δὲ ἐγένετο φόνος, ὡς ῥεέθροις αἵματος διὰ τοῦ πεδίου, τάς τε ἐκβολὰς τοῦ Νείλου μεγίστας οὔσας, τόν τε περὶ τὴν πόλιν αἰγιαλὸν πάντα φοινιχθῆναι. τοιαῦτα δὴ ἐργασάμενος τὴν πόλιν, ἀπάρας εἰς Ἀντιόχειαν ἀφίκετο.

ιη'. Ἐπιθυμήσας δὲ μετ' οὐ πολὺ Παρθικὸς κληθῆναι, καὶ Ῥωμαίοις ἐπιστεῖλαι ὡς χειρωσάμενος τοὺς κατὰ τὴν ἀνατολὴν Βαρβάρους, καίτοιγε οὔσης εἰρήνης βαθείας μηχανᾶται τοιόνδε τι. ἐπιστέλλει τῷ βασιλεῖ Παρθυαίων, (Ἀρτάβανος δ' ἦν ὄνομα αὐτῷ) πέμπει δὲ πρεσβείαν, καὶ δῶρα πάσης ὕλης τε πολυτελοῦς καὶ τέχνης ποικίλης. τὰ δὲ γράμματα ἔλεγεν, ὅτι δὴ βούλεται ἀγαγέσθαι αὐτοῦ τὴν θυγατέρα πρὸς γάμον. ἁρμόζειν δὲ αὐτῷ, βασιλεῖ τε καὶ βασιλέως υἱῷ, μὴ ἰδιώτου τινὸς καὶ εὐτελοῦς γαμβρὸν γενέσθαι, ἀγαγέσθαι δὲ βασιλίδα τε, καὶ βασιλέως μεγάλου θυγατέρα. δύο δὴ ταύτας ἀρχὰς εἶναι μεγίστας τήν τε Ῥωμαίων καὶ τὴν Παρθυαίων, ἃς συναχθείσας κατ' ἐπιγαμίαν, μηκέτι πο-

1. Τοσούτους κατέσφαξεν, ὥστε μηδὲ εἰπεῖν περὶ πλήθους αὐτῶν τολμῆσαι, ἀλλὰ καὶ τῇ βουλῇ γράψαι, ὅτι οὐδὲν διαφέρει πόσοι σφῶν ἢ τίνες ἐτελεύτησαν. πάντες γὰρ τοῦτο παθεῖν ἄξιοι ἦσαν. *Dion.*

τιμῶν διωρισμένας, μίαν ποιήσειν ἀρχὴν ἀνανταγώνιστον. τὰ γὰρ λοιπὰ βάρβαρα ἔθνη, ὅσα νῦν ὑπὸ ταῖς τούτων βασιλείαις, εὐάλωτα ἔσεσθαι αὐτοῖς, κατὰ τὰ ἔθνη καὶ κατὰ τὰ συστήματα ἀρχόμενα. εἶναι δὲ Ῥωμαίοις μὲν πεζὸν στρατὸν, καὶ τὴν διὰ δοράτων σταδίαν μάχην ἀνανταγώνιστον Παρθυαίοις δὲ ἵππον τε πολλὴν, καὶ τὴν διὰ τόξων εὔστοχον ἐμπειρίαν. ταῦτα δὴ συνελθόντα, πάντων τε οἷς πόλεμος κατορθοῦται συμπνεόντων, ῥᾳδίως αὐτοὺς ὑφ᾽ ἑνὶ διαδήματι βασιλεύσειν πάσης οἰκουμένης. τάτε παρ᾽ ἐκείνοις φυόμενα ἀρώματα, ἢ θαυμαζόμενα ὑφάσματα, ἢ παρὰ Ῥωμαίοις μεταλλευόμενα, ἢ διὰ τέχνην ἐπαινούμενα, μηκέτι μόλις, καὶ σπανίζοντα, λανθάνοντά τε δι᾽ ἐμπόρων κομισθήσεσθαι· μιᾶς δὲ γῆς οὔσης καὶ μιᾶς ἐξουσίας, κοινὴν καὶ ἀκώλυτον ἀμφοτέροις τὴν ἀπόλαυσιν ἔσεσθαι.

ιθʹ. Τοιούτοις αὐτοῦ γράμμασιν ἐντυχὼν ὁ Παρθυαῖος, τὰ μὲν πρῶτα ἀντέλεγε, φάσκων οὐχ ἁρμόζειν Ῥωμαίῳ γάμον βάρβαρον. τίνα γὰρ ἔσεσθαι συμφωνίαν ἐν αὐτοῖς, μήτε τῆς ἀλλήλων φωνῆς συνιεῖσιν, ἔν τε διαίτῃ καὶ σκευῇ διαφέρουσιν ἀλλήλων; εἶναι δὲ παρὰ Ῥωμαίοις εὐπατρίδας πολλοὺς, ὧν τινος ἐπιλέξασθαι δύναιτ᾽ ἂν θυγατέρα· παρά τε αὐτῷ Ἀρσακίδας· καὶ μὴ δεῖν μηδέτερον γένος νοθεύεσθαι. τὰ μὲν οὖν πρῶτα τοιαῦτα ἐπιστέλλων, παρῃτεῖτο.

factum iri, nullis expugnabilem viribus. Nam reliquas barbaras nationes, quæ nunc amborum imperiis subjectæ sunt, facilè jugum toleraturas, si proprios gens quæque, & conventus, sit habitura rectores. Esse Romanis pedestrem exercitum qui hastis & stataria pugna cæteros antecellat: Parthis verò equitatum plurimum, peritissimosque sagittarios. His igitur concurrentibus, & quæ usui ad bellum sunt in unum conspirantibus, facilè ipsos sub uno diademate totius orbis terrarum imperium retenturos. Præterea odoramenta, quæ apud illos proveniant, telasque laudatissimas; contráque apud Romanos metalla ipsa & quæcunq; arte aliquâ conspicua visuntur, non jam vix, raróque, & clanculum per mercatores importatum iri: sed in una duntaxat terra unoque imperio, communemque fore utrisque usum rerum omnium, miniméque impeditum.

XIX. His literis Parthus acceptis, primò quidem abnuere: negare, Romano convenire barbarum matrimonium. Quam enim fore concordiam, neque voce satis congruentibus, & victu habituque inter se distantibus? Esse Romæ patricios permultos, quorum sibi ille optare liberos in matrimonium possit: sicuti itidem apud se Arsacidas. Neque ullam sanè extare causam, cur alterutrum genus adulteretur. Hæc igitur à principio rescribens, conditionem aspernabatur.

X X. Sed

XX. Sed instanti Antonino, donisque & jurejurando fidem studii sui, & caritatis uxoriæ facienti, credidit Barbarus: ac pollicitus daturum filiam, generum jam ipsum appellitabat. Cujus rei vulgata mox fama, Barbari scilicet omnes ad Romanum suscipiendum Principem, se comparabant, spe quadam sempiternæ pacis exultantes. Cæterùm Antoninus, prohibente nullo fluvios transgressus, ac jam Parthicam regionem quasi propriam peragrans, sacrificantibus passim universis, supráque coronata altaria odores omnifarios incendentibus, lætum se honore illo Barbarorum magnopere simulabat. Postea verò quàm magno itinere facto, ad ipsam Artabani regiam appropinquabat, occurrit ei Rex in quadam ante urbem planicie, novum nuptum excepturus, generumque suum. Sed Barbarorum magna multitudo, floribus indigenis coronati, atque induti vestes auro diversisque coloribus varias, festum agitabant, ad tibiarum fistularumque & tympanorum sonitus saltantes numerosè. Quippe hujuscemodi tripudiis supra modum delectantur, præsertim cum se emeto largius invitarunt. Sed ubi omnis multitudo confluxit, ac relictis equis pharetrisque & arcubus depositis, inter libamina & calices agitabant, collectique in unum Barbarorum quàm plurimi, temerè inordinatique constiterant, nihil spectantes mali,

κ'. Ἐγκειμένου δὲ τοῦ Ἀντωνίνου, δώροις δὲ πολλοῖς καὶ ὅρκοις τὴν πρὸς τὸν γάμον σπουδὴν τήν τε εὔνοιαν πιστουμένου, πείθεται ὁ Βάρβαρος· καὶ δώσειν τε ὑπισχνεῖτο, καλεῖ τε γαμβρὸν ἐσόμενον. Διαδραμούσης δὲ τῆς φήμης, οἱ μὲν Βάρβαροι εὐτρέπιζον πάντα εἰς τὴν ὑποδοχὴν τοῦ Ῥωμαίων βασιλέως, ἔχαιρόν τε εἰρήνης αἰωνίου ἐλπίδι. ὁ δὲ Ἀντωνῖνος, διαβὰς τοὺς ποταμοὺς, ἀκωλύτως, εἰσελάσας εἰς τὴν Παρθυαίων γῆν, ὡς ἰδίαν ἤδη, πανταχοῦ θυσιῶν αὐτῷ προσαγομένων, βωμῶν τε ἐστεμμένων, ἀρωμάτων καὶ θυμιαμάτων παντοίων προσφερομένων, χαίρειν τοῖς γινομένοις ὑπὸ τῶν Βαρβάρων προσεποιεῖτο. ὡς δὲ προχωρήσας, τό τε πλεῖστον τῆς ὁδοιπορείας ἀνύσας, ἤδη τοῖς βασιλείοις τοῦ Ἀρταβάνου ἐπλησίαζεν, οὐκ ἀναμείνας ὁ Ἀρτάβανος, ὑπήντετο αὐτῷ ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, δεξιούμενος νυμφίον μὲν τῆς θυγατρὸς, γαμβρὸν δὲ αὐτοῦ. πᾶν δὲ τὸ πλῆθος τῶν Βαρβάρων, ἄνθεσι τοῖς ἐπιχωρίοις κατεστεμμένον, ἐσθῆτι χρυσῷ καὶ βαφαῖς διαφόροις πεποικιλμένον, ἑώρταζε. πρός τε αὐλοὺς καὶ σύριγγας, τυμπάνων τε ἤχους, ἐσκίρτων εὐρύθμως. χαίρουσι γὰρ τοιαύτῃ τινὰ ὀρχήσει κινούμενοι, ἐπὰν οἴνου πλείονος ἐμφορηθῶσιν. ὡς δὲ πᾶν συνῆλθε τὸ πλῆθος, τῶν τε ἵππων ἀπέβησαν, φαρέτρας τε καὶ τόξα ἀποθέμενοι, περὶ σπονδὰς καὶ κύλικας εἶχον. πλεῖστον δὲ πλῆθος τῶν Βαρβάρων ἤθροιστο, καὶ ὡς ἔτυχεν, ἀτάκτως εἱστήκει, οὐδὲν μὲν ἄτοπον

προσδο-

προσδοκῶντες, σπεύδων δὲ ἕκαστος ἰδεῖν τὸν νυμφίον. τότε ὑφ' ἑνὶ σημείῳ κελεύει ὁ Ἀντωνῖνος τῷ ἰδίῳ στρατῷ ἐπιδραμεῖν, καὶ φονεύειν τοὺς Βαρβάρους. [1] ἐκπλαγέντες δὲ τῷ πράγματι, πτοούμενοί τε καὶ τιτρωσκόμενοι ἐτράποντο. αὐτὸς μὲν Ἀρτάβανος, ἁρπαγεὶς ὑπὸ τῶν περὶ αὐτὸν δορυφόρων, ἵππῳ τε ἐπιτεθεὶς, ἀπέδρα μόλις μετ' ὀλίγων. τὸ δὲ λοιπὸν πλῆθος ἐκόπτετο τῶν Βαρβάρων, οὔτε τοὺς ἵππους ἐχόντων, οἷς χρῶνται μάλιστα· (ἀποβεβηκότες γὰρ εἱστήκεσαν, ἀνέντες ἐκείνους νέμεσθαι) οὔτε δρόμῳ χρήσασθαι δυναμένων πρὸς φυγὴν, ἐμποδιζούσης αὐτοὺς τῆς περὶ τοῖς ποσὶ χαύνου ἐσθῆτος· φαρέτρας δὲ καὶ τόξα οὐκ εἶχον. τί γὰρ ἔχρῃζον αὐτῶν πρὸς γάμους; πολὺν δὲ ἐργασάμενος ὁ Ἀντωνῖνος φόνον τῶν Βαρβάρων, λείαν τε, καὶ αἰχμαλώτους παμπληθεῖς συλλαβὼν, ἀπῄει, μηδενὸς αὐτῷ ἀνθεστῶτος· κώμας τε καὶ πόλεις ἐμπιπρᾶν δοὺς ἐξουσίαν τοῖς στρατιώταις, ἁρπάζειν τε ἕκαστον, ὃ δύναιτο καὶ ὃ βούλεται αὐτὸς κτήσασθαι.

sed pro se quisque studentes videre novum nuptum: tum signo dato Antoninus militibus imperat, impetum cædemque in Barbaros faciant. Illi, re subita perterriti, cædentibus sauciantibusque Romanis terga obvertunt. Ipse Artabanus à suis stipatoribus raptus, atque equo impositus, vix ægre eque cum paucis fugiens elabitur. Reliqua verò multitudo Barbarorum passim cædebatur. Quippe neque equos habebant, quibus maximè utuntur; (descenderant enim ex iis, pastumque dimiserant) neque ipsi evadere fuga poterant, impediente cursum fluxa veste, ad pedes deducta. Porrò pharetras & arcus omnino non attulerant: nam quid illis opus ad nuptias? Ita ingenti cæde Barbarorum facta, Antoninus prædaque & hominibus magna copia captis discedit, resistente nullo, vicisque & urbibus incensis, data potestate militibus rapiendi, quod quisque posset, aut vellet.

1. Mirum est Dionem tantæ perfidiæ facinus, quod noster fusiùs prosequitur, tam breviter perstringere, hac etiam causâ additâ; Οὔκουν οὐδὲ εἶχον τι ἐξαίρετον περὶ τῶν τότε πραχθέντων συγγράψαι. Quin & de Parthis hoc asserit ὅτι οὐδὲ ἐς χεῖρας αὐτῷ, Antonino sc. ἦλθον, addito insuper ὡς δὲ δὴ καὶ πανταπλῶς αὐτῶν, οὓς μηδὲ ἑωρ. κτλ, κεκρατηκὼς, ἐσεμνύνετο. *Datis enim ad senatum, quasi post victoriam, literis, Parthicus appellatus est.* Spartianus. Non ex re erit afferre quod in excerptis Peirescianis, citante Boeclero, de hoc perfidiæ monstro proditum est, trium sc. gentium vitia, ad quas origo ipsius pertinuit, habuisse. Gallorum τὸ κοῦφον καὶ τὸ δειλὸν καὶ τὸ θρασύ. *Eam enim provinciam Severus legatus administravit.* Afrorum, *ibi enim natus est Severus*, τὸ τραχὺ καὶ ἄγριον. Syrorum τὸ πανοῦργον, *inde quippe erat Julia*, quam Antonini matrem fuisse perperam subindicant hæc excerpta, *Martiâ enim natus est.*

XXI. Hanc igitur calamitatem haud opinatò Barbari acceperunt. Antoninus autem Regionem Parthicam penitus ingressus, defessis jam rapiendo cædendoque militibus, revertitur in Mesopotamiam. Indeque Senatui populoque Romano per literas significat, subactum à se Orientem, cunctosque illius Regni mortales in suam ditionem concessisse. At Senatus, quanquam totius negotii gnarus (quippe Principum res latere nullo pacto possunt) metu tamen atque assentatione cunctos illi honores victoriæ decernunt. Substitit autem post id Antoninus in Mesopotamia studio aurigandi, ac belluarum venationibus intentus.

κα'. Τοιούτῳ μὲν δὴ πάθει ἐχρήσαντο οἱ Βάρβαροι οὐ προσδοκηθέντι. [1] ὁ δὲ Ἀντωνῖνος, ἐπὶ πολὺ τῆς Παρθυαίων γῆς ἐλάσας, ἤδη καὶ τῶν στρατιωτῶν κεκμηκότων ἐν αὐτῷ τῷ ἁρπάζειν καὶ φονεύειν, ἐπανῆλθεν εἰς τὴν Μεσοποταμίαν. ἐκεῖ δὲ γενόμενος, ἐπιστέλλει τῇ τε συγκλήτῳ, καὶ τῷ Ῥωμαίων δήμῳ, πᾶσαν ἀνατολὴν κεχειρῶσθαι, καὶ τῆς ἐπέκεινα βασιλείας πάντας αὐτῷ παρακεχωρηκέναι. ἡ δὲ σύγκλητος, οὐκ ἀγνοοῦντες μὲν τὰ πεπραγμένα (λαθεῖν γὰρ ἔργα βασιλέως ἀδύνατον) πλὴν δέει καὶ κολακείᾳ, ψηφίζονται αὐτῷ πάσας τιμὰς ἐπινικίους. διέτριβε δὲ μετὰ ταῦτα ἐν τῇ Μεσοποταμίᾳ ὁ Ἀντωνῖνος, ἡνιοχείαις σχολάζων, καὶ θηρία παντοδαπὰ ἀναιρῶν.

XXII. Erant præfecti exercituum duo, Audentius & Macrinus: quorum alter senex jam, rerumque civilium planè rudis, haud tamen imperitus rei militaris habebatur: & in foro versatus alter, & legum consultissimus. In hunc igitur ut parum militarem, minimeque fortem virum, publicè nonnunquam Princeps cavillabatur, nec conviciis quidem abstinens. Nam audito illum & victum usurpare liberaliorem & aspernari vilis-

κβ'. Ἦσαν δὲ αὐτῷ ἐπάρχοντες τῶν στρατοπέδων δύο· ὁ μὲν, πρεσβύτης πάνυ, τὰ μὲν ἄλλα ἰδιώτης, καὶ πολιτικῶν πραγμάτων ἀπείρως ἔχων, στρατιωτικὸς δὲ γεγενῆσθαι δοκῶν· Αὔδεντος ὄνομα αὐτῷ. ὁ δὲ ἕτερος, Μακρῖνος μὲν ἐκαλεῖτο, [2] τῶν δὲ ἐν ἀγορᾷ οὐκ ἀπείρως εἶχε, καὶ μάλιστα νόμων ἐπιστήμης. εἰς τοῦτον οὖν, ὡς μηδὲ στρατιωτικὸν, μηδὲ γενναῖον, δημοσίᾳ πολλάκις ἀπέσκωπτε, καὶ μέχρις αἰσχρᾶς βλασφημίας. ἐπεὶ γὰρ ἤκουεν αὐτὸν καὶ

---

1. Ὁ δ' Ἀντωνῖνος ἐπὶ πολὺ τῆς Παρθυαίων γῆς ἐλάσας &c. Zonaras rationem insuper reddit belli Parthis ab Antonino illati ὅτι ὁ Ἀρτάβανος τὴν θυγατέρα ἑαυτοῦ αὐτῷ μνηστευσαμένῳ οὐ παρέσχε αὐτὴν αὐτῷ. Zonar. de imper. Anton.

2. *Fuit in jure non incallidus, adeo ut statuisset omnia rescripta veterum principum tollere, ut jure, non rescriptis ageretur.* &c. Capitolinus.

διαίτῃ

[1] διαίτῃ ἐλευθερίῳ χρώμενον, καὶ τὰ φαῦλα καὶ ἀπερριμμένα τῶν ἐδεσμάτων καὶ ποτῶν μυσαττόμενον, (οἷς ὡς στρατιωτικὸς δὴ ὁ Ἀντωνῖνος ἔχαιρε) χλαμύδιον, ἤ τινα ἄλλην ἐσθῆτα ἀμφιεσάμενον ἀστειοτέραν, εἰς ἀνανδρείαν καὶ θήλειαν νόσον διέβαλλεν, ἀεί τε ἀποκτενεῖν ἠπείλει.

κγʹ. Ἀφόρως οὖν φέρων ὁ Μακρῖνος πάνυ ἤσχαλλε. συνέβη δέ τι καὶ τοιοῦτον· (ἔδει γὰρ ἄρα τέλος λαβεῖν τὸν Ἀντωνίνου βίον) περιεργότερος γὰρ ὤν, οὐ μόνον τὰ ἀνθρώπων πάντα εἰδέναι ἤθελεν, ἀλλὰ καὶ τὰ θεῖά τε καὶ δαιμόνια πολυπραγμονεῖν· ἀεί τε πάντας [2] ὑπώπτευεν ὡς ἐπιβουλεύοντας, χρηστηρίων τε πάντων ἐνεφορεῖτο, τούς τε πανταχόθεν μάγους καὶ ἀστρονόμους τε καὶ θύτας μετεπέμπετο· καὶ οὐδεὶς αὐτὸν ἐλάνθανε τῶν τὴν γοητείαν ταύτην ὑπισχνουμένων. ὑποπτεύων δ' αὐτοὺς ὡς οὐ τἀληθῆ αὐτῷ, ἀλλὰ πρὸς κολακείαν θεσπίζοντας, ἐπιστέλλει Ματερνιανῷ τινι τότε πάσας ὑπ' αὐτοῦ ἐν Ῥώμῃ πράξεις ἐγκεχειρισμένῳ, πιστοτάτῳ εἶναι δοκοῦντι φίλων, καὶ μόνῳ κοινωνῷ τῶν ἀπορρήτων. κελεύει δὲ αὐτῷ, Μάγων τοὺς ἀρίστους ζητήσαντι, νεκυίᾳ τε χρησάμενον, μαθεῖν περὶ τοῦ τέλους τοῦ βίου αὐτοῦ, καὶ μή τις ἄρα ἐπιβουλεύοι τῇ ἀρχῇ.

Ὁ δὲ Ματερνιανὸς, χρησάμενος ἀ-

ſima abjectiſſimaque cibaria, (quibus Antoninus militariter delectabatur,) chlamydemq; & veſtem cæteram ad urbanum modum geſtare, quaſi degenerem ipſum, morboque muliebri laborantem calumniabatur, minitans etiam occiſurum.

XXIII. Quorum impatiens Macrinus, vehementer exacerbatus eſt. Accidit autem res hujuſcemodi (quippe habitura finem aliquando fuerat Antonini vita.) Nàm cum ſuapte natura curioſior eſſet, non hominum modò res cognoſcere ſtudebat, ſed Deorum dæmonumque etiam rimari arcana, metuq; inſidiarum nullis non oraculis incubabat. Accitis undique magis, aſtrologis, haruſpicibus: ac nullo planè præterito, qui hujuſcemodi fallacias profiteretur. Sed eos quoque ſuſpectans, ut parum vera loquentes, omniaque ad aſſentationem vaticinantes, ſcribit ad Maternianum quendam, cui rerum ſuarum omnium curam in urbe crediderat, & quem ſibi ex amicis omnibus fidiſſimum putabat, conſciumque omnium ſecretorum ſolum habuerat; Magos undique optimos conquirat, atq; evocatis manibus de fine ipſius vitæ conſulat, & an quiſquam imperio inſidietur.

At Maternianus, navata Prin-

1. Unde jactavit ὡς ὅτι εὐτελεστάτῃ τῇ διαίτῃ χρῆσθαι δυνάμενος *Dion.*

2. Scribendum videtur ὑποπτεύων, ut perinde ſit ac, ſi dixiſſet χρηστηρίων πάντων ἐνεφορεῖτο. Steph. & eodem modo utitur verbo ἐμφορεῖσθαι ut ſupra τῶν ὀνειράτων ἐμφορηθείς. Id.

cipi opera, ſive id revera manes ſignificaverant, ſive alioqui Macrinum peroſus, reſcribit Antonino, Macrinum eſſe qui inſidietur imperio, eumque è medio tollendum. Has igitur literas, ut mos eſt, cum reliquis obſignatis, dat ignaris quid ferrent tabellariis. Illi conſueta uſi itineris celeritate, ad Antoninum perveniunt: quo ille potiſſimum tempore ad aurigandum ſe parabat, ac jam currum conſcendebat. Ita ei reddunt integrum epiſtolarum faſciculum: in quibus erant etiam literæ quæ ad Macrinum pertinebant. At verò Antoninus, ſtudio jam omni atque animo ad aurigandum intentus, Imperat Macrino ut ipſe literas ſeorſum inſpiciat, ac, ſi quid majoris momenti ſit, renunciet: ſin minus, ipſe de more, ſuum, (hoc eſt præfecti) officium exequatur: quippe talia identidem injungere conſueverat. Ipſe deinde quum hæc mandaſſet, ad ſuum ſtudium perrexit. Macrinus, ſeorſim epiſtolis omnibus ſolutis, etiam in eam incidit quæ ipſi perniciem afferebat. Cognito igitur quantum periculi impenderet, ac gnarus Antonini iracundiæ truculentiæque, præſertim tam ſpecioſo prætextu, ſubtrahit epiſtolam illam: Cæterarum verò (ut ſole-

δεῶς τοῖς ὑπὸ τοῦ βασιλέως κηδευθεῖσιν, [1] εἴτε ὄντως αὐτοῦ δαιμόνων ταῦτα θεσπισάντων, εἴτε ἄλλως συσκευαζόμενος τὸν Μακρῖνον, ἐπιστέλλει τῷ Ἀντωνίνῳ, ἐπιβουλεύειν τῇ ἀρχῇ τὸν Μακρῖνον, καὶ δεῖν αὐτὸν ἀποσκευάσασθαι. ταῦτα τὰ γράμματα ἀποσημηνάμενος, μετὰ καὶ ἑτέρων ἐπιστολῶν, κατὰ τὸ ἔθος, δίδωσι τοῖς διακομίζουσιν, οὐκ εἰδόσιν ἃ φέρουσι. τῷ δὲ συνήθει τάχει τῆς ὁδοιπορίας ἐκεῖνοι χρησάμενοι, ἐφίστανται τῷ Ἀντωνίνῳ. ἤδη τὴν σκευὴν ἡνιόχου ἀνειληφότι, καὶ τοῦ ἅρματος ἐπιβαίνοντι, προσκομίζουσι πάντα τὸν σύνδεσμον τῶν ἐπιστολῶν ἐν αἷς ἦν καὶ τὰ τοῦ Μακρίνου γράμματα. ὁ δ' Ἀντωνῖνος τὴν ὁρμὴν ἤδη, καὶ τὴν γνώμην περὶ τὴν ἱπποδρομίαν ἔχων, κελεύει τῷ Μακρίνῳ, ἀποστάντι, καὶ ἰδιάσαντι, ἐντυχεῖν τοῖς γράμμασι· καὶ εἴ τι ἐπεῖγον εἴη, δηλῶσαι αὐτῷ· εἰ δὲ μή, τὰ ἐξ ἔθους αὐτὸν διοικῆσαι, ὡς ἔπαρχον. πολλάκις δὲ τοῦτο κηδεύειν ἦν συνήθες αὐτῷ. καὶ ὁ μὲν ταῦτα προστάξας, εἴχετο τοῦ προκειμένου. ὁ δὲ Μακρῖνος καθ' αὑτὸν γενόμενος, τὰς μὲν ἄλλας ἐπιλύεται ἐπιστολάς· περιτυχὼν δὲ καὶ τῇ καθ' αὑτοῦ θανατηφόρῳ, ὁρᾷ προὖπτον κίνδυνον ἐπικείμενον. εἰδὼς μὲν τοῦ Ἀντωνίνου τὸν θυμόν, καὶ τὸ φονικὸν ἐπὶ τοιοῖσδε γράμμασι, καὶ πρόφασιν αὐ-

1. Εἴτε ὄντως αὐτοῦ δαιμόνων ταῦτα θεσπισάντων &c. Scribit Zonaras reverâ Macrinum illud vaticinium ab oraculo accepiſſe, ὁ γὰρ (inquit) Μακρῖνος ὁ ἔπαρχος ἐκ μαντείας τινὸς προειρημένον ἔχων αὐτῷ, ὡς αὐταρχήσει, καὶ φοβηθεὶς μὴ διὰ τοῦτο ὑπὸ τοῦ Ἀντωνίνου διαφθαρῇ &c. ib. Zon. de. Imp. Anton.

τῷ

τοῦ εὔλογον ὑπάρχοντος, τὴν μὲν ἐπιστολὴν ὑφαιρεῖται· περὶ δὲ τῶν λοιπῶν ἀπαγγέλλει, ὡς εἶεν συνήθεις. φοβηθεὶς δὲ μὴ καὶ δεύτερον ταῦτα ὁ Ματερνιανὸς ἐπιστείλῃ, δρᾶσαί τι μᾶλλον ἠθέλησεν, ἢ ἀναμείνας, παθεῖν· τολμᾷ δὴ τοιοῦτο. ἦν τις ἑκατοντάρχης (Μαρτιάλιος δὲ ὄνομα αὐτῷ) τῶν σωματοφυλάκων τοῦ Ἀντωνίνου, ἀεὶ παρεπόμενος αὐτῷ· τούτου τὸν ἀδελφὸν, πρὸ ὀλίγων ἡμερῶν ἀνῃρήκει, διαβληθέντα μὲν, οὐκ ἐλεγχθέντα δέ· αὐτὸν δὲ τὸν Μαρτιάλιον ἐνύβρισεν, ἄνανδρον αὐτὸν καὶ ἀγεννῆ καλῶν, καὶ Μακρίνου φίλον. τοῦτον ἐπιστάμενος ὁ Μακρῖνος ἀλγοῦντά τε σφοδρῶς ἐπὶ τῇ τοῦ ἀδελφοῦ ἀναιρέσει, μὴ φέροντά τε τὰς εἰς αὐτὸν ὕβρεις, μεταπέμπεται. ἐθάῤῥει δὲ αὐτῷ, θεραπεύοντί τε αὐτὸν ἄνωθεν, καὶ πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντι. πείθει τε, καιρὸν ἐπιτήδειον παραφυλάξαντα ἐπιβουλεῦσαι τῷ Ἀντωνίνῳ. ὁ δὲ ταῖς τε ὑποσχέσεσι τοῦ Μακρίνου ἀναπεισθεὶς, μισῶν τε ἄλλως, καὶ τιμωρῆσαι θέλων τῷ ἀδελφῷ, πάντα ποιήσειν ἀσμένως ὑπισχνεῖται, καιρὸν ἐπιτήδειον εὑρών.

bat) argumenta Principi renunciat. Sed metuens ne iterum ſuper ejuſcemodi rebus Maternianus reſcriberet, malens facere ipſe aliquid quam expectando pati, tale quiddam comminiſcitur. Erat Martialis quidam, Centurio, unus è cuſtodibus corporis Antonini, ſemper illum aſſectari ſolitus: cujus fratrem paucis ante diebus Princeps delatum tantum, ſed minimè redargutum, occiderat: ipſumque Martialem per contumeliam timidum ac degenerem, & Macrini amicum appellaverat. Hunc vehementer dolentem fratris nece, propriiſque incitatum contumeliis, gnarus omnium Macrinus ad ſe vocat, ſtudioſum jampridem ſui, ac multis obſtrictum beneficiis: cui perſuadet, ut captato quamprimum tempore Antoninum obtruncet. Ille, quùm promiſſis adductus, tum proprio odio, ac vindictæ fraternæ ſtudio incitatus, libenter omnia ſe facturum pollicetur, quum primum occaſio eveniſſet.

κδ'. Συνέβη δὲ μετ' οὐ πολὺ τῆς σκέψεως ταύτης, θελῆσαι τὸν Ἀντωνῖνον, διατρίβοντα ἐν Κάῤῥαις τῆς Μεσοποταμίας, προελθεῖν τῆς [1] βασιλείας, ἀπελθεῖν τε εἰς τὸν νεὼν τῆς Σελήνης, ἣν μάλιστα οἱ ἐπιχώριοι σέβουσιν. ἀφειστήκει δὲ τῆς πόλεως ὁ νεὼς πολὺ,

XXIV. Evenit autem haud multò poſt initum hoc conſilium, ut Antoninus, qui Carris (quæ eſt Meſopotamiæ urbs) agebat, è regiâ prodire & ad Lunæ Templum, quod maximè venerantur indiginæ, proficiſci vellet: procul autem ab urbe illud

1. Τῆς βασιλείας &c. Suſpecta eſt iſta vox cùm Domus regia (quæ Regia potiùs ſine adjectione dicitur) non βασιλεία ſed τὰ βασίλεια aut ſaltem τὸ βασίλειον dicatur. Steph.

lud distabat, ita ut aliquid itineris conficiendum esset: cùm paucis igitur equitibus (ne totum exercitum vexaret) iter faciebat; ut post sacra Deæ facta rediret. Medio autem itinere, ventris exonerandi causâ coactus, quum omnes absistere jussisset, uno famulo comitatus secessit, ut Naturam levaret. Quare, aversis omnibus, & quàm longissimè recedentibus honoris ac reverentiæ causa, Martialis, qui omnes temporum captabat articulos, ut eum solum esse animadvertit, ceu nutu Principis ad videndum aliquid, aut audiendum vocatus, accurrit illico, aversumque & subligacula sibi deducentem pugione trajicit, quem celatum manu attulerat; & cum in ipsam juncturam ferrum incidisset, letali scilicet vulnere, de improviso Antoninus minimè defensus occubuit.

XXV. Quo facto Martialis statim equum inscendit, ac fuga evadere conatur: Cæterùm Germani equites, quibus & delectabatur Antoninus, & custodi-

ὡς ὁδοιποείας χρήζειν. σὺν ἱππεῦσιν οὖν ὀλίγοις, (ἵνα δὴ μὴ πάντα τὸν στρατὸν σκύλλῃ,) τὴν ὁδοιποείαν ἐποιεῖτο, ὡς δὴ θύσας τῇ θεῷ ἐπανέλθοι· κατὰ δὲ τὴν μέσην ὁδὸν, ἐπειχθεὶς ὑπὸ τῆς γαστρὸς, ἀποστῆναι τοὺς πάντας κελεύσας, ἀνεχώρει σὺν ἑνὶ ὑπηρέτῃ, ἀποσκευασόμενος τὰ ἐνοχλοῦντα. πάντες τοίνυν ἀπεστράφησαν, καὶ ὡς πορρωτάτω ἀπήεσαν, τιμὴν καὶ αἰδῶ τῷ γινομένῳ νέμοντες. ὁ δὲ Μαρτιάλιος, τοὺς καιροὺς πάντας παραφυλάττων, ἰδὼν τὸν αὐτὸν μεμονωμένον, ὡς δὴ κληθεὶς ὑπ' αὐτοῦ νεύματι, ὁρῶν τι ἢ ἀκουσόμενος προσέτρεχε· ἐπιστάς τε αὐτῷ, τὰς ἐσθῆτας τῶν μηρῶν καθέλκοντι ἀπεστραμμένῳ, παίει ξιφιδίῳ, ὃ μετὰ χεῖρας ἔφερε λανθάνων. καιρίου δὲ τῆς πληγῆς ἐπὶ τῆς κατακλεῖδος γενομένης, ἀπροσδοκήτως καὶ ἀφυλάκτως ὁ [2] Ἀντωνῖνος ἀνῃρέθη.

κε'. Πεσόντος δὲ αὐτοῦ, [3] πηδήσας ἵππῳ ἔφυγεν ὁ Μαρτιάλιος. Γερμανοὶ δὲ ἱππεῖς, οἷς ὁ Ἀντωνῖνος ἔχαιρε, φρουροῖς τε τοῦ σώματος ἐχρῆτο, οὐ το-

1. Ορῶν τι ἢ ἀκουσόμενος. &c. suspicor scriptum fuisse ὡς ἄν τι ὀψόμενος ἢ ἀκουσόμενος. quoniam eo sensu vertit Politianus. Steph.

2. Ἀντωνῖνος ἀνῃρέθη, cum quo consentit Zonaras οὕτως ἰδίῳ καὶ οὗτος ἀπώλετο, addit insuper ζήσας ἔτη ἐννέα καὶ εἴκοσι, αὐταρχήσας δὲ ἐκ τούτων ἐνιαυτοὺς ἕξ: addit Dion menses duos diesque totidem. Loquitur idem Zonaras de variis Antonini morbis, νοσεῖ δὲ καὶ ἐμφανέσι καὶ ἀρρήτοις ἀρρωστήμασι: & paulo post, ἐπὶ τῆς πλούτης κρυφίοις τισὶ ἔχων δυσαλθέα νόσον, de quo etiam Dion. lib. 77. Ant. Carac. De prodigiis autem, quæ mortem Antonini prædixerunt; consulas tum Zonaram, tum Ælium Spartianum de vitâ Ant. & Dionem lib. 77.

3. Ἐπιπηδήσας, aut potiùs ἐμπηδήσας ἵππῳ videtur scripsisse Herodianus, ut Stephano placet, dicitur etiam alias ἀναπηδῆσαι ἐφ' ἵππον, ut cum ab aliis, tum præcipue à Xenophonte. ib.

σοῦτον

σοῦτον ἀφεστῶτες ἐς ὅσον οἱ λοιποί, πρῶτοί τε ἰδόντες τὸ γινόμενον, διώξαντες τὸν Μαρτιάλιον, κατηκόντισαν. ὡς δὲ καὶ ὁ λοιπὸς στρατὸς εἶδε τὸ πραχθὲν, πάντες συνέδραμον· καὶ πρῶτος ὁ Μακρῖνος, ἐπιστὰς τῷ πτώματι, ὀλοφύρεσθαί τε καὶ θρηνεῖν προσεποιεῖτο. ὅ, τε στρατὸς πᾶς χαλεπῶς καὶ δυσφόρως ἤνεγκε τὸ πραχθέν· συστρατιώτην γὰρ καὶ κοινωνὸν τοῦ βίου, ἀλλ' οὐκ ἄρχοντα ᾤοντο ἀποβεβληκέναι· καὶ οὐδεμίαν πω ἐπιβουλὴν ὕποπτον ἐκ τοῦ Μακρίνου, ᾤοντο δὲ τὸν Μαρτιάλιον οἰκείαν ἔχθραν ἀμύνασθαι. καὶ οἱ μὲν, ἕκαστος εἰς τὰς σκηνὰς ἐπανῆλθον.

κϛ'. Ὁ δὲ Μακρῖνος, πυρὶ παραδοὺς τὸ σωμάτιον, τήν τε κόνιν κάλπῃ τινὶ ἐμβαλὼν, ἔπεμψε τῇ μητρὶ αὐτοῦ καταθάψαι, ἐν Ἀντιοχείᾳ διατριβούσῃ. ἐκείνη δὲ ἐπὶ ταῖς τῶν παίδων ὁμοίαις συμφοραῖς, εἴτε ἑκοῦσα, εἴτε κελευσθεῖσα, ἀπεκαρτέρησε. τοιούτῳ μὲν δὴ τέλει ἐχρήσατο ὁ Ἀντωνῖνος, καὶ ἡ μήτηρ Ἰουλία, βιώσαντες ὡς προείρηται. πᾶς δὲ ὁ χρόνος ἐν ᾧ μόνος ἐβασίλευσεν, ἄνευ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, ἐν ἓξ ἔτεσι συνετελέσθη.

κζ'. Τελευτήσαντος δὲ τοῦ Ἀντωνίνου, ἐν ἀφασίᾳ τε ἦν ὁ στρατὸς, καὶ ἀπορίᾳ τοῦ πρακτέου· ἔμειναν τε ἡμέρας δύο ἀβασίλευτοι ἐζήτουν τε, ὃν ἐπιλέξονται ἄρχοντα. καὶ γὰρ ἠγγέλλετο, μετὰ πολλοῦ πλήθους καὶ δυνάμεως ἐπιὼν Ἀρτάβανος, δίκας ἀπαιτήσων, τιμωρήσων τε τοῖς ἐν σπονδαῖς καὶ εἰρήνῃ ἀνῃρημένοις. αἱροῦνται δὴ βασιλέα, πρῶτον μὲν, Αὐδέντιον, ὡς στρατιωτικὸν

bus corporis utebatur, propiores cæteris, primique facinus conspicati, Martialem consecuti missilibus confodiunt. Quod ubi exercitus reliquus cognovit, omnes subito concurrerunt: primusque Macrinus supra cadaver conqueri, ac delamentari per simulationem cœpit. Gravis ea res, & molesta militibus incidit, commilitonem convictoremque aliquem amisisse, non Principem, existimantibus: neque de Macrino quippiam illis adhuc suboleverat, putantibus Martialem proprias inimicitias persequutum. Ita in sua quisque tabernacula discessere.

XXVI. At Macrinus, tradito igni corpusculo, reliquias intra urnam conjectas matri ad sepulturam remisit: ea tunc Antiochiæ morabatur. Moxque ob similes liberorum calamitates, incertum sponte an Imperio alicujus, mortem sibi conscivit. Hunc finem habuerunt Antoninus & Julia mater, quum quidem ad eum quem diximus modum vixissent: ac sexennium tantum ille sine parente, germanoque suo imperavisset.

XXVII. Extincto Antonino, incerti ignarique quid agerent milites, biduo sine imperatore fuerunt, quærentes inter se quem potissimùm Principem deligerent. Siquidem adventare magnis copiis Artabanus nunciabatur, pœnas exacturus, ac cæsis inter pacem ac libationes missurus inferias. Igitur Principem deligunt, primò quidem Audentium, militarem scilicet

virum, præfectumque non improbum: Sed ille senectutem excusans, abnuit imperium. Dein verò Macrinum, suadentibus potissimum tribunis, quos etiam conscios insidiarum Antonini, ac Macrino participes consilii fuisse, post illius mortem suspicio extitit: quemadmodum in sequentibus dicemus. Suscepit autem Macrinus imperium, non tam benevolentiâ & fide militum fretus, quàm necessitate impulsus, usuque præsenti.

τε, καὶ ἔπαρχον οὐ φαῦλον γενόμενον· ὁ δὲ γῆρας προϊσχόμενος, παρῃτήσατο. μετ' ἐκεῖνον δὲ, τὸν Μακρῖνον, πειθόντων αὐτοὺς χιλιάρχων, οἳ καὶ τῆς ἐπιβουλῆς τοῦ Ἀντωνίνου συνωμόται, καὶ κοινωνοὶ τοῦ Μακείνου γεγενῆσθαι ὑπωπτεύθησαν μετὰ τὴν ἐκείνου τελευτὴν, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. παρέλαβε δὲ τὴν βασιλείαν Μακεῖνος, οὐχ' οὕτως εὐνοίᾳ καὶ πίστει τῶν στρατιωτῶν, ὡς ἀνάγκῃ, καὶ χρείᾳ τοῦ παρόντος.

XXVIII. His actis, jam scilicet Artabanus multis copiis ac viribus aderat, equitatum ingentem, & sagittariorum multitudinem adducens, præterea catapractos camelis insidentes, qui prælongis contis præliarentur. Quo cognito, Macrinus, convocato exercitu, ita loquutus perhibetur.

κη'. Τούτων δὲ πραττομένων, ἐφίσταται ὁ Ἀρτάβανος μετὰ μεγίστου πλήθους καὶ δυνάμεως, ἵππον τε πολλὴν ἄγων καὶ τοξοτῶν μέγα τι πλῆθος, καταφράκτους τε ἀπὸ καμήλων ἔξωθεν μακροῖς δόρασιν. ὡς δ' ἀπηγγέλη προσιὼν, συγκαλέσας τοὺς στρατιώτας ὁ Μακρῖνος, ἔλεξε τοιάδε.

Oratio Macrini.

Δημηγορία Μακρίνου.

XXIX. Dolere vos omnes Principis hujuscemodi, vel (ut verius loquar,) commilitonis interitu, minimè mirandum. Sed calamitates casusque humanos modicè ferre, id verò est prudentium. Cæterùm, illius memoria vestris æternum præcordiis insidebit, atque ad posteritatem propagabitur, rerum fortiter ac magnificè gestarum: prætereà amoris, benevolentiæ-

κθ'. Ἀλγεῖν μὲν ὑμᾶς πάντας ἐπὶ τοιούτου βασιλέως, ἢ (ἵνα τ' ἀληθῆ λέγοιμι) στρατιώτου ἀποβολῇ, θαυμαστὸν οὐδέν. φέρειν δὲ τὰς συμφορὰς, καὶ τὰ προσπίπτοντα μετρίως ὑπομένειν, ἀνθρώπων ἔργον σωφρονούντων. ἡ μὲν γὰρ ἐκείνου μνήμη ἔν τε τοῖς [1] ἡμετέροις στέρνοις ἐγκείσεται, τοῖς τε εἰς ὕστερον παραδοθήσεται, καὶ δόξαν ἀΐδιον φέρουσα, μεγάλων τε καὶ γεν-

1. Politianus legit ὑμετέροις, sed nostram lectionem retinere malim. *Steph.*

γαίων

ναίων ἔργων ὧν ἔδρασε, φίλτρων τε καὶ εὐνοίας, καμάτων τε κοινωνίας τῆς πρὸς ὑμᾶς. νῦν δὴ καιρὸς, τιμήσαντας ὡς χρὴ τὴν μνήμην τοῦ τετελευτηκότος, ἀφοσιωσαμένους τε τὰ πρὸς ἐκεῖνον, ἔχεσθαι τῶν ἐπειγόντων. ὁρᾶτε τὸν Βάρβαρον ἐφεστῶτα σὺν παντὶ τῷ τῆς ἀνατολῆς πλήθει, καὶ δοκοῦντα πρόφασιν εὔλογον ἔχειν ἔχθρας. ἡμεῖς γὰρ αὐτὸν προηκαλεσάμεθα, παρασπονδήσαντες, καὶ ἐν εἰρήνῃ βαθείᾳ πόλεμον ἠγείραμεν. ἤρτηται δὲ νῦν πᾶσα ἡ Ῥωμαίων ἀρχὴ τῆς ὑμετέρας ἀνδρείας τε καὶ πίστεως. οὐ γὰρ περὶ ὅρων γῆς, οὐδὲ ῥεέθρων ποταμῶν ἡ φιλονεικία, περὶ τοῦ παντὸς δὲ πρὸς μέγαν βασιλέα, ὑπὲρ παίδων καὶ συγγενῶν, οὓς ἐκεῖνος ἀδίκως, καὶ παρὰ τοὺς ὅρκους οἴεται ἀνῃρῆσθαι. τά τε οὖν ὅπλα λαμβανώμεθα, καὶ τῇ συνήθει Ῥωμαίοις εὐκοσμίᾳ ταττώμεθα. ἐν γὰρ ταῖς παρατάξεσι, τὸ μὲν τῶν Βαρβάρων ἄτακτον πλῆθος καὶ περισκαίρως ὠθεισμένον, αὐτὸ ἑαυτῷ ἴσως γένοιτ' ἂν ἐναντίον· τὸ δ' ὑμέτερον, εὔτακτόν τε ὂν καὶ συγκεκροτημένον, μετὰ τῆς ἐμπειρίας μαχόμενον, ὑμῖν τε ἔσται σωτήριον, κἀκείνοις ὀλέθριον. μετ' ἀγαθῆς οὖν τῆς ἐλπίδος ἀγωνίζεσθε, ὡς Ῥωμαίοις πρέπει, καὶ συνήθες. οὕτω γὰρ τούς τε Βαρβάρους ἀπώσεσθε ὑμεῖς· καὶ δόξης κλέος ἀράμενοι μέγα, Ῥωμαίοις τε καὶ πᾶσιν ἀνθρώποις δείξετε, τήν τε προτέραν νίκην πιστώσεσθε, ὡς μὴ δόλῳ καὶ ἀπάτῃ παρασπονδήσαντες ἠδικήσατε, ἀλλὰ δι' ὅπλων νικήσαντες ἐκρατήσατε.

que, & communicatorum vobiscum laborum laudem secum deferens sempiternam. Nunc autem postulat tempus, honore habito illius memoriæ, justisque omnibus persolutis, occurrere imminenti periculo. Videtis Barbarum instantem, cum totius Orientis multitudine, ac justas (ut videtur) belli causas præferentem: siquidem nos illum priores lacessivimus, violato fœdere, atque in altissima pace bellum excitavimus. Nunc omne Romanum imperium in virtutem vestram recumbit & fidem. Neque enim de finibus imperii, aut de fluminibus dimicatio nobis adversus magnum Regem, sed de omnibus fortunis est: cum scilicet liberos, atq; consanguineos suos ultum veniat, quos injustè à nobis contraque fœdera occisos arbitratur. Igitur arma capiamus, (atque ut mos Romanis est) ordines in prælio servemus. Quippe in acie Barbarorum incomposita multitudo ac tumultuaria, ipsa se fortasse impediet: Vester autem ordo atque consensus, pugnandique peritia, sicuti vobis salutem, ita hostibus perniciem attulerit. Quapropter, sic velim bene sperantes dimicetis, ut Romanos decet, utque hactenus consuestis. Ita enim & Barbaros ipsos fuderitis; & gloriam insignem adepti, fidem Romanis cæterisque omnibus feceritis, non dolo aut fraude ulla, sed virtute & armis superiorem victoriam à vobis partam.

 XXX. Quæ

XXX. Quæ postquam locutus est, cognita necessitate, milites in ordines se recepere, atque in armis agitabant. Sole autem oriente conspiciunt Artabanum maximas secum copias adducentem. Ut autem solem Barbari de more propitiarunt, confestim edito ingenti clamore concurrunt in Romanos: iisque adequitantes sagittas ingerunt. At Romani, decenti ordine & magnâ cum cautione acie instructa, Maurorumque equitatu per latera disposito, ac receptis per intervalla expeditis militibus, quibus facilis esset excursio, fortiter resistentes, impetum Barbarorum sustinebant: qui scilicet & sagittarum multitudine, & prælongis contis, quibus cataphracti ex equis aut camelis depugnabant, pessimè Romanos accipiebant. Contrà Romani, quoties pedem conferrebant, facilè scilicet adversarios superabant. Postea verò quam ab equitatu & camelorum multitudine premebantur, fuga simulata, tribulos, aliaque machinamenta ferrea acuminata projicebant: quæ sub arenis latentia, neque cuiquam conspecta, perniciem equitibus & camelorum insessoribus afferebant. Quippe illis calcatis, equi, potissimum verò cameli, quoniam huic generi mollissimæ sunt ungulæ, succiduè claudicabant, excussis tergo insessoribus. Cæterum Barbari illi, quamdiu equis aut camelis invehuntur, acerrimè scilicet confligunt: Ubi autem vel descendêre jam, vel excidêre, faciles

λ'. Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, οἱ στρατιῶται τὴν ἀνάγκην τοῦ πράγματος ὁρῶντες, παρετάττοντο, καὶ ἐν τοῖς ὅπλοις ἦσαν. ἅμα δὲ ἡλίῳ ἀνίσχοντι ἐφάνη Ἀρτάβανος σὺν μεγίστῳ πλήθει στρατοῦ. ἀσπασάμενοι δὲ τὸν ἥλιον (ὡς ἔθος αὐτοῖς) οἱ Βάρβαροι, μεγίστῃ τε κλαγγῇ βοήσαντες, ἐπέδραμον τοῖς Ῥωμαίοις, τοξεύοντές τε καὶ καθιππεύοντες. οἱ δὲ Ῥωμαῖοι, εὐτάκτως τε καὶ ἀσφαλῶς συστήσαντες τὰς φάλαγγας, ἑκατέρωθεν τοὺς ἱππεῖς καὶ τοὺς Μαυρουσίους παραταξάντες, τά τε κενὰ πληρώσαντες τῶν κούφως καὶ εὐσταλῶς ἐκτρέχειν δυναμένων, δεξάμενοι τοὺς Βαρβάρους, ἐμάχοντο. καὶ οἱ μὲν Βάρβαροι, τῷ πλήθει τῶν τόξων, τοῖς τε ἐπιμήκεσι δόρασι τῶν καταφράκτων, ἀπό τε ἵππων καὶ καμήλων τιτρώσκοντες αὐτοὺς, μεγάλως ἄνωθεν ἔβλαπτον. οἱ δὲ Ῥωμαῖοι τῶν μὲν συσταδὸν μαχομένων, ῥᾳδίως ἐκράτουν. ἐπεὶ δὲ αὐτοὺς ἥ τε ἵππος πολλὴ οὖσα, καὶ τὸ τῶν καμήλων πλῆθος ἐλυμαίνετο, προσποιούμενοι ἀναχωρεῖν, τριβόλους τε καὶ πολλὰ ἄλλα τεχνάσματα, σιδήρων ὀξυτάτων ἐξοχαῖς προσηκισμένα, ἔρριπτον· παραλανθάνοντα δὲ ἐν ταῖς ψάμμοις, καὶ οὐ καθορώμενα ὑπὸ τῶν ἱππέων, ἢ τῶν καμηλιτῶν, ὀλέθρια ἦν αὐτοῖς. πατοῦντες γὰρ οἱ ἵπποι, αἵ τε κάμηλοι μάλιστα, ἔχουσαι ἁπαλὰ τὰ πέλματα, ὤκλαζον καὶ ἐχώλευον, τούς τε ἐπιβάτας οὓς ἔφερον ἀπεσείοντο. οἱ δὲ ἐπέκεινα Βάρβαροι ἐς ὅσον μὲν ἐποχοῦνται ἵπποις ἢ καμήλοις, γενναίως μάχονται· ἢν δὲ ἀποβῶσιν αὐτῶν, ἢ κατε-

κατενεχθῶσι, ῥᾷστα ἁλίσκονται, μὴ φέροντες τὴν ἐκ συστάσεως μάχην· πρός τε τὸ φυγεῖν, ἢ διῶξαι, εἰ δέοι, ὑπὸ τῆς περὶ τοῖς σκέλεσιν ἐσθῆτος χαύνως παρηωρημένης, ἐμποδίζονται. προτέρας μὲν οὖν καὶ δευτέρας πάσης ἡμέρας ἐξ ἑωθινοῦ εἰς ἑσπέραν ἐμαχέσαντο, καὶ νὺξ ἐπελθοῦσα διέλυσε τὰς μάχας, ἑκάτεροί τε ἐπανῆλθον εἰς τὰ ἑαυτῶν στρατόπεδα, νικᾶν ἀξιοῦντες. τῇ δὲ τρίτῃ ἡμέρᾳ, συνῆλθον εἰς τὸ αὐτὸ πεδίον μαχούμενοι. ἐπειρῶντο δὲ οἱ μὲν Βάρβαροι, πολύ τι τῷ πλήθει τούτων ὑπερέχοντες, κυκλώσασθαι τοὺς Ῥωμαίους, καὶ σαγηνεῦσαι. οἱ δὲ Ῥωμαῖοι οὐκέτι τὰς φάλαγγας ἐς βάθος συνίσταντο, εἰς μῆκος δ' ἐκτείνοντες, ἀεὶ τὸ κυκλούμενον ἐνεπόδιζον. πλῆθος δὲ τοσοῦτον ἀνδρῶν τε καὶ κτηνῶν ἐφονεύθη, ὡς πᾶν πληρωθῆναι τὸ πεδίον, μεγίστους τε σωροὺς πτωμάτων εἰς ὕψος ἀρθῆναι, καὶ μάλιστα τῶν καμήλων ἐπ' ἀλλήλαις πεπτωκυιῶν. πρός τε οὖν τὸ διατρέχειν ἐνεποδίζοντο οἱ μαχόμενοι· οὐκέτι δὲ οὐδὲ καθεώρων ἀλλήλους, μεγάλου ὄντος τοῦ χώματος ἐν μέσῳ, καὶ δυσβάτου ὑπὸ τῶν σωμάτων σεσωρευμένων, ὑφ' οὗ κωλυόμενοι τοῖς ἄλλοις ἐπιέναι, ἕκαστοι ἐπανῆλθον εἰς τὰ ἑαυτῶν στρατόπεδα. [1] ὁ δὲ Μακρῖνος, συνεὶς, ὅτι οὐκ ἄλλως Ἀρτάβανος ἐνθύμως τε μάχεται, καὶ

sunt captu, neque prælium in manibus gerere audent: & si fugiendus aut insequendus sit hostis, crura scilicet fluxa veste præpediuntur. Uno igitur alteroque die à mane ad vesperam pugnatum: Nox prælium diremit, reversique sunt in castra utrique, quasi victores. Tertia die in planiciem pugnaturi convenere. Tentante autem Barbaro, utpote qui numero præstabat circumvenire Romanum, quasique indagine concludere: contra non jam profundiorem, sed in frontem productam constituebant Romani aciem, ac se circumvenire prohibebant. Tanta autem virorum jumentorumque multitudo cecidit, ut omnis compleretur campus, maximique cadaverum acervi in altum attollerentur, præsertim verò camelorum, quæ aliæ super alias procubuerunt. Ergo nec liber pugnantibus cursus erat, nec inter se cernendi copia, velut ingenti quodam, ac vix pervio aggere cadaverum in medium extructo: quo scilicet prohibente transitum ad reliquos, singuli se in sua castra receperunt. At Macrinus, cognito non alia de causa tam acriter ac pertinaciter pugnare Artabanum, nisi quia se pugnare contra Antoninum

1. Ὁ δὲ Μακρῖνος, &c. Scribit Zonaras, Macrinum ab Artabano bis acie victum circa Nisibim; ac tandem pacem magno pretio emere coactum, ὁ Μακρῖνος δὶς ἡττήθη, καὶ ἠναγκάσθη πολλῶν χρημάτων τὴν εἰρήνην ἐκπρίασθαι. Zon. loco cit.

arbitra-

arbitrabatur: (ſolent enim Barbari paulo negotio quaſi fatiſcere, velutique oneri cedere; ſi modò primis congreſſibus parum ex ſententia res geſſerint: tunc autem perſtabant, prælium integraturi cum primum cadavera ſuſtuliſſent ac concremaſſent: ignari periiſſe, qui has inimicitias concitaverat) mittit Parthis legatos, cum literis, quæ declararent occidiſſe Imperatorem, ac debitum ſupplicium luiſſe, qui fœdera & jusjurandum temeraverat: ſibi eſſe à Romanis, quorum ipſum tandem imperium ſit, ſummam rerum traditam. Non placere verò quæ acta forent: Itaque raptivos quicumque ſupereſſent, captaque omnia redditurum: Cupere ſe illum ex inimico amicum facere, pacemque jurejurando ac libaminibus ſancire. Quibus lectis Artabanus, edoctuſque à legatis de Antonini cæde, ſatis dediſſe ſupplicii violatorem fœderis arbitratus, contentuſque reddi ſibi citra ullum cruorem captivos prædamque omnem, fœdus cum Macrino ferit, atque in proprias ſedes revertitur.

XXXI. Sed & Romanus Imperator, deducto ex Meſopotamia exercitu, Antiochiam profectus eſt.

προσμένει, ἀλλ' ἢ οἰόμενος Ἀντωνῖνον μάχεσθαι, (εἰωθότων ἀεὶ τῶν βαρβάρων ῥᾷστα ἀποκάμνειν, ἐθελοκακεῖν τε, εἰ μή τι ἐν ταῖς πρώταις ὁρμαῖς κατορθώσουσι. τότε δὲ προσμενόντων, ὡς ἂν τὴν μάχην ἀνανεώσαιντο, μετὰ τὴν τῶν νεκρῶν ἀναίρεσίν τε καὶ κατάφλεξιν, οὐκ οἰομένων τεθνηκέναι τὸν τῆς ἔχθρας αἴτιον,) πέμπει πρεσβείαν, ἐπιστέλλει τε τῷ Παρθυαίῳ, λέγων, τὸν μὲν περὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἀδικήσαντα βασιλέα τεθνηκέναι, δίκας τε ἀξίας ὧν ἔδρασε δεδωκέναι. Ῥωμαίους δὲ, ὧν ἐστιν ἡ ἀρχὴ, ἑαυτῷ τε τὰ τῆς βασιλείας ἐγκεχειρικέναι. μήτε ἀρέσκεσθαι τοῖς πραχθεῖσιν. αἰχμαλώτους τε τοὺς περιόντας ἀποδοῦναι, χρήματά τε ὅσα ἡρπάγη, ἀποτίσαι· φίλῳ τε ἀντὶ ἐχθροῦ χρῆσθαι, καὶ τὴν εἰρήνην ὅρκοις, καὶ σπονδαῖς βεβαιῶσαι. ὁ δὲ Ἀρτάβανος ταῦτά τε ἀναγνοὺς, καὶ διδαχθεὶς ὑπὸ τῶν πρεσβέων περὶ τῆς Ἀντωνίνου ἀναιρέσεως, αὐτάρκη τιμωρίαν τὸν παρασπονδήσαντα δεδωκέναι νομίζων, [1] τουτέστι θανάτου τοῦ αὐτοῦ τετευχωμένου, ἀγαπῶν τε τοὺς αἰχμαλώτους καὶ τὰ χρήματα ἀναιμωτὶ ἀπολαβεῖν, σπεισάμενος εἰρήνην πρὸς τὸν Μακρῖνον, εἰς τὰ ἑαυτοῦ ἐπανέρχεται.

λα'. Ὁ δὲ τόν τε στρατὸν ἀπαλλάξας τῆς ἐν Μεσοποταμίᾳ διατριβῆς, εἰς τὴν Ἀντιόχειαν ἠπείγετο.

1. Τουτέστι τοῦ θανάτου τοῦ αὐτοῦ τετευχωμένου. Stephano valde ſuſpecta ſunt hæc verba, quorum nec ipſe, nec Politianus, verſionem fecit.

ἩΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΠΕΜΠΤΟΝ.

HERODIANI

LIBER QUINTUS.

BREVIARIUM LIBRI QUINTI.

Opilius [1] Macrinus, per Epistolam rationem rerum gestarum reddens Senatui, ab eodem Imperator declaratur, magno omnium gaudio: sed cùm lentius molliusque Antiochiæ desideret, in offensam & odium militum incidit: à quibus orta seditione proditur, & in Chalcedone Bithyniæ urbe interficitur; superatus à Bassiano: qui solis Sacerdos cùm esset, in castra productus, Antonini filius creditus, ipse quoque Antoninus appellatus, ac Imperator consalutatus fuerat. Is igitur inito Imperio, omni flagitio se & Romanam religionem polluens, Heliogabalum Deum colens, summâ vecordiâ publicè privatimque, in sacris profanisque rebus, debacchabatur. Unde milites illum quoque perosi, interficiunt: ejus in locum Alexandrum, dudùm Cæsarem designatum, substituunt; ac Imperatorem consalutant.

1. *Opilius Macrinus.* Constanter in libris *Opilius*, non *Opelius*; ut in antiquo lapide apud *Onuphrium*: cui consentiunt nummi omnes, in quibus est *Opel.* & Græcè Ὀπιλ. Causab. in annotat. Jul. Capitol. *Severum* se & *Pertinacem* nuncupari voluit, & cùm ipsum *Pium* ac *Felicem* senatus nuncupasset, *Felicis* nomen retinuit, *Pii* recusavit. Ib.

Ὀπτας

Ὅπως μὲν δὴ ὁ Ἀντωνῖνος ἦρξέ τε καὶ ἐτελεύτησε, δεδήλωται ἐν τῷ πρὸ τούτου συγγράμματι, ἥ τε πρὸ τούτου ἐπιβουλὴ καὶ διαδοχή. γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Μακρῖνος, ἐπιστέλλει τῷ τε δήμῳ Ῥωμαίων, καὶ τῇ συγκλήτῳ, λέγων τοιάδε. εἰδόσι μὲν ὑμῖν, τοῦ τε βίου μου τὴν ἐξ ἀρχῆς προαίρεσιν, τοῦ τε τρόπου τὸ πρὸς χρηστότητα ἐπιρρεπές, καὶ τὸ πρᾶον τῆς διοικηθείσης πρότερον πράξεως, οὐ πολύ τι ἐξουσίας καὶ δυνάμεως βασιλικῆς ἀπολειπούσης, (ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς τοῖς ἐπάρχουσι τῶν στρατοπέδων πεπίστευται,) περιττὸν νομίζω μακρηγορεῖν. ἴστε γάρ με καὶ οἷς ἐκεῖνος ἔπραττεν, οὐκ ἀρεσκόμενον, καὶ προσκινδυνεύσαντα ὑμῶν, ἐν οἷς πολλάκις ταῖς τυχούσαις διαβολαῖς πιστεύων, ἀφειδῶς ὑμῖν προσεφέρετο. κἀμὲ μὲν κακῶς ἠγόρευε, καὶ δημοσίᾳ πολλάκις τὸ μέτριόν μου, καὶ πρὸς τοὺς ἀρχομένους φιλάνθρωπον διαβάλλων, καὶ διασκώπτων εἰς ῥᾳθυμίαν καὶ τρόπων χαυνότητα· κολακείαις δὲ χαίρων, καὶ τοὺς εἰς ὠμότητα παροξύνοντας, τῷ τε θυμῷ τὸ ἐνδόσιμον αὐτῷ διδόντας, τήν τε ὀργὴν διαβολαῖς ἐγείροντας, οὗτος καὶ πιστοὺς ἐδοκίμαζε φίλους. ἐμοὶ δὲ ἐξ ἀρχῆς τὸ πρᾶον καὶ μέτριον προσφιλές. τὸν γοῦν πρὸς Παρθυαίους πόλεμον, μέγιστόν τε ὄντα, καὶ ἐφ' ᾧ πᾶσα Ῥωμαίων ἐσάλευεν ἀρχή,

DE Antonini imperio, cædeque, insidiis, ac successione item, superiore libro diximus. Cæterùm Macrinus, ubi Antiochiam pervenit, literas Senatui Populoque Romano misit in hanc sententiam: Quum satis ipsi cognitum habeatis quódnam fuerit meum jam inde à principio totius vitæ institutum, quamque ad benignitatem propensi mores, quæ mansuetudo in ea potestate explicata, quæ non multum abest à principatu (siquidem ipse quoque Imperator fidei se præfecti cohortis credit) supervacuum esse arbitror multis verbis uti apud vos. Nostis enim & ipsi, parum me lætum fuisse iis rebus, quæ ab illo gerebantur: ac sæpe vestri causa periclitatum, dum ille nulli non calumniæ fidem habens, velut effrenus contra vos irrueret. Itaque identidem mihi obtrectare solitus, etiam publicè modestiam in me atq; humanitatem erga mihi subjectos vituperabat, segnem & fluxis moribus vocitans. Quippe homo assentationibus gaudens, quicunq; ipsum ad crudelitatem exacuebant, rabiemq; insitam quasi signo dato provocabant, & calumniis iram excitabant, eos sibi denique benevolos fidosque in primis amicos arbitrabatur. Mihi autem jam inde à principio lenitas & modestia gratæ erant. Igitur Parthicum bellum, longè maximum, & in quo omne Romanum Imperium fluctuaverit, ita

con-

confecimus, ut nec in acie fortiter dimicando hostibus cesserimus: & Regem maximas secum trahentem copias, icto fœdere ex inimico non facilè expugnabili amicum reddiderimus. Porrò me Principe, liberi incruentique omnes vitam agent: magisque optimatium gubernatio hæc erit, quàm principatus. Neque tamen est quod quisquam indignum imperio censeat, aut fortunæ crimen putet esse, quod me, cum essem ex equestri ordine, ad hoc Imperium perduxerit. Nam quò obsecro nobilitas ipsa, nisi morum benignitas adsit, & humanitas? Siquidem fortunæ munera etiam indignis contingunt, Animi virtus propriam cuique gloriam conciliat: & claritas quidem generis, divitiæque, atque id genus reliqua, felices homines reddunt, minimè verò (utpote ab aliis tradita,) laudantur. Lenitas autem ac benignitas, præterquam quod admirationi sint, ad uniuscujusque laudem, qui se rectè gerit, referuntur. Quid enim vobis profuit Commodi nobilitas, aut Antonini paterna successio? Scilicet ejusmodi homines, quasi ipsis debitam hæredi-

καλλιγούμεθα· καὶ ἐν οἷς ἀνδρείως παραταξάμενοι, οὐδέν τι ἡττήμεθα, καὶ ἐν οἷς σπείσαντες, μετὰ πολλῆς δυνάμεως ἐλθόντα μέγαν βασιλέα, πιστὸν φίλον ἀντ' ἐχθροῦ δυσμάχου ἐποιήσαμεν. ἐμοῦ δὲ κρατοῦντος, ἐν ἀδείᾳ τε καὶ ἀναιμωτὶ πάντες βιώσονται· ἀριστοκρατία τε μᾶλλον ἢ βασιλεία νομισθήσεται. [1] μηδέ τις ἀπαξιούτω, ἢ τύχης παῖσμα νομιζέτω, ὅτι δὴ ὄντα με ἐκ τῆς ἱππάδος τάξεως, ἐπὶ τοῦτο ἤγαγε. τί γὰρ ὄφελος εὐγενείας, εἰ μὴ χρηστὸς καὶ φιλάνθρωπος συνοικεῖ τρόπος; τὰ μὲν γὰρ τῆς τύχης δῶρα καὶ ἀναξίοις περιπίπτει· ἡ δὲ τῆς ψυχῆς ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν. εὐγένεια δὲ καὶ πλοῦτος καὶ ὅσα τοιαῦτα, μακαρίζεται μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ' ἄλλου δοθέντα· ἐπιείκεια δὲ καὶ χρηστότης, ἅμα τὸ θαυμάζεσθαι, καὶ τὴν ἐπαίνων τὴν ἀναφορὰν εἰς αὐτὸν τινα ἔχει τὸν κατορθοῦντα. τί γοῦν ὑμᾶς ὤνησεν ἡ Κομμόδου εὐγένεια, ἢ Ἀντωνίνου ἡ πατρῴα διαδοχή; οἱ μὲν γὰρ ὥσπερ ὄφλημα κληρονομίας εἰληφότες, ἀποχρῶνταί τε καὶ

1. Μηδέ τις ἀπαξιούτω &c. ὅτι δὴ ὄντα με ἐκ τῆς ἱππάδος [illegible] &c. ita Capitol. Occiso Antonino Bassiano. Opilius Macrinus præfectus, imperium arripuit, humili loco natus, &c. Sed (ut in eundem locum notat Causab.) origo illi ne equestris quidem fuit, nam serò tandem jure aureorum annulorum donatus est, ut ex Aurel. Victo. constat, cujus verba sic se habent. *Macrinum libertinum, hominem prostibulum, servilibus officiis occupatum in domo imperatoria, venali fide, vitâ sordidâ sub Commodo, à Severo remotum etiam à sordidissimis officiis, lectioni operam dedisse, egisse causulas, declamasse, jus postremò dixisse, donatum tandem aureis annulis* &c. ἦν (inquit Zon. & Xiph.) οὐκ [illegible] τὸ μὲν γένος [illegible] γονέων ἀδοξοτάτων ἦν.

ἐνυβρίζουσιν, ὡς ἄνωθεν ἰδίῳ κτήματι· οἱ δὲ παρ' ὑμῶν λαβόντες, χάριτός τε ἀϊδίου εἰσὶ χρεῶσται, καὶ πειρῶνται ἀμείψασθαι τοὺς εὐεργεσίαις προειληφότας. καὶ τῶν μὲν εὐπατριδῶν βασιλέων τὸ εὐγενὲς, εἰς ὑπεροψίαν ἐκπίπτει, καταφρονήσει τῶν ὑπηκόων, ὡς πολὺ ἐλαττόνων[1] οἱ δὲ ἐκ μετρίων πράξεων εἰς τοῦτο ἐλθόντες, περιέπουσιν αὐτὸ, ὡς καμάτῳ κτηθὲν αἰδῶ τε καὶ τιμὴν ἀπονέμουσιν, ἣν εἰώθεσαν τοῖς ποτε κρείττοσιν. ἐμοὶ δὲ σκοπὸς μηδέν τι πράττειν ἄνευ τῆς ὑμετέρας γνώμης· κοινωνούς τε καὶ συμβούλους ἔχειν τῆς τῶν πραγμάτων διοικήσεως. ὑμεῖς δὲ ἐν ἀδείᾳ καὶ ἐλευθερίᾳ βιώσεσθε, ὧν ἀφῃρέθητε μὲν ὑπὸ τῶν εὐπατριδῶν βασιλέων· ἀποδοῦναι δὲ ὑμῖν ἐπειράθησαν, πρότερον μὲν Μάρκος, ὕστερον δὲ Περτίναξ, ἐξ ἰδιωτικῶν σπαργάνων ἐπὶ τοῦτο ἐλθόντες. γένους γὰρ ἔνδοξον ἀρχὴν αὐτὸν παρασχεῖν, καὶ τῷ ὑστέρῳ γένει ἄμεινον, ἢ κλέος προγονικὸν παραλαμβάνοντα, τρέψαι φαυλότητι καταισχῦναι.

β. Ἀναγνωσθείσης δὲ τῆς τοιαύτης ἐπιστολῆς, εὐφημεῖ τε αὐτὸν ἡ σύγκλητος, καὶ τὰς σεβασμίους τιμὰς πάσας ψηφίζεται. οὐχ[2] οὕτω δὲ εὐ-

tatem adepti, veluti proprio patrimonio per contumeliam abutuntur: qui autem à vobis imperium acceperunt, veluti in perpetuum obstricti, etiam referre gratiam pro meritis enituntur. Ad hæc, patricia Principum nobilitas sæpenumerò in superbiam vertit, despectis omnibus, velut inferioribus At qui modestiæ experimento ad imperium asciscuntur, quasi partum labore tuentur; semper verentuque & colunt quos consueverant. Mihi sanè decretum est, nihil sine autoritate vestra gerere, ac vos participes consiliariosque habere Reipublicæ gerendæ. Vivetisque pro arbitrio vestro in libertate illa, quam vobis antehac à patriciis Imperatoribus ereptam, Marcus, dein Pertinax, restituere conati sunt, ambo ad Imperium privatis cunabulis innutriti: quippe generis initia clara posteris relinquere ipsum præstat, quàm accepta à majoribus, fœdis moribus contaminare.

II. Hac lecta epistola, conclamatum à Senatu universo, nullique non honores augustorum Macrino decreti. Neque verò tantopere lætus Senatus

1. Politianus hæc malè interpretatur, non animadvertens πράξεων] eum habere usum quem paulò ante habuit πράξειν, & post habebit πράξ. Intellige autem ex mediocribus administrationibus &c. Steph.

2. Οὐχ οὕτω δὲ εὐθύμως &c. Quoniam in senatu omnibus uni vox erat, Quemvis magis quam Parricidam, quemvis magis quam incestum, quemvis magis quam impurum, quemvis magis quam interfectorem & sena-

Macri-

Macrini ſucceſſione fuit, quàm vulgò univerſi gratulabantur extinctum Antoninum. Nam ut quiſque autoritate aliqua, aut dignitate præcellebat, ita maximè imminentem ſuis cervicibus depuliſſe gladium arbitrabatur. Delatores autem & ſervi omnes, quicunque dominos detulerant, patibulo ſuffixi: totaque urbs, atque adeò Romanum Imperium ſceleratis hominibus perpurgatum, partim ſupplicio affectis, partim exilio mulctatis. Quod ſi qui tamen latuerunt metu quieſcentium, etiam ipſi libertatis quandam imaginem præferebant, anno duntaxat uno, quo Macrinus Imperium obtinuit. Quippe hoc tantum peccavit, quòd non exercitum illicò dimiſit, atque unoquoque domum reverti juſſo, ipſe Romam ſui cupidam ſtatim non petiit, vocante populo quotidie ſe, ac Macrinum vociferante: ſed Antiochiæ morabatur, barbam nutriens & incedens, quàm ſolebat lentius, tardiſſimeque; ac vix adeuntibus ſe reſpondens, adeoque interdum ſubmiſſa voce, ut ne exaudiri quidem poſſet. Hæc enim demum ſibi de Marci moribus imitanda propoſuerat, cum ad illius reliquam vitam

φρανθῆναι πάντας τῇ Μακρίνου διαδοχῇ, ὡς ὑπερήσθησάν τε καὶ πανδημεὶ ἑώρταζον ἐπὶ τῇ Ἀντωνίνου ἀπαλλαγῇ. ἕκαστός τε ᾤετο μάλιστα τῶν ἐν ἀξιώσει τινὶ ἢ πράξει καθεστώτων, ξίφος ἀποσεσεῖσθαι τοῖς αὐχέσιν ἐπαιωρούμενον. συκοφάνται τε ἢ δοῦλοι, ὅσοι δεσπότας κατήγγελλον, ἀνεσκολοπίσθησαν. πᾶσα δὲ ἡ Ῥωμαίων πόλις, καὶ σχεδὸν ἡ ὑπὸ Ῥωμαίους οἰκουμένη, καθαρθεῖσα πονηρῶν ἀνθρώπων, τῶν μὲν, κολασθέντων, τῶν δὲ, ἐξωσθέντων [1] εἰ δέ τινες καὶ ἔλαθον, δι' εὐλάβειαν ἡσυχαζόντων, ἐν ἀδείᾳ πολλῇ καὶ εἰκόνι ἐλευθερίας ἐβίωσαν ἐκείνου τοῦ ἔτους, οὗ μόνου ὁ Μακρῖνος ἐβασίλευσε. τοσοῦτον δὲ ἥμαρτεν, ὅσον μὴ διέλυσεν εὐθέως τὰ στρατόπεδα, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀπέπεμψεν, αὐτός τε εἰς τὴν Ῥώμην ποθοῦσαν ἠπείχθη, τοῦ δήμου ἑκάστοτε καλοῦντος μεγάλαις βοαῖς. ἐν δὲ τῇ Ἀντιοχείᾳ διέτριβε, γένειόν τε ἀσκῶν, βαδίζων τε πλέον τοῦ δέοντος ἠρεμαίως· βραδύτατά τε καὶ μόλις τοῖς προσιοῦσιν ἀποκρινόμενος, ὡς μηδ' ἀκούεσθαι πολλάκις, διὰ τὸ καθειμένον τῆς φωνῆς. ἐζήλου δὲ ταῦτα ὡς δὴ Μάρκου ἐπιτηδεύματα, τὸν δὲ λοιπὸν βίον οὐκ ἐμιμήσατο. ἐπεδίδου δὲ ἑκάστοτε εἰς τὸ

---

tus & populi; *Capitol.* *ἀγαπητῶς αὐτὸν εἰς τὴν ἀρχὴν ἐδέξαντο* (inquit Xiph.) illum lubenter Imperatorem admiſerunt, non tam animadvertentes, cui ſe in ſervitutem traderent, quam quo tyranno liberati eſſent, rati quemcunque hominem illo potiorem eſſe.

1. Malè vertit Polit. hoc enim voluit ſignificare Herodianus, quod cùm illi, qui latebant, præ metu quieſcerent, intereà Pop. Rom. in magnâ ſecuritate & libertatis imagine vivebant, rectiùs autem dictum fuiſſet *αὐτῶν δι' εὐλάβειαν ἡσυχαζόντων*. Steph.

ἁβροδίαιτον, ὀρχηστῶν τε θέαις καὶ πάσης μούσης κινήσεώς τε εὐρύθμου ὑποκριταῖς σχολάζων· τῆς τε τῶν πραγμάτων διοικήσεως ἀμελῶς ἔχων. περιῄει τε ¹ πόρπαις καὶ ζωστῆρι χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις πεποικιλμένοις κεκοσμημένος, ² τῆς τοιαύτης πολυτελείας παρὰ τοῖς Ῥωμαίων στρατιώταις οὐκ ἐπαινουμένης, βαρβάρου δὲ μᾶλλον καὶ θηλυπρεποῦς εἶναι δοκούσης.

γʹ. Ἅπερ ὁρῶντες οἱ στρατιῶται, οὐ πάνυ τι ἀπεδέχοντο, ἀπηρέσκοντό τε αὐτοῦ τῷ βίῳ, ὡς ἀνειμένῳ μᾶλλον ἢ καὶ ἄνδρα στρατιωτικόν. παραβάλλοντες δὲ τὴν μνήμην τῇ Ἀντωνίνου διαίτῃ, ἐπιστραφείσῃ τε καὶ στρατιωτικῇ γενομένῃ, κατεγίνωσκον τῆς Μακρίνου πολυτελείας. ἔτι τε ἠγανάκτουν αὐτοὶ μὲν ὑπὸ σκηναῖς, καὶ ἐν ἀλλοδαπῇ διαιτώμενοι, ἔσθ' ὅτε καὶ σπανίζοντες τῶν ἐπιτηδείων, εἴς τε τὰ ἑαυτῶν οὐκ ἐπανιόντες, εἰρήνης εἶναι δοκούσης. ὁρῶντες δὲ τὸν Μακρῖνον χλιδῇ καὶ τρυφῇ διαιτώμενον, ἀφηνιάζοντες ἤδη πρὸς ἀλλήλους, αὐτὸν κακῶς ἠγόρευον· προφάσεώς τε ὀλίγης λαβέσθαι εὔχοντο εἰς τὸ ³ ἀποσκεδάσασθαι τὸ λυποῦν. ἐχρῆν δὲ ἄρα Μακρῖνον, ἐνιαυτοῦ μόνου τῇ βασιλείᾳ ἐντρυφήσαντα, ἅμα τῷ

nullo pacto aspiraret. Quippe deliciosius indies agitans, histrionibusque saltatoribusque, intentus, & gubernandi negligens, incedebat cum fibulis ac balteo auratis gemmatisque. Qui luxus minimè Romano gratus exercitui: certè quem Barbaris putant, fœminisque congruentiorem, quàm principi.

III. Talia igitur intuentes, magnopere improbare omnes, vitamque plane hominis aspernari, molliorem quam ut militari viro conveniret: simul comparare invicem Antonini vitæ exemplum, solertis in primis, ac planè militaris viri, & Macrini luxuriam. Præterea graviter indignari, quòd ipsi adhuc tabernaculis agerent, procul à patria, ac nonnunquam rerum quoque necessariarum indigerent: neque domum dimitterentur, etiam pace facta: cum scilicet ille contrà mollissime ac deliciosissimè vitam coleret. Igitur excussis velut habenis, quotidie in hominem cavillabantur, ac levissimam quamq; occidendi ejus occasionem aucupabantur. Sed ita scilicet fato datum fuerat, ut uno duntaxat anno Princeps Macrinus in deliciis ab-

---

1. Πόρπαις καὶ ζωστῆρι χρυσῷ πεποικιλμένοις Etsi per syllepsin excusari potest, tamen Author fortasse pluraliter ζωστῆρσι scripsit. *Sylburg.*

2. Τῆς τοιαύτης πολυτελείας &c. Vini cibique erat avidissimus, interdùm usque ad ebrietatem. Capitol. ἤρξατο δὲ καὶ τρυφερώτερον ζῆν. καὶ σοβαρώτερον χρῆσθαι τῇ ἐξουσίᾳ Xiph.

3. Ἀποσκεδάσασθαι τὸ λυποῦν, Mollius quam in latinâ versione, nempe, summovendi, vel amovendi, quod tædium afferebat. Steph.

sumpto, simul cum vita Imperium amitteret: exiguam tenuemque Fortuna occasionem militibus ostentante, ad ea quæ concupierant patranda.

IV. Mæsa erat quædam nomine, Phœnissa mulier, ab Emæsa urbe Phœniciæ, cui soror Julia fuerat, Severi conjux, ac mater Antonini: ea, vivente sorore, multos annos in aula imperatoria vixerat, Severo & Antonino principibus. Hanc igitur Mæsam, post sororis obitum, atque Antonini cædem, jusserat Macrinus in patriam, ut domi suæ reliquum vitæ agere, cum omnibus bonis reverti. Abundabat autem grandi pecunia, utpote longissimo tempore inter principalem potentiam enutrita. Reversa igitur anus, domi agitabat.

V. Erant verò ei filiæ duæ, quarum natu major Soæmis, minor Mammæa vocabatur. Illi filius Bassianus, huic Alexianus: amboque sub matribus, aviaque educabantur. Et quidem Bassianus annos natus erat circiter quatuordecim, Alexianus autem decimum jam annum attigerat: sacerdotes ambo Solis, quem maximè indigenæ colunt, Phœnicum lingua Heliogabalum vocitantes: Templumque illi maximum constructum habent,

βίῳ καὶ τὴν ἀρχὴν καταλῦσαι, μικρὰν καὶ ἀτελῆ πρόφασιν τοῖς στρατιώταις εἰς ἃ ἐβούλοντο τῆς τύχης παρασχούσης.

δ'. [4] Μαισὰ ἦν τις ὄνομα, τὸ γένος Φοίνισσα, ἀπὸ Ἐμέσου καλουμένης οὕτω πόλεως ἐν Φοινίκῃ· ἀδελφὴ δὲ ἐγεγόνει Ἰουλίας μὲν, τῆς Σεβήρου γυναικὸς, Ἀντωνίνου δὲ μητρὸς. παρὰ πάντα οὖν τὸν τῆς ἀδελφῆς βίον, ἐν τῇ βασιλείῳ διέτριψεν αὐλῇ, χρόνου πολυετοῦς, παρ' ὃν Σεβῆρός τε καὶ Ἀντωνῖνος ἐβασίλευσαν. τὴν δὴ Μαισὰν ταύτην ὁ Μακρῖνος, μετὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, Ἀντωνίνου δὲ ἀναίρεσιν, προσέταξεν εἰς τὴν πατρίδα ἐπανελθοῦσαν, ἐν τοῖς οἰκείοις καταβιῶναι, πάντα ἔχουσαν τὰ ἑαυτῆς. πλείστων τε ἦν χρημάτων ἀνάπλεως, ἅτε μακρῷ χρόνῳ βασιλικῇ ἐξουσίᾳ ἐντεθραμμένη. ἐπανελθοῦσα δὲ ἡ πρεσβῦτις, διέτριβεν ἐν τοῖς ἑαυτῆς.

ε'. Ἦσαν δὲ αὐτῇ θυγατέρες δύο, Σοαιμὶς μὲν ἡ πρεσβυτέρα ἐκαλεῖτο, ἡ δὲ ἑτέρα Μαμμαία. παῖδες δὲ ἦσαν τῇ μὲν πρεσβυτέρᾳ Βασσιανὸς ὄνομα, τῇ δὲ νεωτέρᾳ Ἀλεξιανός. ὑπὸ δὲ ταῖς μητράσι καὶ τῇ μάμμῃ ἀνετρέφοντο. ὁ μὲν Βασσιανὸς, περὶ ἔτη γεγονὼς τεσσαρεσκαίδεκα, ὁ δὲ Ἀλεξιανὸς δεκάτου ἔτους ἐπιβεβηκώς. ἱερῶντο δὲ αὐτοὶ θεῷ ἡλίῳ· τοῦτον γὰρ οἱ ἐπιχώριοι σέβουσι, τῇ Φοινίκων φωνῇ Ἐλαιαγάβαλον καλοῦντες. νεὼς δὲ αὐτῷ μέγιστος κατε-

4. Μαισὰ ἦν τις ὄνομα. Hic cum Herod. in omnibus consentit, Jul. Capitol. aliique.

σκεύας

σκεύαστο αὐτῷ, χρυσῷ πολλῷ καὶ ἀργυρίῳ κεκοσμημένος, λίθων τε πολυτελείᾳ. θρησκεύεται δὲ οὐ μόνον πρὸς τῶν ἐπιχωρίων, ἀλλὰ καὶ πάντες οἱ γειτνιῶντες σατράπαι τε καὶ βασιλεῖς βάρβαροι φιλοτίμως πέμπουσι τῷ θεῷ ἑκάστου ἔτους πολυτελῆ ἀναθήματα. ἄγαλμα μὲν οὖν, ὥσπερ παρ' Ἕλλησιν ἢ Ῥωμαίοις, οὐδὲν ἕστηκε χειροποίητον, θεοῦ φέρον εἰκόνα. λίθος δέ τις ἔστι μέγιστος, κάτωθεν περιφερής, λήγων εἰς ὀξύτητα· κωνοειδὲς αὐτῷ σχῆμα, μέλαινά τε ἡ χροιά. διοπετῆ τε αὐτὸν εἶναι σεμνολογοῦσιν, ἐξοχάς τέ τινας βραχείας καὶ τύπους δεικνύουσιν· εἰκόνα τε ἡλίου ἀνέργαστον εἶναι θέλουσιν, [1] οὕτω βλέποντες. τούτῳ δὴ τῷ θεῷ ὁ [2] Βασσιανὸς ἱερωμένος (ἅτε γὰρ πρεσβυτέρῳ ἐκείνῳ ἐγκεχείριστο ἡ θρησκεία,) προῄει τε σχήματι βαρβάρῳ, χιτῶνας χρυσοϋφεῖς καὶ ἁλουργεῖς χειριδωτοὺς καὶ ποδήρεις ἀνεζωσμένος, τά τε σκέλη σκέπων πάντα ἀπ' ὀνύχων ἐς μηροὺς, ἐσθῆσιν ὁμοίως χρυσῷ καὶ πορφύρᾳ πεποικιλμέναις· τήν τε κεφαλὴν ἐκόσμει στέφανος λίθων πολυτελῶν χροιᾷ διηνθισμένος. ἦν δὲ τὴν ἡλικίαν ἀκμαῖος, καὶ τὴν ὄψιν τῶν κατ' αὐτὸν ὡραιότατος μειρακίων πάντων· εἰς τὸ αὐτὸ δὴ συνιόντων, κάλλους σώματος, ἡλικίας ἀκμῆς, ἁβροῦ σχήματος, ἀπείκασεν ἂν

auro, argentoque plurimo, ac lapidum eleganti magnificentia exornatum. Neque ſolum indigenæ Deum illum venerantur, ſed vicini quoque ſatrapæ, regeſque Barbari, certatim quotannis ſplendida offerunt munera. Simulacrum verò nullum Græco aut Romano more manu factum ad ejus Dei ſimilitudinem: ſed lapis eſt maximus, ab imo rotundus, & lenium faſtigiatus, propemodum ad coni figuram. Niger lapidi color, quem etiam jactant cœlitus decidiſſe. Eminent in lapide quædam, formæque viſuntur nonnullæ: ac Solis imaginem illam eſſe affirmant, minimè humano artificio fabrefactam. Huic igitur Deo ſacer erat Baſſianus: quippe natu major, ipſe potiſſimùm ſacerdotio fungebatur, incedens Barbarico cultu, tunicas indutus intextas auro ac manuleatas, & ad pedes uſque demiſſas, cruraque tota convelans ab unguibus ad femora, veſtibus ſimiliter auro purpuraque variis: capite coronam geſtans preciosorum lapidum coloribus florentem. Præterea integer ævi, cunctorumque ejus ætatis adoleſcentum formoſiſſimus. Quare congruentibus in unum forma corporis atque ætatis flore, ſimul habitu illo molliſſimo, facilè eum Dionyſi

1. Οὕτω βλέποντες. Polit. omittit hæc verba, intellige tamen ita cernentes, quod ita ſuis ipſorum oculis perſuadentes. Steph.

2. Τούτῳ τῷ θεῷ ὁ Βασσιανὸς. Baſſianum non tantùm *Antonini*, ſed & *Heliogabali* nomen accepiſſe ſcribit Julius.

pul-

pulcherrimis imaginibus assimilabant.

VI. Hunc igitur sacra celebrantem, chorumque circa altaria barbarum in morem ad tibias fistulasque, & omnifariam organa instaurantem, curiosius inspectabant cùm mortales alii, tum in primis Romani milites, vel quòd genere imperatorio editum sciebant, vel quod formæ viribus omnium in se oculos convertebat. Quippe tum vicinus urbi illi exercitus erat, tuendæ Phœniciæ præpositus: deductus inde mox, ut in sequentibus exponemus. Cum itaque quotidie Religionis nomine milites ad templum itarent, libenter scilicet adolescentem intuebantur. Erant autem ex iis nonnulli Roma profugi, Mæsæ familiares, quibus illa formam pueri admirantibus, (incertum; mentita, an vera professa) filium utique esse ait Antonini, quamvis alterius putaretur. Quippe cum suis natabus adolescentulis adhuc, & formosis, rem habuisse, quo tempore ipsa in palatio simul cum sorore agitabat. Ea res audita ab illis, ac sensim communicata reliquis commilitonibus, per universum denique exercitum vulgata est. Porrò etiam acervos habere nummorum Mæsa dicebatur, facileque omnes militibus elargitura, si modò impe-

τις τὸ μειράκιον Διονύσου καλαῖς εἰκόσιν.

ϛʹ. [1] Ἱερουργοῦντα δὴ τοῦτον, περί τε τοῖς βωμοῖς χορεύοντα νόμῳ βαρβάρων, ὑπό τε αὐλοῖς καὶ σύριγξι παντοδαπῶν τε ὀργάνων ἤχῳ, περιεργότερον ἐπέβλεπον οἵ τε ἄλλοι ἄνθρωποι, καὶ μάλιστα οἱ στρατιῶται, εἰδότες γένους ὄντα βασιλικοῦ, καὶ τῆς ὥρας αὐτοῦ πάντων τὰς ὄψεις εἰς ἑαυτὸν ἐπιστρεφούσης. ἐγειτνίαζε δὲ τῇ πόλει ἐκείνῃ τότε μέγιστον στρατόπεδον, ὃ τῆς Φοινίκης προήσπιζεν· ὕστερον δὲ μετηνέχθη, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. φοιτῶντες οὖν οἱ στρατιῶται ἑκάστοτε εἰς τὴν πόλιν, εἴς τε τὸν νεὼν ἰόντες θρησκείας δὴ χάριν, τὸ μειράκιον ἡδέως ἔβλεπον. ἦσαν δέ τινες ἐξ αὐτῶν καὶ πρόσφυγες, οἰκεῖοί τε τῆς Μαίσης· πρὸς οὓς ἐκείνη θαυμάζοντας τὸν παῖδα (εἴτε πλασαμένη, εἴτε καὶ ἀληθεύουσα) ἐξεῖπεν ὅτι ἄρα Ἀντωνίνου υἱὸς εἴη τῇ φύσει· τῇ δὲ ὑπολήψει ἄλλου δοκοίη. ἐπιφοιτῆσαι γὰρ αὐτὸν ταῖς θυγατράσιν αὐτῆς νέαις τε οὔσαις καὶ ὡραίαις, καθ' ὃν καιρὸν ἐν τοῖς βασιλείοις σὺν τῇ ἀδελφῇ διέτριβεν. ὅπερ ἐκεῖνοι ἀκούσαντες, τοῖς συστρατιώταις κατ' ὀλίγον ἀπαγγέλλοντες, διαβόητον ἐποιήσαντο τὴν φήμην, ὡς εἰς πᾶν χωρῆσαι τὸ στρατιωτικόν. τῇ δὲ Μαίσῃ ἐλέγετο σωρὸς εἶναι χρημάτων· ἐκείνην δὲ ἑτοίμως πάντα προέσθαι τοῖς στρατιώταις εἰ τὴν

1. Ἱερουργοῦντα δὴ τοῦτον. Sed Heliogabalus, pulcritudine & statura ac sacerdotio conspicuus erat, ac notus omnibus hominibus, qui ad templum veniebant; militibus præcipue. Capitol.

βασι-

βασιλείαν τῷ γένει ἀνανεώσαιντο. ὡς δὲ συνέθεντο, νύκτωρ εἰ κατέλθοιεν, λαθόντες ἀνοίξειν τὰς πύλας, καὶ δέξασθαι πᾶν τὸ γένος ἔνδον, βασιλέα τε καὶ υἱὸν ἀποδείξειν Ἀντωνίνου· 1 ἐπέδωκεν ἑαυτὴν ἡ πρεσβῦτις, ἑλομένη πάντα 2 κίνδυνον ἀναῤῥῖψαι μᾶλλον, ἢ ἰδιωτεύειν, καὶ δοκεῖν ἀφῃρῆσθαι. νύκτωρ τε λάθρα τῆς πόλεως ὑπεξῆλθε σὺν ταῖς θυγατράσι, καὶ τοῖς ἐγγόνοις. καταγαγόντων τε αὐτοὺς τῶν προσφυγόντων στρατιωτῶν, γενόμενοι πρὸς τῷ τείχει τοῦ στρατοπέδου, ῥᾷστα ὑπεδέχθησαν. εὐθέως τε τὸν παῖδα πᾶν τὸ στρατόπεδον Ἀντωνῖνον προσηγόρευσε· τήν τε πορφύραν χλαμύδα περιβαλόντες εἶχον ἔνδον. πάντα δὲ τὰ ἐπιτήδεια, καὶ παῖδας καὶ γυναῖκας, ὅσα τε εἶχον ἐν κώμαις ἢ ἀγροῖς τοῖς πλησίον, εἰσκομίσαντες, τάς τε πύλας ἀποκλείσαντες, παρεσκεύαζον ἑαυτοὺς ὡς (εἰ δέοι) ὑπομενοῦντες πολιορκίαν.

ζʹ. Ὡς δὴ ταῦτα ἀπηγγέλη τῷ Μακρίνῳ, ἐν Ἀντιοχείᾳ διατρίβοντι, ἥ τε φήμη διέδραμεν ἀνὰ τὰ λοιπὰ στρατόπεδα ὅτι τε Ἀντωνίνου υἱὸς εὑρέθη, καὶ ὅτι ἡ Ἰουλίας ἀδελφὴ χρήματα δίδωσι, πάντα τὰ λεγόμενα καὶ ἐνδεχόμενα καὶ ἀληθῆ πιστεύσαντες εἶναι, τὰς ψυχὰς ἐξεπτόηντο. ἐνῆγε δ' αὐτοὺς, καὶ ἀνέπειθεν εἰς πραγμάτων καινοτομίαν,

rium ſuæ ſoboli reſtitueretur. Pollicentibus autem ſe eam cum ſuis, ſi noctu clanculum in caſtra veniſſet, patentibus portis excepturos, atque Antonini filium Imperatorem declaraturos; ſeipſam illis tradidit anus, decreta periculum quodvis adire, quàm vitam colere privatam, atque abjectam. Quapropter noctu, clanculum urbe egreſſa cum liberis nepotibuſque ſuis, deducente ipſos profugo tum militum agmine, facilè in caſtra admittitur: ibique puerum confeſtim milites univerſi Antoninum appellatum, atque indutum purpura, cuſtodiebant. Tum commeatu omni, ſimul cum ſuis natis & conjugibus, cæteriſque adeò rebus importatis, quas in vicis agriſque propinquis habebant, ita ſe intus comparabant, ut etiam, ſi opus foret, caſtrorum obſidionem exciperent.

VII. Quæ ubi nunciata Macrino ſunt, Antiochiæ moranti, edito per exercitus rumore, repertum Antonini filium, pecunias militibus elargiri Juliæ ſororem: quum omnia quæcunque dicerentur, aut eſſe nullo modo poterant pro veris acciperentur, pendebant animis omnes: atque eos ad res novas moliendas, cum proprium Macrini odium, tum

1. Ἐπέδωκεν αὐτ[illegible] πρε[illegible] ſeſe poteſtati illorum permiſit, breviùs ſeipſam illis tradidit, vel ſe totam illis tradidit, ex Cic. Steph.

2. Πάντα κίνδυνον ἀναῤῥῖψαι, periculum quodvis temerè & præcipitantèr adire, pr[illegible] ἀῤῥ[illegible] κινδύνου, periculi aleam projicere, ſic μά[illegible] ἀναῤ[illegible] pugnæ periculum facere, apud Plut. in Cæſ.

Anto-

Antonini memoriæ quædam quasi commiseratio subigebat, sed in primis pecuniarum spes, ut multi jam ex iis ad novum Antoninum transfugerent. At Macrinus rem totam quasi puerilem contemnens, consuetamq; obtinens animi alacritatem, domi sedens, unum è suis ducibus mittit, traditis copiis, quantæ ad rebelles expugnandos viderentur suffecturæ. Ut autem eò pervenit Julianus (id enim nomen Præfecto fuit.) ac jam mænibus succedebat, statim inclusi milites puerum exercitui infesto, de turribus pinnisque ostentare, vociferari: Antonini filium; sacculos quoque nummorum plenos, magnam escam sc. proditionis, attollere. At illi, credito Antonini esse filium (& quoniam sic videri volebant) facie quoque & lineamentis quàm simillimum existimantes, caput amputant Juliano, mittuntque ad Macrinum. Ipsi, reseratis portis, universi in castra accipiuntur. Ita scilicet adauctæ copiæ, non modò ad excipiendum obsidionem, sed ad conferendam quoque manum, dimicandumque instructa acie, satis futuræ; transfugarum etiam magna vi paulatim quotidie se aggregante.

VIII. Quibus auditis Macrinus, cum omni exercitu ad castra illa oppugnanda contendit. Antoninus autem, militibus oppugnationem haud expectantibus, sed congredi au-

τό, τε Μακρίνου μῖσος, καὶ τὸ Ἀντωνίνου τῆς μνήμης πάθος· καὶ πρό γε ἁπάντων, ἡ τῶν χρημάτων ἐλπίς, ὡς πολλοὺς καὶ αὐτομολοῦντας φοιτᾶν πρὸς τὸν νέον Ἀντωνῖνον. ὁ δὲ Μακρῖνος, καταφρονῶν τοῦ πράγματος ὡς παιδαριώδους, χρώμενός τε τῇ συνήθει ῥᾳθυμίᾳ, αὐτὸς μὲν οἴκοι μένει, πέμπει δὲ ἕνα τῶν ἀρχόντων τοῦ στρατοπέδου, δύναμιν δοὺς ὅσην ᾤετο, ἐξᾶσα ἐκπορθήσειν τοὺς ἀφεστῶτας. ὡς δ' ἦλθεν Ἰουλιανὸς (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἐπάρχῳ) καὶ προσέβαλε τοῖς τείχεσιν, ἔνδοθεν οἱ στρατιῶται ἀνελθόντες ἐπί τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις, τόν τε παῖδα τῷ ἔξωθεν πολιορκοῦντι στρατῷ ἐδείκνυσαν, Ἀντωνίνου υἱὸν εὐφημοῦντες· βαλάντιά τε χρημάτων, (μέγα δέλεαρ προδοσίας) αὐτοῖς ἐδείκνυσαν. οἱ δέ, πιστεύσαντες Ἀντωνίνου τε εἶναι τέκνον, καὶ ὁμοιότατόν γε (βλέπειν γὰρ οὕτως ἤθελον) τοῦ μὲν Ἰουλιανοῦ τὴν κεφαλὴν ἀποτέμνουσι, καὶ πέμπουσι τῷ Μακρίνῳ· αὐτοὶ δὲ πάντες, ἀνοιχθεισῶν αὐτοῖς τῶν πυλῶν, εἰς τὸ στρατόπεδον ἐδέχθησαν. οὕτως ἡ δύναμις αὐξηθεῖσα, οὐ μόνον ἦν πρὸς τὸ ἀπομάχεσθαι πολιορκίᾳ, ἀλλὰ καὶ πρὸς τὸ συστάδην καὶ ἐξ ἀντιπαρατάξεως ἀγωνίζεσθαι ἀξιόχρεως. ἔτι τε καὶ τῶν αὐτομόλων τὸ πλῆθος ἑκάστοτε, εἰ καὶ κατ' ὀλίγους προσιὸν, τὴν δύναμιν ηὔξησεν.

η'. Ὁ δὲ Μακρῖνος, ὡς ταῦτα
πυνθάνοιτο, ἀθροίσας πα
στρατὸν, ἐπῄει ὡς δὴ πολι
ἐκείνῳ προσκεχωρηκ
νιος, οὐκ ἀνα

στρατιωτῶν πολιορκηθῆναι, θαῤῥησάντων δὲ μετὰ πάσης προθυμίας ἐξελθεῖν τε, καὶ ὑπαντώμενοι τῷ Μακρίνῳ ἐκ παρατάξεως ἀγωνίζεσθαι, ἐξάγει τὴν αὐτοῦ δύναμιν. συμμίξαντα δὲ ἀλλήλοις τὰ στρατόπεδα Φοινίκης τε καὶ Συρίας ἐν μεθορίοις, οἱ μὲν ὑπὲρ τοῦ Ἀντωνίνου προθύμως ἠγωνίζοντο, δεδιότες, εἰ ἡττηθεῖεν, τὴν ἐφ' οἷς ἔδρασαν τιμωρίαν ἀναδέξασθαι· οἱ δὲ σὺν τῷ Μακρίνῳ ῥᾳθυμότερον προσεφέροντο τῷ ἔργῳ, ἀποδιδράσκοντες καὶ μετιόντες πρὸς τὸν Ἀντωνῖνον. ὅπερ ὁρῶν ὁ Μακρῖνος, φοβηθεὶς τὸ μὴ παντάπασι γυμνωθεὶς τῆς δυνάμεως, αἰχμάλωτός τε ληφθεὶς, αἴσχιστα ὑβρισθείη, ἔτι τῆς μάχης συνεστώσης, (ἑσπέρας ἤδη προσιούσης,) ἀποῤῥίψας τὸ χλαμύδιον, καὶ εἴ τι σχῆμα βασιλικὸν περιέκειτο, λαθὼν ἀποδιδράσκει σὺν ὀλίγοις ἑκατοντάρχαις, οὓς πιστοτάτους ᾤετο, τὸ γένειον ἀποκειράμενος, ὡς μὴ γνωρίζοιτο· ἐσθῆτά τε ὁδοιπορικὴν λαβὼν, καὶ τὴν κεφαλὴν ἀεὶ σκέπων, νύκτωρ τε καὶ μεθ' ἡμέραν ὡδοιπόρει, φθάνων τὴν φήμην τῆς ἑαυτοῦ τύχης· τῶν τε ἑκατοντάρχων μεγάλῃ σπουδῇ τὰ ὀχήματα ἐπειγόντων, ὡς ἂν ὑπὸ Μακρίνου ἔτι βασιλεύοντος ἐπί τινα σπουδαῖα πεμφθέντων. ὁ μὲν οὖν ἔφυγεν, ὡς εἴρηται. ὁ δὲ στρατὸς ἑκατέρωθεν ἐμάχοντο, ὑπὲρ τοῦ Μακρίνου, οἱ σωματοφύλακες καὶ δορυφόροι (οὓς δὴ πραιτωριανοὺς καλοῦσιν) οἳ γενναίως ἀντέστησαν παντὶ τῷ ἄλλῳ στρατῷ, ἅτε ὄντες μέγιστοί τε καὶ ἐπίλεκτοι· τὸ δὲ ἐπίλοιπον πᾶν πλῆθος, ὑπὲρ τοῦ Ἀντω-

dentibus, & obviam Macrino ad dimicandum instructâ acie prodire, copias omnes educit. Concurrerunt autem inter se exercitus uterque, in Phœniciæ Syriæque finibus; acrius dimicante Antonini milite, conscientia metuque pœnæ, si victus foret: contrà autem Macrini exercitu languidius remissiusque prælium capescente, multisque subinde ad Antoninum transfugientibus. Quo animadverso, Macrinus, metu ne planè omnibus exutus copiis captivus ageretur, nihil non passurus contumeliæ, stante adhuc acie (vespere ingruente) chlamydem sibi, cæterumque Imperatorium detrahit ornatum: paucisque è fidissimis centurionum comitatus, fugam occupat: detonsaque barba, ne agnosceretur, sumto itinerario vestimento, capiteque semper convelato, noctem diemque accelerabat; famam quoque suæ fortunæ præveniens, quippe ingenti studio centuriones vehicula urgebant, quasi Macrino adhuc rerum potiente, magnis de rebus mitterentur. Ille igitur fuga evaserat, quemadmodum, diximus. Interea milites utrinque pugnabant, atque à Macrino quidem corporis custodes, ac stipatores, (quos prætorianos vocant) fortiter stantes, reliquum omnem exercitum soli sustinebant. videlicet proceri homines, atque ex omni numero delecti. Cætera omnis multitudo, pro Antonino præ-

liabatur.

liabarur. Sed ubi diu neque Macrinum jam ipsum, neque Imperii signa conspiciebant, qui pro illo certamen subierant, ignari ubinam foret, jaceret, an aufugisset, haud satis constitutum habentes quod sibi capiendum consilium foret, neque periclitari diutius pro eo decreverant, qui jam nusquam compareret, & se permittere hostium potestati, & quasi deditícios captivosque verebantur.

IX. Ut autem à captivis audivit Antoninus, aufugisse è prælio Macrinum, mittit statim nuncios, qui doceant frustrà illos pro homine pavidissimo ac fugitivo decertare: veniamque & oblivionem omnium jurejurando pollicetur, stipatoresque jam tum sibi illos adsciscit. Igitur omnes re credita cesserunt. At verò Antoninus mittit illico, qui Macrinum consequantur, quum jam plurimum viæ præcessisset. Inventus autem est in Chalcedone, Bythiniæ urbe, gravissimè ægrotans, ac perpetuo itinere attritus, latitans in suburbano quodam, ubi illi

νίνου ἠγωνίζοντο. ὡς δὲ ἐπὶ πολὺ τὸν Μακρῖνον οὐκ ἔβλεπον οἱ ὑπὲρ αὐτοῦ μαχόμενοι, οὐδὲ τὰ τῆς βασιλείας σύμβολα, διηπόρουν δὲ ποῦ ποτε ἄρα εἴη, πότερον ἐν τῷ πλήθει τῶν κειμένων, ἢ ἀποδρὰς ᾤχετο, ἠγνόουν τε πῶς χρήσονται τῷ πράγματι. οὔτε γὰρ μάχεσθαι ἤθελον ὑπὲρ τοῦ μὴ παρόντος, παραδοῦναι δὲ αὑτοὺς ἐκδότους, καὶ ὥσπερ αἰχμαλώτους ᾐδοῦντο.

θʹ. Ὡς δὲ παρὰ τῶν αὐτομόλων ἐπύθετο Ἀντωνῖνος τὴν τοῦ Μακρίνου φυγὴν, πέμψας κήρυκας, διδάσκει αὐτοὺς, ὅτι μάτην ὑπὲρ ἀνάνδρου καὶ φυγάδος μάχονται· ἄδειάν τε καὶ ἀμνηστίαν ἐνόρκως ὑπισχνεῖται, καλεῖ τε καὶ αὐτοὺς δορυφορήσοντας. οἱ μὲν οὖν, πεισθέντες, προσεχώρησαν. ὁ δὲ Ἀντωνῖνος πέμπει τοὺς διώξοντας τὸν Μακρῖνον πολὺ προκεχωρηκότα. ἐν Χαλκηδόνι γοῦν τῆς Βιθυνίας κατελήφθη, νοσῶν χαλεπώτατα, ὑπό τε τῆς συνεχοῦς ὁδοιπορείας συντετριμμένος. ἔνθα αὐτὸν εὑρόντες ἐν τινι κρυπτόμενον [1] προαστείῳ, οἱ διώκοντες τὴν [2] κεφαλὴν ἀπέτεμον.

1. Προαστείῳ Vicus hic, quem suburbanum nominat, Eusebio dicitur Archelais, Dioni Eribolus: Causab. Jul. Capit.

2. Τὴν κεφαλὴν ἀπέτεμον. Ad Cappadociam reductus est Macrinus, ubi captivitate filii cognitâ, è vehiculo se dejecit, confractoque humero non multò post occisus est (anno ætat. 54. imperii vero primo, cum duobus mensibus, triduo dempto) à puero eversus, quod his versibus prædictum est.

Ὦ γέρον ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί.
Σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ἱκάνει.

Heu tua vis resoluta senex cadit, ægra senectus
Te domat, & juvenis carpit tua robora miles. *Zon.*

 ἐλέγετο

ἐλέγετο δὲ σπεύδειν εἰς τὴν Ῥώμην, θαῤῥῶν τῇ τοῦ δήμου περὶ αὐτὸν σπουδῇ. περαιούμενον δ' αὐτὸν εἰς τὴν Εὐρώπην, διὰ τοῦ στενοῦ τοῦ Προποντίδος πορθμοῦ, ἤδη τε τῷ Βυζαντίῳ προσπελάζοντα, φασὶν ἀντιπνοίᾳ χρήσασθαι, ἐπανάγοντος αὐτὸν τοῦ πνεύματος εἰς τὴν τιμωρίαν. παρὰ τοσοῦτον μὲν δὴ Μακρῖνος οὐκ ἐξέφυγε τοὺς διώξοντας· τέλει τε ἐχρήσατο αἰσχίστῳ, ὕστερον θελήσας εἰς τὴν Ῥώμην ἀνελθεῖν, δέον ἐν ἀρχῇ τοῦτο ποιῆσαι· ἥμαρτε δὲ ἔπταισε καὶ γνώμῃ καὶ τύχῃ. [1] τέλει μὲν δὴ τοιούτῳ ὁ Μακρῖνος ἐχρήσατο, συναναιρεθέντος αὐτῷ καὶ τοῦ παιδὸς, ὃν ἦν ποιήσας Καίσαρα, Διαδουμενιανὸν καλούμενον.

[2]. Ἐπεὶ δὲ ὅ, τε στρατὸς πᾶς μετελθὼν πρὸς τὸν [2] Ἀντωνῖνον, προσεῖπε βασιλέα, τά τε τῆς ἀρχῆς ὑπεδέξατο, διοικηθέντων αὐτῷ κατὰ τὴν ἀνατολὴν τῶν ἐπειγόντων, ὑπό τε τῆς μάμμης καὶ τῶν συνόντων φίλων, (αὐτὸς γὰρ ἦν νέος τε τὴν ἡλικίαν, πραγμάτων τε καὶ παιδείας ἄπειρος) οὐ πολλοῦ χρόνου διατρίψας, εἶχε περὶ ἔξοδον, σπευδούσης μάλιστα τῆς Μαίσης εἰς τὰ συνήθη

caput abſciſſum. Dicebatur autem Romam properare, fretus popularibus ſtudiis: ſed tranſgredientem in Europam, anguſto Propontidos freto, jámque Byzantio appropinquantem, vento adverſo uſum perhibent, quaſi vento ipſo ad ſupplicium retrudente. Tantillum igitur abfuit Macrinus, quominus perſecutores effugerit, finem vitæ ſortitus fœdiſſimum; qui Romam reverti poſt voluerit, quod ſtatim à principio facere oportuerat. Offendit autem conſilio pariter atque fortuna. Ita ſcilicet occiſus eſt Macrinus cum filio Diadumeno, quem jam Cæſarem fecerat.

X. Poſtea verò quàm exercitus univerſus Antoninum (ad quem tranſierat) Imperatorem conſalutavit, atque ille ſummam rerum ſuſcepit, rebus jam in Oriente (ut quæque maximè urgebant) ordinatis, ab aviâ ſcilicet atque amicis, qui cum eo verſabantur (nam ipſe adoleſcens admodum, ac rerũm & literarum erat imperitus) haud diu moratus, profectionem edicit, feſtinante inprimis Mæſa ad

1. Τέλει μὲν δὴ τοιούτῳ &c. Cum Macrino unà occiſum fuiſſe filium *Diadumenum*, cum Herodiano conſentit Capitol. Scribit tamen *Lampridius* imperium per aliquod tempus ab eo geſtum fuiſſe, ipſiuſque vitam ab Herodiano præteritam obſervat, hiſce verbis. *Herodianus Græcus ſcriptor hæc præteriens, Diadumenum tantum Cæſarem dicit puerum à militibus nuncupatum, & cum Patre occiſum.* Æl. Lamprid.

2. Et hic quidem priùs dictus eſt *Varius* [quia mater ejus Soæmis nupſerat Οὐάρῳ Μαρκέλλῳ Σύρῳ ἀνδρί, ut ex Dion. notat Cauſab.] poſt *Heliogabalus*, à ſacerdotio Dei Heliogabali, poſtremò cum imperium accepiſſet, *Antoninus* appellatus eſt, quod id nomen uſque adeo charum eſſe gentibus cognovit. *Lampr.* Verùm habuit etiam nomina *Aviti*, *Pſeudantonini*, *Aſſyrii*, *Sardanapali*, *Tyberini* (de quo poſteà) ut conſtat ex Dion. & Xiph.

Romanam aulam, cui tamdiu insuevisset. Sed ut Senatui populoque Romano res innotuit, omnes eum nuncium graviter accepere. Sed parendum necessitati fuit, electo à militibus principe. Cæterùm incusantes Macrini negligens ingenium, fluxosque mores, neminem utique alium, sed ipsum sibi fuisse mali causam dictitabant.

XI. At verò Antoninus è Syria profectus, Nicomediæ hyemavit, ita postulante anni tempore. Statim igitur debacchari supra modum cœpit: cultumque patrii numinis, cui dicatus fuerat, celebrare supervacuis saltationibus, vestitum usurpans luxuriosum, purpura intextum, atque auro monilibusque & armillis redimitus; coronas etiam sustinens ad tiaræ modum, auro lapillisque preciosis insignitas. Forma habitus inter Phœnissam sacram stolam, ac Medorum mollem amictum. Nam Romanam vestem, aut Græcanicam planè aspernabatur, è lana (ut ipse aiebat) hoc est è re vilissima confectam: Neque alia nisi Syrorum texta ipsi placebant; atque ad tibiarum sonum & tympanorum in publicum prodibat, orgia scilicet numinis celebrans.

ἑαυτῇ βασίλεια Ῥώμης. ὡς δὲ τῇ τε συγκλήτῳ καὶ τῷ Ῥωμαίων δήμῳ τὰ πραχθέντα ἐδηλώθη, δυσφόρως μὲν πάντες ἤκουσαν, ὑπήκουον δὲ ἀνάγκῃ, τοῦ στρατοῦ πάντα ἠρημένου. κατεγίνωσκόν τε τοῦ Μακρίνου ῥᾳθυμίαν τε καὶ τρόπων χαυνότητα· αἴτιόν τε καὶ ὅλων, ἀλλ' ἢ αὐτὸν ἑαυτῷ γεγενῆσθαι ἔλεγον.

ια'. Ὁ δὲ Ἀντωνῖνος ἀπάρας τῆς Συρίας, ἐλθών τε εἰς τὴν Νικομήδειαν, ἐχείμαζε, τῆς ὥρας τοῦ ἔτους οὕτως ἀπαιτούσης. εὐθέως τε [1] ἐξεβακχεύετο, τὴν τῆς ἱερωσύνης τοῦ ἐπιχωρίου θεοῦ, ᾗ ἐντέθραπτο, περιεργότερον ἐξώρχητο. σχήμασί τε ἐσθῆτος πολυτελεστάτης χρώμενος, διά τε πορφύρας χρυσοῦ ὑφάσμασι, περιδεραίοις τε καὶ ψελλίοις κοσμούμενος, εἰς εἶδος δὲ τιάρας στεφάνην ἐπικείμενος, χρυσῷ καὶ λίθοις ποικίλοις τιμίοις. ἦν τε αὐτῷ τὸ σχῆμα μεταξὺ Φοινίσσης ἱερᾶς στολῆς, καὶ χλιδῆς Μηδικῆς. Ῥωμαϊκῆς δὲ ἢ Ἑλληνικῆς πᾶσαν ἐσθῆτα ἐμυσάττετο, ἐρίου φάσκων εἰργάσθαι, πράγματος εὐτελοῦς. τοῖς δὲ Σύρων ὑφάσμασι μόνοις ἠρέσκετο· προῄει τε ὑπὸ αὐλοῖς καὶ τυμπάνοις, τῷ θεῷ δῆθεν ὀργιάζων.

---

1. Ἐξεβακχεύετο, Belluinis hujus monstri vitiis lectorem nolo offendere, consulat (qui tanta vitiorum prodigia audire potest) Dionem, Lampridium, & Xiphilinum, cujus hæc saltem verba, salvâ modestiâ, legi possunt, ἐς δὲ δὴ τἆλλα πάντα καὶ αἰσχρότατος, καὶ παρανομώτατος, καὶ μιαιφονώτατος ὤφθη. Xiph.

ιβ'. H

ιβ'. Ἡ δὲ Μαῖσα ταῦτα ὁρῶσα, πάνυ ἤσχαλλε· πείθειν τε λιπαροῦσα ἐπειρᾶτο μεταμφιέσασθαι τὴν Ῥωμαίων στολὴν, μέλλοντά τε εἰς τὴν πόλιν ἀφίξεσθαι, καὶ εἰς τὴν σύγκλητον εἰσελεύσεσθαι, μὴ ἀλλοδαπὸν ἢ παντάπασι βάρβαρον τὸ σχῆμα ὀφθὲν, εὐθὺς λυπήσῃ τοὺς ἰδόντας, ἀήθεις τε ὄντας, καὶ οἰομένους τὰ τοιαῦτα καλλωπίσματα οὐκ ἀνδράσιν ἀλλὰ θηλείαις πρέπειν. ὁ δὲ, καταφρονήσας τῶν ὑπὸ τῆς πρεσβύτιδος λεχθέντων, μηδ' ἄλλῳ τινὶ πεισθεὶς (οὐδὲ γὰρ προσίετο εἰ μὴ τοὺς ὁμοιοτρόπους τε καὶ κόλακας αὐτοῦ τῶν ἁμαρτημάτων) βουλόμενος ἐν ἔθει γενέσθαι τῆς τοῦ σχήματος ὄψεως τήν τε σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων, ἀπόντος τε αὐτοῦ πεῖραν δοθῆναι πῶς φέρουσι τὴν ὄψιν τοῦ σχήματος, εἰκόνα μεγίστην γράψας παντὸς ἑαυτοῦ, οἷος προσιὼν τῆς καὶ ἱερουργῶν ἐφαίνετο, παραστήσας τε ἐν τῇ γραφῇ τὸν τύπον τοῦ ἐπιχωρίου θεοῦ ᾧ δὴ καλλιεργῶν ἐγέγραπτο· πέμψας τε εἰς τὴν Ῥώμην, ἐκέλευσεν ἐν τῷ μεσαιτάτῳ τῆς συγκλήτου τόπῳ, ὑψηλοτάτῳ τε, τὴν εἰκόνα ἀνατεθῆναι ὑπὲρ κεφαλῆς τοῦ ἀγάλματος τῆς Νίκης· ὡς συνιόντες εἰς τὸ βουλευτήριον, λιβανωτόν τε θυμιῶσιν ἕκαστος, καὶ οἶνον σπένδωσι. προσέταξέ τε πάντας τοὺς Ῥωμαίων ἄρχοντας, καὶ εἴ τινες δημοσίας θυσίας ἐπιτελοῦσι, πρὸ τῶν ἄλλων θεῶν οὓς δὴ καλοῦσιν ἱερουργοῦντας, ὀνομάζειν τὸν νέον θεὸν Ἐλεογάβαλον.

XII. Hæc cernens Mæsa, ac ferens iniquo animo, supplex illi persuadere conabatur, ut Romanum assumeret cultum, ne urbem mox curiamque ingrediens, peregrino illo barbaricoque habitu, spectantium oculos perstringeret, insolentes ejuscemodi mundiciarum, ac reputantes mulierculis quàm viris congruentiores. At is cùm ea quæ anus dixerat esset aspernatus, neque alii cuiquam aurem præbuisset (neque enim admittebat nisi moribus iisdem præditos, & qui ipsius vitiis assentarentur) volens Senatum populumque Romanum spectaculo cultus illius assuescere, ac se absente periculum fieri, quonam animo illud ferrent; picta sui totius imagine maximâ, qualis conspiciebatur & cùm in publicum prodiret, & quum sacerdotio fungeretur; ac representatâ etiam figura Dei, cui sacerdotis munus in illâ tabulâ obibat; Romam misit, jussitque ut in mediâ curiâ, loco altissimo, supra caput statuæ Victoriæ collocaretur; ut cùm Senatus haberetur, thura unusquisque adoleret, merumque libaret. Edixit item, ut omnes Románi magistratus, quique publicè sacra facerent, ante alios Deos, quorum meminisse inter sacrificandum solent, novum illum Deum Heliogabalum nuncuparent.

XIII. Qua-

XIII. Quapropter ut in urbem pervenit, nihil scilicet novum Romani viderunt, insueti jam picturæ. Diviso igitur congiario in populum (ut mos est imperium suscipientibus) spectacula omnifariam edebat magnificentissima: templumque item maximum, pulcherrimumque Deo erexit, plurimasque circa templum constituit aras: ad quas quotidie mane taurorum hecatombas, & ovium magnam multitudinem immolabat, coacervatisque supra aras omne genus odoribus, etiam veterrimi cujusque optimique vini plurimas amphoras ante aras profundebat, sic ut rivi passim vini sanguinisque promiscuè defluerent. Chorosque circum aras agitabat, nullis non organis consonantibus, unaque mulieribus Phœnissis cursitantibus in orbem, cymbalaque inter manus habentibus, aut tympana, omni circumstante senatu, atque equestri ordine ad theatri formam. Exta porro victimarum, atque aromata, intra lances aureas, capitibus imposita

ιγʹ. [1] Ὡς δὲ εἰς τὴν Ῥώμην ἀφίκετο τῷ προειρημένῳ σχήματι, οὐδὲν παράδοξον εἶδον οἱ Ῥωμαῖοι, τῇ γραφῇ ἐνειθισμένοι. δοὺς δὲ τὰς συνήθεις τῷ δήμῳ νομὰς, ἐπὶ τῇ τῆς βασιλείας διαδοχῇ, φιλοτίμους τε καὶ πολυτελεῖς ἐπιτελέσας παντοδαπὰς θέας, νεών τε μέγιστον καὶ κάλλιστον κατασκευάσας τῷ θεῷ, βωμούς τε πλείστους περὶ τὸν νεὼν ἱδρύσας, ἑκάστοτε προϊὼν ἕωθεν ἑκατόμβας τε ταύρων, καὶ προβάτων πολὺ πλῆθος κατέσφαττε· τοῖς τε βωμοῖς ἐπετίθει, παντοδαποῖς ἀρώμασι σωρεύων, οἴνου τε τοῦ παλαιοτάτου καὶ καλλίστου πολλοὺς ἀμφορέας τῶν βωμῶν [2] προχέων, ὡς ῥεῖθρα φέρεσθαι οἴνου τε καὶ αἵματος μεμιγμένου. περί τε τοὺς βωμοὺς ἐχόρευεν, ὑπὸ παντοδαποῖς ἤχοις ὀργάνων γύναιά τε ἐπιχώρια ἐχόρευε σὺν αὐτῷ, περιθέοντα τοῖς βωμοῖς, κύμβαλα ἢ τύμπανα μετὰ χεῖρας φέροντα· περιεστήκει δὲ πᾶσα ἡ σύγκλητος, καὶ τὸ ἱππικὸν τάγμα ἐν θεάτρου σχήματι. τὰ δὲ σπλάγχνα τῶν ἱερουργηθέντων, τά τε ἀρώματα, ἐν

---

1. Ὡς δὲ εἰς τὴν Ῥώμην ἀφίκετο. &c. Sed ubi primo ingressus est urbem, *Heliogabalum* in Palatino monte juxta ædes imperatorias consecravit, eique templum fecit, studens & Matris typum (διοπετὲς illud ἄγαλμα quod in primo libro describit Her.) & Vestæ ignem, & Palladium, & ancilia, & omnia Romanis veneranda, in illud transferre templum, & id agens nequis Romæ Deus nisi Heliogab. coleretur. Dicebat præterea Judæorum & Samaritanorum religiones, & Christianam devotionem illic transferendam, ut omnium culturarum secretum, Heliogabali sacerdotium teneret: omnes enim (ut postea) alios Deos, sui Dei ministros esse aiebat; cùm alios cubicularios ejus appellaret, alios servos, alios aliarum rerum ministros. Lampr.

2. Τῶν βωμῶν προχέων &c. Confirmat hanc phrasin illud Virg. *Hoc Pater Anchises auro libabat ad aras.* Æn. 7. ...r- *paterisque altaria libant.* Æn. 12. ...burg.

Χεῦ-

χρυσοῖς σκεύεσιν ὑπὲρ κεφαλῆς οὐκ οἰκέται δή τινες ἢ εὐτελεῖς ἄνθρωποι ἔφερον, ἀλλ' οἵ τ' ἔπαρχοι τῶν στρατοπέδων, καὶ οἱ ἐν ταῖς μεγίσταις πράξεσιν· ἀνεζωσμένοι, οἱ μὲν, χιτῶνας ποδήρεις καὶ χειριδωτοὺς, νόμῳ Φοινίκων, ἐν μέσῳ φέροντες μίαν πορφύραν· ὑποδήμασί τε λινοῖς πεποιημένοις ἐχρῶντο, ὥσπερ οἱ κατ' ἐκεῖνα τὰ χωρία προφητεύοντες. ἐδόκει δὲ τιμὴν μεγίστην νέμειν, οἷς ἐκοινώνει τῆς ἱερουργίας.

ιδ'. Πλὴν, καί τοι χορεύειν ἀεὶ καὶ ἱερουργεῖν δοκῶν, πλείστους ἀπέκτεινε τῶν ἐνδόξων τε καὶ πλουσίων, διαβληθέντας αὐτῷ ὡς ἀπαρεσκομένους καὶ σκώπτοντας αὐτοῦ τὸν βίον. ἠγάγετο δὲ γυναῖκα, τὴν εὐγενεστάτην Ῥωμαίων, [1] ἣν Σεβαστὴν ἀναγορεύσας, μετ' ὀλίγον χρόνον ἀπεπέμψατο, ἰδιωτεύειν κελεύσας, καὶ τῶν τιμῶν παραλυόμενος. μετ' ἐκείνην δὲ προσποιησάμενος ἐρᾷν (ἵνα δὴ καὶ τὰ τῶν ἀνδρῶν πράττειν δοκοίη) παρθένου τῆς Ῥωμαίων Ἑστίας ἱερωμένης, ἁγνεύειν τε πρὸς τῶν ἱερῶν νόμων κελευομένης, καὶ μέχρι τέλους τοῦ βίου παρθενεύεσθαι, ἀποσπάσας αὐτὴν τῆς Ἑστίας, καὶ τοῦ ἱεροῦ παρθενῶνος, γυναῖκα ἔθετο· ἐπιστείλας τῇ συγκλήτῳ, καὶ παραμυθησάμενος [illegible] τε καὶ ἁμάρτημα [illegible], φήσας ἀνθρώπινον

gestabant, non quidem famuli aliqui, aut humiles personæ, sed præfecti exercitibus, & quicunque maximas dignitates obtinebant, induti tunicas talares ac manuleatas, Phœnicum more, unamque in medio purpuram ferentes: sed & lineis calciamentis utebantur, quemadmodum vates in eis Regionibus consueveruut. Porrò ingentem se honorem tribuere putabat, quibus ejuscemodi sacrificia participaret.

XIV. Sed quamvis instaurare choros & sacra facere perpetuò videretur, plurimos tamen ex illustribus viris atque opulentis interfecit, delatos sibi, quòd parum læti illiusmodi vita, etiam in ipsum quandoque cavillarentur. Duxit præterea uxorem illustrissimam, quam etiam Augustam appellavit: cumque eâ tamen paulò pòst divortium fecit, ademptisque honoribus privatam colere vitam jussit. Post illam verò, quum simulasset amore se teneri (ut ea etiam quæ sunt virorum facere videretur) virginis quæ Romanæ Vestæ in sacerdotale munus addicta erat, & quam sacræ leges castitatem colere, atque ad finem usque vitæ manere virginem jubent, abreptam è Vestæ templo, & sacro virginum domicilio, in uxorem accepit, scripsitque ad senatum, ut tantum flagitium piaculumque ex-

1. Τὴν Σεβαστὴν ἀναγορεύσας.] Pulcherrimam Bassi uxorem sibi assumsit, idemque Cornelium Pulchrum [illegible] duxit in matrimonium, quo fieret [illegible] (ut dicebat) [illegible], qui ne vir quidem esse potuit. Xiph.

Cülti-

cusatione molliret, id sibi accidisse quod aliis hominibus solet, illius enim puellæ amore captum se fuisse. Cæterùm, sacerdoti congruere sacerdotis nuptias, ob idque etiam augustiores futuras. Sed eam quoque paulo post dimisit, tertia uxore ducta, quæ referre suum genus ad Commodum dicebatur.

τι πεπονθέναι πάθος· ἔρωτι γὰρ τῆς κόρης ἑαλωκέναι. ἁρμόζοντά τε καὶ σεβάσμιον εἶναι γάμον ἱερέως τε καὶ ἱερείας. ταύτην καὶ ταύτην οὐ μετ' οὐ πολὺ ἀπεπέμψατο. τρίτην δὲ πάλιν ἠγάγετο, ἀναφέρουσαν τὸ γένος εἰς Κόμμοδον.

XV. Neque verò humana tantum matrimonia ludebat, sed etiam Deo suo quærebat uxorem. Itaque Palladis simulacrum, quod occultum Romani, neminique videndum colunt, in cubiculum suum transtulit: immotumque ad eam diem, ex quo Ilio avectum fuerat, præterquam quum templum conflagravit, ipse emovit sedibus: eamque Deam sui Dei conjugem, in aulam imperatoriam adduxit. Dein, cordi esse negans Deo belligeram uxorem, atque armatam, simulacrum Uraniæ jussit afferri. Quod scilicet Carthaginensibus, omnique Africæ venerabile, positum fuisse à Phœnissa Didone creditur, quo tempore antiquam Carthaginem dissecto corio ædificavit. Hanc Afri Uraniam vocant, Phœnices Astroarchem, Lunam esse affirmantes. Congruere igitur aiebat Antoninus matrimonium Solis & Lunæ. Itaque & simulacrum afferri jussit, & auri quicquid

ιε'. Ἔπαιζε δὲ γάμους οὐ μόνον ἀνθρωπείους, ἀλλὰ καὶ τῷ θεῷ, ᾧ ἱεράτευε, γυναῖκα ἐζήτει. καὶ τῆς τε [1] Παλλάδος τὸ ἄγαλμα, ὃ κρυπτὸν καὶ ἀόρατον σέβουσι Ῥωμαῖοι, εἰς τὸν ἑαυτοῦ θάλαμον μετήγαγε· καὶ μὴ κινηθὲν ἐξ οὗπερ ἦλθεν ἀπὸ Ἰλίου (εἰ μὴ ὅτε πυρὶ κατεφλέχθη ὁ νεὼς) ἐκίνησεν οὗτος, καὶ πρὸς γάμον δὴ εἰς τὴν βασίλειον αὐλὴν τῷ θεῷ ἀνήγαγε. φήσας δὲ ἀπαρέσκεσθαι αὐτῷ, ὡς [2] πάντα ἐν ὅπλοις καὶ πολεμικῇ θεῷ, τῆς Οὐρανίας τὸ ἄγαλμα μετεπέμψατο, σεβόντων αὐτὸ ὑπερφυῶς Καρχηδονίων τε καὶ τῶν κατὰ τὴν Λιβύην ἀνθρώπων. φασὶ δὲ αὐτὸ Διδὼ τὴν Φοίνισσαν ἱδρύσασθαι, ὅτε δὴ τὴν ἀρχαίαν Καρχηδόνα πόλιν ἔκτισε, βύρσαν κατατεμοῦσαν. Λίβυες μὲν οὖν αὐτὴν Οὐρανίαν καλοῦσι; Φοίνικες δὲ Ἀστροάρχην ὀνομάζουσι, σελήνην εἶναι θέλοντες. [3] ἁρμόζειν τοίνυν λέγων ὁ Ἀντωνῖνος γάμον ἡλίου καὶ σελήνης, τό, τε ἄγαλμα

1. Vide annotat. 4.

Περσῶν. ἔλεγε δ' ἡ πρεσβεία, ὅτι δὴ κελεύει μέγας βασιλεὺς Ἀρταξέρξης ἀφίστασθαι Ρωμαίους τε καὶ τὸν ἄρχοντα αὐτῶν, Συρίας τε ἁπάσης, Ἀσίας τε τῆς Εὐρώπῃ ἀντικειμένης· ἐᾶσαι δὲ ἄρχειν Πέρσας μέχρις Ἰωνίας τε καὶ Καρίας, καὶ ὅσα Αἰγαίῳ καὶ Πόντῳ ἔθνη διαιρεῖται. εἶναι γὰρ αὐτὰ Περσῶν προγονικὰ κτήματα. τοιαῦτά τινα τῶν τετρακοσίων πρέσβεων ἀπαγγειλάντων, κελεύει ὁ Ἀλέξανδρος τοὺς τετρακοσίους συλληφθῆναι· καὶ περιελόμενος πάσης τῆς περικειμένης σκευῆς, εἰς Φρυγίαν ἐξέπεμψε, δοὺς κώμας τε οἰκεῖν, καὶ χώραν γεωργεῖν· τοσαύτην αὐτοῖς ἐπιθεὶς τιμωρίαν, ὡς οἴκαδε μὴ ἐπανελθεῖν. ἀποκτεῖναι γὰρ ἀνόσιον καὶ οὐ πάνυ ἀνδρεῖον ἡγήσατο, μήτε μαχομένους, καὶ τὰ κελευσθέντα ὑπὸ τοῦ ἑαυτῶν δεσπότου ἀπαγγείλαντας.

ιβ'. Τούτων δὴ οὕτω πραττομένων, παρασκευαζομένου τε τοῦ Ἀλεξάνδρου καὶ διαβῆναι τοὺς ποταμούς, εἴς τε τὴν βάρβαρον γῆν τὸν στρατὸν διαγαγεῖν, ἐγένοντό τινες καὶ ἀποστάσεις στρατιωτῶν, ἀπό τε Αἰγύπτου ἐληλυθότων, ἀλλὰ μὴν καὶ τῶν κατὰ Συρίαν καινοτομῆσαί τινα ἐπιχειρησάντων περὶ τὴν βασιλείαν· οἳ ταχέως φωραθέντες ἐκολάσθησαν. ἀλλὰ καί τινα τῶν στρατοπέδων μετέστησεν ὁ Ἀλέξανδρος εἰς ἕτερα χωρία, ἐπιτηδειότερα δοκοῦντα εἶναι πρὸς τὸ κωλύειν τὰς τῶν βαρβάρων ἐπιδρομάς. τούτων δὴ αὐτῷ διοικηθέντων, τῆς τε στρατιᾶς παμπληθοῦς συνειλεγμένης, ὅτε δὴ αὐτίπαλα καὶ ἰσόῤῥοπα ᾠήθη εἶναι τὰ ἑαυτοῦ στρατεύματα

μάλιστα τῷ πλήθει τῶν βαρβάρων, σκεψάμενος σὺν τοῖς φίλοις, ἔνειμε τὸ στρατιωτικὸν εἰς τρεῖς [1] μοίρας. καὶ τὴν μὲν μίαν ἐκέλευσε πρὸς τὰ ἀρκτῷα μέρη ἀφορῶσαν, δι' Ἀρμενίας ἐπιοῦσαν, φιλίου Ῥωμαίοις δοκούσης, καταδραμεῖν τὴν Μήδων χώραν· τὴν δὲ ἑτέραν ἔπεμψε πρὸς τὰ ἀρκτῷα μέρη τῆς βαρβάρου γῆς βλέπουσαν, ἔνθα συῤῥέοντας τὸν Τίγριντα καὶ τὸν Εὐφράτην ἕλη πυκνότατα ὑποδέχεσθαι λέγουσι, καὶ λανθάνειν ποταμῶν ἐκείνων μόνων διὰ τοῦτο τὰς ἐκβολάς. τὴν δὲ τρίτην μοῖραν καὶ γενναιοτάτην τοῦ στρατοῦ αὐτὸς ἔχων, ὑπέσχετο ἐπάξειν τοῖς βαρβάροις κατὰ μέσην τὴν πορείαν. οὕτω γὰρ ᾤετο, διαφόροις ἐφόδοις ἀφυλάκτως τε καὶ ἀπροόπτως αὐτοῖς ἐπελεύσεσθαι· καὶ τὸ πλῆθος τῶν Περσῶν ἀεὶ πρὸς τοὺς ἐπιόντας διαιρούμενον, ἀσθενέστερόν τε ἔσεσθαι καὶ ἀτακτότερον μαχέσασθαι. οὐ γὰρ δὴ μισθοφόροις χρῶνται στρατιώταις οἱ βάρβαροι, ὥσπερ Ῥωμαῖοι, οὐδὲ στρατόπεδα ἔχουσι συνεστῶτα καὶ μένοντα, πολέμου τέχνας ἐγγυμναζόμενα· ἀλλὰ πᾶν τὸ πλῆθος τῶν ἀνδρῶν, ἔσθ' ὅτε καὶ τῶν γυναικῶν, ἐπὰν κελεύσῃ βασιλεύς, ἀθροίζεται. διαλυθέντος δὲ τοῦ πολέμου, ἕκαστος εἰς τὰ ἑαυτοῦ ἐπανέρχεται, τοσοῦτον ἀποκερδήσας, ὅσα ἂν ἐξ ἁρπαγῆς αὐτῷ περιγένηται. τόξοις τε καὶ ἵπποις οὐκ εἰς τὸ πολεμεῖν μόνον χρῶνται,

amicorum ſententia milites trifariam diſtribuit: ſic ut unam partem juberet, ſpectantem ad Septentriones, facere iter per Armeniam, quæ Regio amica Romanis videbatur, atque illinc Medorum fines incurſare: alteram item ad Septentrionem, per Barbarorum agros contendere, ubi confluentes Tygris & Euphrates denſiſſimis paludibus excipi, atque ob id eorum fluviorum latêre egreſſus dicuntur. Tertiam porro exercitus partem ipſe adducturum ſe adverſus Barbaros medio jam itinere pollicebatur. Ita enim putabat, diverſis itineribus imparatos eos, ac ſic nec opinantes oppreſſurum: Perſarumque copias, ſemper ingruentibus Romanis occurſantes, diſtractum iri, atque imbecilliores futuras, minuſque ordinate prælium ſuſcepturas. Neque enim mercenario milite utuntur Barbari, quemadmodum Romani conſueverunt; neque ſtativis caſtris exercitus habent, qui bellorum actibus exerceantur: ſed omnis multitudo virorum, nonnunquam autem mulierum quoque, regis congregantur imperio: quæ mox bello peracto, ſuas protinus in ſedes dimittitur; ea demum præmia belli referens, quæ cuique ex rapina ſuperfuerint. Arcubus

1. Narrat hic loci eximius Hiſtoricus Alexandri contra Perſas exercitum in tres partes ab eo fuiſſe diviſum, quæ perierint omnes, ſed diverſo modo: unam partem in locum iniquum deductam, quum pugnare non poſſit, Perſarum *ſagittis* confixam internecione deletam; alteram partem *morbo* extinctam, tertiam denique *frigore*. Cauſab. annotat. in Lamprid.

autem

autem, & equis non in prælio tantum more Romanorum utuntur, ſed à pueritia uſque enutriuntur unà, venatu invigilantes, pharetratique ſemper ac nunquam ex equis deſilientes, ſive bellum gerant, ſive feras conficiant.

XIII. Sed hoc Alexandri conſilium, etſi longè optimum prima ſpecie videbantur, ſtatim tamen fortuna deſtituit: ſiquidem exercitus contendere per Armeniam juſſus, vix ægreque ſuperatis ejus regionis aſperrimis præruptiſſimiſque montibus, quanquam æſtas tolerabilius iter faciebat, impetu in mediam facto, vicos concremavit, prædamque abegit. At Rex Perſarum intellecta re, confeſtim quam maximis potuit copiis auxilio adfuit: cæterum arcere illinc Romanos minimè poterat. Quippe aſpera regio peditibus quidem ſtabilem greſſum, facilemque tranſitum præbebat: at Barbarorum equitatus, montium aſperitate, & curſum difficiliorem, & iter habebat impeditius. Nunciatum dein Regi eſt, exexcitum alterum Romanorum, Parthorum in agros, qua ad Orientem ſpectant, impetum feciſſe. Quare metuens, ne Parthis facilè ſuperatis, mox in Perſiam graſſarentur, relictis copiis, quantæ ad tuendam Mediam ſatis fore videbantur, ipſe cum toto exercitu ad Orientis partes accelerabat. Cæterùm exercitus Romanus comparante ac repugnante nullo, negligen-

ὥσπερ Ῥωμαῖοι, ἀλλ' ἐκ παίδων σὺν αὐτοῖς ἀνατρέφονται, καὶ θηρῶντες διαιτῶνται, οὔτε τὰς φαρέτρας ποτὲ ἀποτιθέμενοι, οὔτε τῶν ἵππων ἀποβαίνοντες, ἀεὶ δὲ αὐτοῖς χρώμενοι ἢ κατὰ πολεμίων ἢ κατὰ θηρείων.

ιγ'. Ἀλέξανδρος μὲν οὖν, ὡς ᾤετο, ἄριστα βεβούλευτο· ἔσφηλε δὲ αὐτοῦ τὴν γνώμην ἡ τύχη. τὸ μὲν γὰρ πεμφθὲν δι' Ἀρμενίας στρατιωτικόν, μόλις καὶ χαλεπῶς ὑπερβαλὸν τὰ τῆς χώρας ὄρη, τραχύτατά τε ὄντα καὶ κρημνωδέστατα (πλὴν ἐπὶ θέρους ὄντος, ἀνεκτὴν εἶχε τὴν πορείαν) ἐμβαλὸν εἰς τὴν Μήδων χώραν, ἐπόρθει τε αὐτήν, καὶ πολλὰς ἐνέπρησε κώμας, λείαν τε ἀπήγαγεν. ὁ δὲ Πέρσης μαθών, ἐπήμυνε κατὰ δύναμιν, ἀπείργειν δὲ τοὺς Ῥωμαίους οὐ πάνυ τι ἐδύνατο. τραχεῖα γὰρ οὖσα ἡ χώρα, τοῖς μὲν πεζοῖς καὶ τὴν βάσιν εὐπαγῆ, καὶ τὴν πορείαν εὔμαρῆ παρεῖχεν. ἡ δ' ἵππος τῶν βαρβάρων, ὑπό τε τῆς τῶν ὀρῶν τραχύτητος, ὁμοῦ καὶ πρὸς δρόμον ἐπείχετο, καὶ καθιππάσασθαι ἢ ἐπιέναι ἐκωλύετο. ἧκον δέ τινες ἀγγέλλοντες τῷ Πέρσῃ, ὡς ἄρα φαίνοιτο Ῥωμαίων στρατὸς ἕτερος, ἐν τοῖς ἑῴοις μέρεσι Παρθυαίων, τά τε πεδία κατατρέχουσι. διόπερ φοβηθεὶς ἐκεῖνος, μὴ τὰ ἐν Πάρθοις ῥᾳδίως λυμηνάμενοι, εἰς Πέρσας ἐμβάλωσι, καταλιπὼν τινα δύναμιν, ὅσην αὐτάρκη ᾤετο ῥύεσθαι Μηδίαν, αὐτὸς σὺν παντὶ τῷ στρατῷ εἰς τὰ ἑῷα μέρη ἠπείγετο. ὁ δὲ τῶν Ῥωμαίων στρατὸς τὴν πορείαν ἀμελέστερον ἐποιεῖτο, μήτε τινὸς φαινομένου.

νομένους, μήτε ἀνθεστῶτος· ἤλπιζέ τε τὸν Ἀλέξανδρον σὺν τρίτῃ μοίρᾳ, γενναιοτάτῃ οὔσῃ καὶ μεγίστῃ, εἰς μέσους ἐμβεβληκέναι τοὺς βαρβάρους. κἀκείνους ἀνθελκομένους ἀεὶ πρὸς τὸ ἐνοχλοῦν, σχολαιτέραν αὐτοῖς καὶ ἀσθενεστέραν παρέξειν τὴν ἔφοδον· προείρητο γὰρ πᾶσι τοῖς στρατοῖς ὑπερβέχειν, καὶ τόπος ὥριστο, εἰς ὃν καὶ ὅπου συνελθεῖν ἔδει πάντα τὰ ἐμπίπτοντα, καὶ ἐν μέσῳ χειρουμένους. ἔσφηλε δὲ αὐτοὺς ὁ Ἀλέξανδρος, μήτε εἰσαγαγὼν τὸν στρατὸν, μήτε εἰσελθὼν, ἢ διὰ δέος, ἵνα μὴ δὴ αὐτὸς κινδυνεύσοι ψυχῇ καὶ σώματι, ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς· ἢ 1 τῆς μητρὸς ἐπισχούσης, γυναικείᾳ δειλίᾳ καὶ ὑπερβαλλούσῃ φιλοτεκνίᾳ. ἤμβλυνε γὰρ αὐτοῦ τὰς πρὸς ἀνδρείαν ὁρμὰς, πείθουσα δεῖν ἄλλους ὑπὲρ αὐτοῦ κινδυνεύειν, ἀλλὰ μὴ αὐτὸν παρατάττεσθαι· ὅπερ τὸν εἰσελθόντα Ῥωμαίων στρατὸν ἀπώλεσεν. ὁ γὰρ Πέρσης σὺν πάσῃ τῇ δυνάμει ἐπελθὼν, οὐ προσδοκῶντος τοῦ στρατοῦ, ἐκπεριελθὼν, καὶ ὥσπερ σαγηνεύσας, πανταχόθεν τε τοξεύων, διέφθειρε τὴν δύναμιν τῶν Ῥωμαίων, ὀλίγων τε πρὸς πολλοὺς ἀνθίστασθαι μὴ δυναμένων, καὶ ἀεὶ τὰ γυμνὰ ἑαυτῶν, εἰς ἃ ἐτοξεύοντο, φραττόντων τοῖς ὅπλοις. ῥύεσθαι γὰρ αὐτοῖς τὰ σώματα, οὐ μάχεσθαι, ἀγαπητὸν ἦν. ἔστε δὴ πάντες ἐς τὸ αὐτὸ συναλισθέντες, καὶ τῇ τῶν ἀσπίδων προβολῇ ὥσπερ τειχίσαντες, ἀπε-

tius iter faciebat, ratus Alexandrum cum tertia parte copiarum, quæ maximæ valentissimæque forent, in medios incurrisse Barbaros. Itaque restitantibus illis, atque ob id exercitum retentantibus, minimè sibi properandum putabant, ut qui se tutos crederent: præstituto antea loco, in quem pariter universi cum præda abacta, captivisque omnibus convenirent. Sed eos Alexander fefellit; neque enim aut ipse venit, aut exercitum adduxit: incertum metúne proprio, ne ipse imperium tuendo vita periclitaretur, an quia mater retinuerit, muliebri pavore, & charitate filii nimia: siquidem omnes illius generosos spiritus retundebat, suadens alios potius periculis exponeret, quàm ipse in acie consisteret. Quæ res exercitum Romanum fines Barbarorum ingressum planè perdidit. Etenim Persarum rex omnibus copiis occurrens imparatis minimeque expectantibus, quasique intra retia undique concludens, & sagittis petens, omnem Romanorum exercitum profligavit. Quippe pauci plurimis resistere haud poterant, semperque nudas corporis partes armis adversus impetum sagittarum protegebant: satis præclarè secum agi existimantes, si nulla edita pugna integri recessissent. Sed cum aliquandiu confertim clypeis sese quasi muro circumsepissent, at-

1. Egit omnia ex consilio matris, cum quâ occisus est. Lamprid.

que

que omnes, velut urbs aliqua, oppugnarentur consauciarenturque, tandem ubi diu fortiter restiterant, occidione occiderunt. Ingens hæc calamitas, & qualis nulla facilè memoratur, Romanis incidit, amisso ingenti exercitu, vel fide vel robore cuilibet antiquorum exercituum conferendo: Persam verò majorum spe implevit tantarum successus rerum.

ἐμάχοντο ἐν σχήματι πολιορκίας, βαλλόμενοι πανταχόθεν καὶ τιτρωσκόμενοι· ἀντισχόντες εἰς ὅσον ἐνεδέχετο ἀνδρείως, τὸ τελευταῖον πάντες διεφθάρησαν. μεγίστη τε αὕτη συμφορά, καὶ οὐ ῥᾳδίως μνημονευθεῖσα, Ῥωμαίους ἐπέσχε, δυνάμεως μεγίστης διαφθαρείσης, γνώμῃ καὶ ῥώμῃ μηδεμιᾶς τῶν ἀρχαίων ἀποδεούσης. τὸν δὲ Πέρσην εἰς ἐλπίδα μειζόνων πραγμάτων ἐτύφωσε τηλικούτων ἔργων εὐπραγία.

XIV. Quæ ubi nunciata Alexandro sunt, gravissimè tunc ægrotanti, sive ex mœrore animi, sive insolentia cœli, cùm ipse tulit molestissime, tum exercitus omnis graviter Imperatori succensebat. Quippe ipsius mendacio, minimè signis servatis, proditos ab eo suos milites dictitabant. Cæterum Alexander, morbi cœlique illius æstuosi impatiens, laborante pariter omni exercitu, maximeque Illyricanis, qui humido hybernoque cœlo insueti, largiusque cibum (more suo) capientes, lethaliter ægrotabant: redire Antiochiam constituit, accitis etiam eò militibus, qui montium tamen atque hyemis asperitate attriti, paucissimis tantum reliquis perierant. Copias autem quas secum Alexander habebat, Antiochiam reduxit, multis inde

ιδ΄. Ὡς δὲ ταῦτα τῷ Ἀλεξάνδρῳ ἐδηλώθη, χαλεπῶς νοσοῦντι, εἴτε διὰ δυσθυμίαν, εἴτε διὰ τὴν τοῦ ἀέρος ἀήθειαν, αὐτός τε δυσφόρως ἤνεγκε, καὶ ὁ λοιπὸς στρατὸς ἠγανάκτησε πρὸς τὸν Ἀλέξανδρον καὶ ἐχαλέπαινεν, ὅτι δὴ ψευσαμένου αὐτοῦ, καὶ μὴ τηρήσαντος τὰ συνθήματα, προδοθείη ὁ εἰσελθὼν στρατός. πλὴν ὁ Ἀλέξανδρος, μήτε τὴν νόσον φέρων, καὶ τὸ πνιγῶδες τοῦ ἀέρος, τοῦ τε στρατοῦ παντὸς νοσοῦντος, καὶ μάλιστα τῶν Ἰλλυρικῶν στρατιωτῶν, (οἱ ὑγρῷ καὶ χειμερίῳ ἀέρι ἐντεθραμμένοι, τροφάς τε πλείονας συνήθως εἰσφερόμενοι, χαλεπῶς νοσοῦντες, διεφθείροντο) ἐπανελθεῖν τε εἰς τὴν Ἀντιόχειαν ἐβουλεύσατο, καὶ πέμψας τὸν ἐν Μηδίᾳ στρατόν, ἐπανελθεῖν ἐκέλευσεν. ἐκεῖνος μὲν ὁ στρατὸς ἐπανιών, πλεῖστος ἐν τοῖς ὄρεσι διεφθάρη [1] καὶ ἠκρωτηριάσθησαν οὐκ ὀλίγοι ἐν δυσχειμέρῳ χώρᾳ, ὡς ὀλίγους πάνυ ἐκ πολλῶν ἐπανελθεῖν.

1. Usum verbi ἀκρωτηριάζεσθαι multiplicem Suidas docebit, sed quomodo apud Herod. accipiatur, paraphrasis ista Zonaræ (ut notat Sylburgius) satis planè demonstrat, cujus verba sic se habent, δυσχειμέρων γὰρ ὄντων τούτων, οἱ τῶν ὁδοιπορούντων πόδες, ἐνίων δὲ καὶ χεῖρες, ἐκ τοῦ ψύχους ἠκρωτηριάσθησαν, μιανθεῖσαι καὶ νεκρωθεῖσαι. Zon.

τὸ δὲ σὺν αὐτῷ πλῆθος ὁ Ἀλέξανδρος εἰς τὴν Ἀντιόχειαν ἐπανήγαγε, πολλῶν καὶ ἐξ ἐκείνης τῆς μοίρας ἀπολωλότων· ὡς μεγίστην ἐνεγκεῖν ἀθυμίαν τῷ στρατῷ, καὶ Ἀλεξάνδρῳ ἀδοξίαν, σφαλέντι καὶ γνώμῃ καὶ τύχῃ, καὶ τῶν τριῶν μοιρῶν τοῦ στρατοῦ (ὧν ἔνειμε) τὸ πλεῖστον ἀποθανόντι διαφόροις συμφοραῖς, [1] νόσῳ, πολέμῳ, κρύει.

ιε'. Γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Ἀλέξανδρος, αὐτός τε ῥᾳδίως ἐπερρώσθη, τῷ εὐψυχεῖ καὶ ἐνύδρῳ τῆς πόλεως, μετὰ τὸν ἐν Μεσοποταμίᾳ ξηρὸν αὐχμόν· τούς τε στρατιώτας ἀνεκτᾶτο, καὶ ἐφ' οἷς ἐλελύπηντο, παρεμυθεῖτο μεγαλοδωρεᾷ χρημάτων. τοῦτο γὰρ μόνον εἰς εὐνοίας ἀνάκλησιν στρατιωτῶν ἐνόμιζε φάρμακον. δύναμίν τε ἤθροιζε καὶ παρεσκεύαζεν, ὡς δὴ πάλιν ἐπάξων Πέρσαις, εἰ ἐνοχλοῖεν καὶ μὴ ἡσυχάζοιεν. ἀπηγγέλλετο δὴ καὶ ὁ Πέρσης λύσας τὴν δύναμιν, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀποπέμψας. εἰ γὰρ καὶ ἐκ τοῦ κρείττονος ὑπέρτεροι ἔδοξαν γεγονέναι οἱ βάρβαροι, πλὴν ὅμως ἐτετρύχωντο ταῖς τε κατὰ Μηδίαν πολλάκις γενομέναις συμβολαῖς, τῇ τε ἐν Παρθίᾳ μάχῃ, πολλῶν μὲν πεσόντων, πλείστων δὲ τετρωμένων. οὐ γὰρ ἀνάνδρως οἱ Ῥωμαῖοι ἡττήθησαν, ἀλλὰ καὶ αὐτοὶ τοὺς πολεμίους ἔσθ' ὅτε κακώσαντες· παρὰ τοῦτο δὲ ἀπολόμενοι,

quoque amissis. Quare magnum exercitui mœrorem, magnum Alexandro dedecus ea res attulit: cùm scilicet omnibus locis fortuna illius consilium fefellerit siquidem plurimi è triplici illo exercitu (ita namque distribuerat) desiderati sunt, diversis calamitatibus, morbo, ferro, frigore.

XV. Ut verò Antiochiam pervenit Alexander, facilè & ipse convaluit, spiritu illo cœli, & aquarum abundantia, post æstuosos Mesopotamiæ calores refectus, & milites universos recreavit, consolatus etiam mœstitiam illorum pecuniis elargiendis. Id enim solum valere ad conciliandos militum animos arbitrabatur. Copias autem instaurabat, comparabatque de integro, quasi iterum in Persas exercitum deducturus, si molesti esse pergerent, neque ab injuria desisterent. Sed & Rex Persarum dimisisse milites suam quenque domum nunciabatur. Nam quamvis bello superiores fuisse Barbari viderentur, tamen præliis crebris in Media Parthiaque gestis pars ceciderant, alii attriti & saucii superfuerant. Neque enim segniter Romani devicti, sed ipsi quoque interdum exitiosi hostibus, nullaque adeo re magis perierunt quam

3. Scribit Lampridius triplicem exercitus calamitatem contigisse, ex *frigore*, morbo, ac *fame*, de quâ nihil Auctor noster. Videtur igitur Lamprid. in suis Herodiani codicibus pro πολέμῳ legisse λιμῷ. Causab. annot. in Lamprid.

quoniam

quoniam pauciores deprehensi. Nam cùm fere par utrinque numerus cecidisset, reliquiæ illæ Barbarorum non quidem fuisse viribus superiores, sed numero, videbantur. Magnum autem cladis Barbarorum argumentum est, quod triennio mox aut quadriennio Barbari nequaqnam arma resumserunt. Quibus intellectis Alexander Antiochiæ commorabatur, hilariorque jam & liberior, laxatis bellorum curis, urbis ejus deliciis indulgebat.

Enimverò putante illo tum quieturos Persas, aut sanè multum spacii moræque intercessurum priusquàm exercitum de integro cogerent, haud facilè, cum semel dissipatus est, in unum coeuntem, (utpote incertum atque inordinatum, vulgusque potius quàm exercitum, tantumque commeatuum habentem, quantum sibi unusquisque ad præsentem usum domo attulisset: præterea ægrè filios uxoresque, & sedes proprias relinquentem) statim nuncii literæque ab Illyricis procuratoribus adfuerunt, qui eum vehementer perturbarent, curamque animo majorem injicerent. Quippe significabant Germanos Rhenum Danubiumque transgressos, Romanos in fines hostiliter intrasse, oppugnareque jam exercitus ripis insidentes, perque urbes & vicos magnis copiis excurrere. Quapropter haud leviter Illyricas nationes

παρ' ὅσον πλήθει ἐλάττους εὑρέθησαν. ὡς σχεδὸν ἰσαρίθμου γενομένου τοῦ ἑκατέρωθεν πεσόντος στρατοῦ, τὸ περιλειφθὲν τῶν βαρβάρων, πλήθει ἀλλ' οὐ δυνάμει δοκεῖ νενικηκέναι. δεῖγμα δὲ τοῦτο οὐ μικρὸν τῆς βαρβάρων κακώσεως· ἐτῶν γοῦν τριῶν ἢ τεττάρων ἡσύχασαν, οὐδ' ἐν ὅπλοις ἐγένοντο. ἅπερ μανθάνων ὁ Ἀλέξανδρος, καὶ ἔτι ἐν τῇ Ἀντιοχείᾳ διέτριβεν. εὐθυμότερος δὲ καὶ ἀδεέστερος γενόμενος, ἀνειμένης αὐτῷ τῆς περὶ τὰ πολεμικὰ φροντίδος, ταῖς τῆς πόλεως ἐσχόλαζε τρυφαῖς.

Οἰομένου δὲ αὐτοῦ τὰ ἐν Πέρσαις ἐν εἰρήνῃ μὲν συγκείμενα ἡσυχάζειν, ἔχειν δὲ ἀνακωχὴν καὶ μέλλησιν τοῖς Βαρβάροις πρὸς τὸ πάλιν ἐπάγειν τὸν στρατόν· ὡς ἅπαξ διαλυθείς, οὐ ῥᾳδίως ἠθροίζετο, (ἅτε μὴ συντεταγμένος, μηδὲ συνεστώς, ἀλλ' ὄχλος μᾶλλον ἢ στρατὸς ὑπάρχων· καὶ τῆς ἐπισιτισμοῦ αὐτοῖς τοσούτων ὄντων, ὅσον ἂν ἕκαστος ἀφικνούμενος πρὸς τὸ ἑαυτοῦ χρειῶδες ἐπενέγκηται, καὶ δυσαποσπάστως τε καὶ δυσόκνως καταλιπόντων τέκνα καὶ γυναῖκας, καὶ τὴν οἰκείαν χώραν) αἰφνιδίως ἄγγελοί τε καὶ γράμματα ἐτάραξε τὸν Ἀλέξανδρον, καὶ εἰς μείζονα φροντίδα ἐνέβαλεν, ἐπιστειλάντων αὐτῷ τῶν ἐμπεπιστευμένων τὴν Ἰλλυρίδος ἡγεμονίαν, ὅτι ἄρα Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβαίνοντες, τὴν Ῥωμαίων πορθοῦσιν ἀρχήν, καὶ τὰ ἐπὶ ταῖς ὄχθαις στρατόπεδα ἐπικείμενα, πόλεις τε καὶ κώμας πολλῇ δυνάμει κατατρέχουσιν· εἴη τε οὐκ ἐν ὀλίγῳ κινδύνῳ τὰ Ἰλλυ-

εἰ καὶ ἔθνη, ὁμοροῦντα καὶ γειτνιῶντα Ἰταλίᾳ. δεῖσθαι τοίνυν τῆς αὐτοῦ παρουσίας, καὶ τοῦ στρατοῦ παντὸς ὃς ἦν σὺν αὐτῷ. δηλωθέντα δὴ ταῦτα τόν τε Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν πεπόνθεσαν Πέρσαις μαχόμενοι, ἔκ τε ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ἕκαστοι ὑπὸ Γερμανῶν ἀπολωλότας. ἠγανάκτουν οὖν, καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ ὡς τὰ ὑπὸ τὰς ἀνατολὰς δι' ἀμέλειαν ἢ δειλίαν προδεδωκότα, πρός τε τὰ ἀρκτῷα μέλλοντα καὶ ὀκνοῦντα. ἦν δὲ καὶ αὐτῷ δέος τῷ Ἀλεξάνδρῳ, τοῖς τε συνοῦσι φίλοις, ἤδη καὶ περὶ αὐτῆς Ἰταλίας· οὐ γὰρ ὅμοιον ἡγοῦντο τὸν ἐκ Περσῶν κίνδυνον ὄντα ἐκ Γερμανῶν. οἱ μὲν γὰρ ὑπὸ ταῖς ἀνατολαῖς κατοικοῦντες, μακρᾷ γῇ καὶ θαλάττῃ πολλῇ διῃρημένοι, τὴν Ἰταλῶν χώραν μόλις ἀκούουσι· τὰ δὲ Ἰλλυρικὰ ἔθνη, στενὰ ὄντα καὶ οὐ πολλὴν ἔχοντα τὴν ὑπὸ Ῥωμαίοις γῆν, παρὰ τοσοῦτον ὁμόρους καὶ γείτονας ποιεῖ Γερμανοὺς Ἰταλιώταις. ἐπαγγέλλει δὲ ἄκων μὲν καὶ ἀσχάλλων τὴν ἔξοδον, πλὴν τῆς ἀνάγκης αὐτὸν καλούσης. καταλιπών τε δύναμιν, ὅσην αὐτάρκη ᾤετο ξυνέσθαι τὰς Ῥωμαίων ὄχθας, τά τε στρατόπεδα, καὶ τὰ φρούρια ἐπιμελέστερον τειχίσας, καὶ πληρώσας ἕκαστα τοῦ ἀφωρισμένου στρατοῦ, αὐτὸς εἰς Γερμανοὺς ἠπείγετο ἅμα τῷ λοιπῷ πλήθει. ἀνύσας δὲ τὴν ὁδὸν μετὰ πολλῆς σπουδῆς, ἐπέστη ταῖς τοῦ Ῥήνου ὄχθαις, καὶ τὰ πρὸς τὸν Γερμανικὸν πόλεμον πα-

conterminas vicinasque Italiæ periclitari: Opus esse igitur ipsius præsentia, totoque quantum secum exercitum haberet. Hæc & formidinem Alexandro, & Illyricis militibus mœstitiam attulerunt. Quippe duplici se calamitate usos intelligebant, quòd & ipsi malè accepti in acie adversus Persas fuerant, & suos domi cæsos à Germanis audiebant. Quare indignabantur, atque Alexandro succensebant, tanquam res in Oriente prius vel metu vel negligentia prodidisset: nunc autem, rebus ad Septentrionem vocantibus, metu cunctaretur. Erant autem Alexander jam atque amici illius, etiam de ipsa Italia soliciti. Neque enim par periculum à Persis atque à Germanis impendebat. Nam qui sub Orientem habitant, magno terrarum marisque intervallo discreti, Italiæ vix nomen audiunt. At Illyricæ gentes, angustæ videlicet, neque multum agri Romanis subjecti possidentes, solæ discrimen faciunt inter Italiam atque Germaniam. Edicit itaque profectionem ingratis atque ægrè ferens, sed urgente tamen necessitate. Relictis autem copiis, quantas fore satis tuendis Romanis ripis arbitrabatur, castrisque & castellis diligentius communitis, ac præsidio firmatis, ipse adversus Germanos cum reliqua omni multitudine approperabat: confectoque celeriter itinere, constitit ad Rheni ripas, atque ibi res ad bellum Germa-

nicum

nicum necessarias comparabat. Pontemque primo junctis inter se navigiis fecit in Rheno flumine, ut per eum exercitus transgrederetur. Quippe hi maximi fluminum sub Septentrione feruntur, Rhenus ac Danubius: quorum alter Germanos, alter Pannonias præterfluit: atque æstate quidem navigabiles, altissimo latissimoque alveo; per hyemem dein concreti gelu, camporum in morem perequitantur. Est autem adeò ejus alvei solida glacies, ut non equorum ungulis tantum pedibusque virorum subsistat, sed qui hausturi inde sunt, non tam urnas aut vasa alia secum afferant, quàm dolabras, ut cæsam inde aquam sine vase ullo, veluti lapidem asportent. Hæc igitur illorum amnium natura est.

XVI. Alexander autem Mauros complures, ac vim ingentem sagittariorum, quos secum ex Oriente adduxerat, partim ex agro Osrhoenorum, partim è Parthia transfugas, pecuniáve illectos, adversus Germanos instruebat. Quippe hujuscemodi milites maximè Germanos infestant: cum & Mauri longius jacula intorqueant, sintque faciles ad incursus recursusque, utpote leves atque expediti, & sagittarii nuda Germanorum capita prægrandiaque illa corpora facilè eminus, veluti signum aliquod, contingant. Nonnunquam verò etiam collata acie res gerebatur, ex qua Germani persæpe

ἐσκευάζετο. τὸν μὲν ποταμὸν ναυσὶ διαλαμβάνων, ὡς πρὸς ἀλλήλας συνδεθεισῶν, γεφυρωθέντα, εὐμαρῆ τὴν διάβασιν τοῖς στρατιώταις παρέξειν ᾤετο. μέγιστοι γὰρ δὴ οὗτοι ποταμῶν ὑπ᾽ ἄρκτῳ ῥέουσι, Ῥῆνός τε καὶ Ἴστρος· ὁ μὲν Γερμανοὺς, ὁ δὲ Παίονας παραμείβων· οἳ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, διὰ βάθος τε καὶ πλάτος· τοῦ δὲ χειμῶνος, παγέντες ὑπὸ τοῦ κρύους, ἐν πεδίου σχήματι καθιππεύονται. ἀντιτυπὲς δὲ οὕτω καὶ στερρὸν γίνεται τὸ ποτε ῥεῖθρον, ὡς μὴ μόνον ἵππων ὁπλαῖς καὶ ποσὶν ἀνθρώπων ἀντέχειν, ἀλλὰ καὶ τοὺς ἀρύσασθαι θέλοντας, μὴ κάλπεις ἐπ᾽ αὐτὸ μηδὲ κοῖλα σκεύη φέρειν, πελέκεις δὲ καὶ δικέλλας, ἵνα ἐκκόψαντες, γυμνόν τε σκεύους ἀράμενοι τὸ ὕδωρ, φέρωσιν ὥσπερ λίθον. φύσις μὲν δὴ τῶν ποταμῶν αὕτη.

ιϛʹ. Ὁ δὲ Ἀλέξανδρος Μαυρουσίους τε πλείστους καὶ τοξοτῶν ἀριθμὸν πολὺν ἐπαγόμενος ἀπὸ τῆς ἀνατολῆς, ἔκ τε τῆς Ὀσροηνῶν χώρας, καὶ εἴ τινες Παρθυαίων αὐτόμολοι, ἢ χρήμασιν ἀναπεισθέντες, ἠκολουθήκεσαν αὐτῷ βοηθήσοντες, ἐξήρτυε δὲ Γερμανοῖς ἀντιτάξων. μάλιστα γὰρ τοιοῦτος στρατὸς ὀχληρὸς ἐκείνοις γίγνεται· τῶν τε Μαυρουσίων πόῤῥωθεν ἀκοντιζόντων, καὶ τὰς ἐπιδρομὰς τάς τε ἀναχωρήσεις κούφως ποιουμένων, τῶν δὲ τοξοτῶν ἐς γυμνὰς τὰς κεφαλὰς αὐτῶν καὶ σώματα ἐπιμήκη, ῥᾷστα καὶ πόῤῥωθεν, κατὰ σκοποῦ τοξευόντων. ἐπέθεόν τε πρὸς τὴν συσταδὸν μάχην ἀντιτυπεῖς, καὶ ἰσόῤῥο-

ποι

ποι πολλάκις Ῥωμαίοις ἐγίνοντο. Ἀλέξανδρος μὲν ἐν τούτοις ἦν· πλὴν ἔδοξεν αὐτῷ πρεσβείαν πέμψαι πρὸς αὐτοὺς, καὶ περὶ εἰρήνης διαλέγεσθαι. πάντα δὲ ὑπισχνεῖτο παρέξειν, ὅσων δέονται, καὶ χρημάτων ἀφειδῶς ἔχειν. τούτῳ γὰρ μάλιστα Γερμανοὶ πείθονται, φιλάργυροί τε ὄντες καὶ τὴν εἰρήνην ἀεὶ πρὸς Ῥωμαίους χρυσίου καπηλεύοντες. ὅθεν ὁ Ἀλέξανδρος ἐπειρᾶτο ὠνήσασθαι μᾶλλον τὰς πρὸς αὐτοὺς σπονδὰς, ἢ διὰ πολέμου κινδυνεύειν.

ιζ'. [1] Οἱ μέντοι στρατιῶται χαλεπῶς ἔφερον, διατριβῆς τε ματαίας ἐγγινομένης, καὶ μηδέν τι γενναῖον ἢ πρόθυμον εἰς τὸ πολεμεῖν παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ' ἡνιοχείαις καὶ τρυφαῖς προσέχοντος, δέον ἐπεξελθεῖν καὶ τιμωρήσασθαι Γερμανοὺς ἐπὶ τοῖς προτετολμημένοις. ἦν δέ τις ἐν τῷ στρατῷ, [2] Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτων Θρακῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης, ὡς ἐλέγετο, πρότερον μὲν ἐν παισὶ ποιμαίνων· ἐν ἀκμῇ δὲ τῆς ἡλικίας γενόμενος, διὰ μέγεθος καὶ ἰσχὺν σώματος, εἰς τοὺς ἱππεύοντας στρατιώτας καταταγεὶς εἶτα, κατ' ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, ἐλθὼν διὰ πάσης τάξεως στρατιωτικῆς, ὡς στρατοπέδων τε ἐπιμέλειαν τῶν ἐ-

haud impares Romanis abibant. Cum in his Alexander verſaretur, decrevit tamen oratores ad illos de pace mittere, qui pollicerentur omnia illis principem Romanum quorum foret opus præbiturum, pecuniaſque daturum magna copia. Sunt enim Germani pecuniæ in primis avidi, nunquamque non auro pacem Romanis cauponantur. Quare Alexander pacem fœderaque potius ab illis emercari, quàm periclitari bello tendebat.

XIII. Cæterum miles Romanus iniquo animo ferebat, fruſtrà ſe tempus terere, nulla occaſione fortiter quicquam animoſeque gerendi, intento aurigationibus (ut aiebant) ac deliciis Alexandro: cùm contra oporteret vindicare potius Germanos, pœnaſque ab iis exigere audaciæ. Erat autem in exercitu Maximinus, è quodam Thraciæ, & quidem intimæ, vico, ſemibarbarus homo, & qui à pueritia opilio fuiſſet: dein vigente ætate, ob corporis proceritatem vireſque ingentes, equo ſtipendia fecerat: poſtremoque, fortuna quaſi manuducente ac prævia, cum per omnes militiæ gradus aſcendiſſet, etiam ad exercituum provinciarumque

1. Hic ab omnibus ferè diſſentit Herodianus, maximè à Lampridio; qui ingentem victoriam & glorioſum triumphum de Perſis Alexandrum egiſſe ex multis autoribus aſſerit, cujus de hac re ſententia prolixior eſt, quam ut ſine tædio recitari poſſit.

2. Καί τινα Μαξιμῖνον, inquit Zonaras, natione Thracem, qui à puero armentarius fuerat, poſteà miles factus eſt, invitum ad imperium pertraxerunt.

præ-

præposituras evaserat. Hunc igitur Maximinum, ob eam quam suprà diximus rei militaris peritiam, tyronibus universis Alexander præfecerat, quos ad militiæ munera exerceret, atque ad bellandum idoneos redderet qui cum in eo negotio nihil sibi ad omnem diligentiam reliqui faceret, maximam scilicet à cuncto exercitu gratiam inibat. Non solùm quæ gerenda forent assiduè edocens, sed ipse etiam primus obiens quæ usus posceret, ut non discipulos tantum, sed æmulos etiam atque imitatores haberet suæ virtutis; quos etiam muneribus omnique genere honorum sibi adjungebat. Quapropter adolescentes, quorum bona pars ex Pannonia erat, læti virtute Maximini, vulgo obtrectabant Alexandro, quod sub matris autoritate adhuc esset, nihilque non ex arbitrio consilioque illius administraret, bellumque segniter & timidè gereret: ferentes identidem sermonibus inter se, quantum detrimenti cunctatione illius in Oriente accepissent, nihilque adhuc fortiter ac viriliter gestum adversus Germanos. Quare & suapte natura proni ad res novandas, & tam longum principatum gravati, minus jam lucrosum, omni ambitione pridem consumpta: tum sperantes alterum mox principem, adepto præter expectationem Imperio, plus aliquantum utilitatis honorumque ipsis ac studii delaturum: decre-

θνῶν τὰς ἀρχὰς πιστευθῆναι. τὸν δὴ Μαξιμῖνον τοῦτον διὰ τὴν προειρημένην στρατιωτικὴν ἐμπειρίαν, ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ τῇ τοῦ στρατοῦ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτικὰ, καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δὲ, μετὰ πάσης ἐπιμελείας ποιούμενος τὰ ἐγκεχειρισμένα, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον διδάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων προηγούμενος· ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ ζηλωτὰς καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. ἔτι τε καὶ δώροις αὐτοὺς καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο. ὅθεν οἱ νεανίαι, ἐν οἷς ἦν τὸ πολὺ πλῆθος Παιόνων μάλιστα, τῇ μὲν ἀνδρείᾳ τοῦ Μαξιμίνου ἔχαιρον· τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑπὸ τῆς τε μητρὸς ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγμάτων ὑπ' ἐξουσίας τε καὶ γνώμης γυναικὸς, ῥαθύμως τε καὶ ἀνάνδρως τοῖς πολεμικοῖς προσφερομένου ἐκείνου. ὑπεμίμνησκον δὲ ἀλλήλους τῶν τε ὑπὸ τῆς ἀνατολαῖς διὰ μέλλησιν αὐτοῦ πταισμάτων, καὶ ὅτι μηδὲν ἀνδρεῖον μηδὲ νεανικὸν παρέχοιτο, εἰς Γερμανοὺς ἐλθών. ὄντες οὖν καὶ ἄλλως πρὸς τὸ καινοτομεῖν ἐπιτήδειοι, καὶ τὸ μὲν παρὸν τῆς ἀρχῆς βαρὺ διὰ μῆκος ἐξουσίας ἡγούμενοι, ἀκερδές τε ἤδη, πάσης προανηλωμένης φιλοτιμίας· τὸ δὲ μέλλον καὶ πρόσφατον ἔς τε τὸ κερδαλέον αὐτοῖς εὔχηται, καὶ τῷ κλωμένῳ παρὰ προσδοκίαν, τίμιόν τε καὶ περισπούδαστον· ἐβουλεύσαντο ἀποσκευά-

σασθαι

σαι δὲ μὲν τὸν Ἀλέξανδρον, ἀνειπεῖν δὲ αὐτοκράτορα καὶ σεβαστὸν τὸν Μαξιμῖνον, συστρατιώτην τε αὐτὸν ὄντα καὶ σύσκηνον, ἔς τε τὸν παρόντα πόλεμον διʼ ἐμπειρίαν καὶ ἀνδρείαν ἐπιτήδειον δοκοῦντα. ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι, ὡς δὴ ἐπὶ τὰ συνήθη γυμνάσια προελθόντα, καὶ ἐπιστάντα αὐτοῖς τὸν Μαξιμῖνον (εἴτε καὶ νοοῦντα τὸ πραττόμενον, εἴτε καὶ λάθρα τοῦτο προκατασκευάσαντα) πορφύραν ἐπιβαλόντες βασιλικὴν, αὐτοκράτορα ἀναγορεύουσιν. ὁ δὲ, τὰ μὲν πρῶτα παρῃτεῖτο, καὶ τὴν πορφύραν ἀπερρίπτει· ὡς δὲ ἐνέκειντο ξιφήρεις, ἀποκτενεῖν ἀπειλοῦντες, τὸν παρόντα κίνδυνον τοῦ μέλλοντος προκρίνας, ἀνεδέξατο τὴν τιμὴν, πολλάκις αὐτῷ πρότερον, ὡς ἔλεγε, χρησμῶν καὶ ὀνειράτων τὴν τοσαύτην τύχην προειρηκότων. εἰπὼν πρὸς τοὺς στρατιώτας, ὅτι ἄκων μὲν καὶ μὴ βουλόμενος ἀναδέχεται, πειθόμενος τῇ ἐκείνων βουλήσει. παραγγέλλει δʼ αὐτοῖς ἔργῳ βεβαιῶσαι τὰ δόξαντα, ἁρπάσαντάς τε τὰ ὅπλα, σπεύδειν ἐπιστῆναι τῷ Ἀλεξάνδρῳ ἀγνοοῦντι, τὴν φήμην φθάσαντας. ἵν' ἐκπλήξαντες τοὺς συνόντας ἐκείνῳ στρατιώτας καὶ φρουροὺς τοῦ σώματος, ἢ πείσωσιν ὁμογνωμονῆσαι, ἢ ῥᾷστα βιάσαιντο ἀπαρασκεύους τῷ μηδὲν προσδοκᾶν.

ιη'. Ὡς δʼ αὐτοὺς εἰς εὔνοιαν καὶ προθυμίαν πάνυ προεκαλέσατο, τά τε σιτηρέσια ἐπιδιπλασιάσας, νομάς τε καὶ δόσεις μεγίστας ὑπέσχετο, τιμωρίας τε καὶ κηλῖδας πάσας αὐτοῖς ἀνῆκεν. ἐπί τε τὴν πορείαν ἐξῆγαγεν. οὐ

vere Alexandrum obtruncare, ac Maximinum vocare Auguſtum; commilitonem videlicet, & contubernalem, præterea que rei militaris peritia maximè præſenti bello idoneum. Cum igitur frequentes in campum conveniſſent, venienti ad conſueta exercitia Maximino, (dubium, ignaro, an re prius compoſita,) purpuram circundant, Imperatoremque ſalutant. Ille primò reniti, & abjicere purpuram. Ut autem nudos intentari gladios à militibus vidit, occiſuros niſi cederet minitantibus, futurum quàm præſens periculum præoptans, honorem ſcilicet recepit, fortunamque illam ſæpe (ut aiebat) oraculis ac ſomniis præmonſtratam, teſtatus milites prius, invitum retrectantemque ſe cogi, ſed illorum tamen obſequi voluntati. Quam ob rem quæ ipſis placuerint, re ſanciant, ſublatiſque armis, etiam prævento rumore, Alexandrum jam rei totius ignarum, opprimant. Ut terrore militibus ejus ac ſtipatoribus injecto, eos ad aſſenſum adducant, aut facillimè ad hoc adigant, utpote imparatos, quod nihil ejuſmodi expectent.

XVIII. Poſtea verò quàm benevolentiam omnium atque alacritatem provocavit, duplicata ſcilicet annona, ingentique promiſſo donativo, pœniſque omnibus ignominiiſque remiſſis, confeſtim ad Alexandri

lexandri tabernaculum, quòd haud procul abesset, universos educit.

His ille nunciatis, vehementer rei novitate perturbatus atque exterritus, prosiliit è tabernaculo, vesano similis, lacrymansque & tremens, nunc Maximinum perfidum ingratumque vocare, enumeratis quæcunque in illum beneficia contulisset; nunc juvenes commilitones accusare, qui neglecto sacramento, adeò proterviter id facinus auderent: postremò autem polliceri daturum se quæ vellent, emendaturumque si qua essent de quibus quererentur. Sed milites qui eum tuebantur, faustis in præsens acclamationibus prosecuti, defensuros eum cunctis viribus affirmabant. Nocte autem exacta, cum jam lucesceret, nuntiantibus quibusdam adesse Maximinum, pulveremque haud procul excitatum videri, ac voces magnæ multitudinis exaudiri: rursus in planiciem egressus Alexander, convocare milites, rogare ut se defenderent, tuerenturque eum quem ipsi educavissent; quoque jam quatuordecim annos imperante, sine ulla querela vixissent. Commotisque miseratione omnibus, arma capere, ac resistere hostibus imperabat. At milites, etsi omnia principi pollicebantur, paulatim tamen alii aliò dilabebantur, nec arma capere voluerunt. Quidam etiam præfectum prætorii, atque Alexan-

πολὺ δ' ἀφειστήκει τὸ χωρίον, ἔνθα ἐσκήνου ὁ Ἀλέξανδρος, καὶ οἱ σὺν αὐτῷ.

Ὡς δ' ἀπηγγέλη τὰ περὶ τὸν Μαξιμῖνον, ὁ Ἀλέξανδρος ἐν μεγίστῃ ταραχῇ γενόμενος, καὶ πρὸς τὸ παράδοξον τῆς ἀγγελίας ἐκπλαγείς, προπηδήσας τῆς βασιλείου σκηνῆς ὥσπερ ἐνθουσιῶν, δακρυῤῥοῶν καὶ τρέμων, τοῦ τε Μαξιμίνου ὡς ἀπίστου καὶ ἀχαρίστου κατηγόρει, πάσας τὰς εἰς ἐκεῖνον εὐεργεσίας καταλεχθείσας πρὸς αὐτοῦ διηγούμενος, τούς τε νεανίας συστρατιώτας ᾐτιᾶτο ὡς προπετῶς καὶ ἐπιόρκως ταῦτα τετολμηκότας· δώσειν τε πάντα ὑπισχνεῖτο ὧν δέοιντο, καὶ ἐπανορθώσεσθαι, εἴ τι μέμφοιντο. οἱ δὲ σὺν αὐτῷ στρατιῶται, ἐκείνης τῆς ἡμέρας εὐφημήσαντες αὐτὸν παρέπεμψαν, ὑποσχόμενοι παντὶ σθένει προασπίζειν αὐτοῦ. τῆς νυκτὸς δὲ διαδραμούσης, κατὰ τὸ περίορθρον ἀγγειλάντων τινῶν ὅτι δὴ Μαξιμῖνος πρόσεισι, κόνις τε πόῤῥωθεν ἐγειρομένη φαίνεται, βοῆς τε ἦχος πλήθους ἐξακούεται, πάλιν προελθὼν ἐς τὸ πεδίον ὁ Ἀλέξανδρος, συγκαλέσας τε τοὺς στρατιώτας, ἐδεῖτο προμαχεῖν, καὶ σώζειν ὃν ἀνεθρέψαντο, καὶ ὑφ' ᾧ βασιλεύοντι τεσσαρεσκαίδεκα ἔτεσιν, ἀμέμπτως βεβιώκεσαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον προσκαλούμενος, ἐκέλευεν ὁπλίζεσθαι, καὶ ἐξελθόντας ἀντιπαρατάττεσθαι. οἱ δὲ στρατιῶται, τὰ μὲν πρῶτα ὑπισχνοῦντο, κατ' ὀλίγους δὲ ἀνεχώρουν, οὐδ' ὅπλα λαβεῖν ἤθελον. οἱ δέ τινες τὸν ἔπαρχον τοῦ στρατοῦ καὶ τοὺς οἰκείους Ἀλεξάνδρου

ᾔτουν πρὸς ἀναίρεσιν, πρόφασιν ποιούμενοι, αἰτίους τῆς ἀποστάσεως γεγενῆσθαι. οἱ δὲ τὴν μητέρα ἐμέμφοντο ὡς φιλάργυρον, καὶ τὰ χρήματα ἀποκλείουσαν, διά τε τὴν μικρολογίαν καὶ τὸ πρὸς τὰς ἐπιδόσεις ὀκνηρὸν τοῦ Ἀλεξάνδρου μεμισημένου. καὶ μέχρι μὲν τινος τοιαῦτα διαφόρως βοῶντες παρέμενον· ὡς δὲ τοῦ Μαξιμίνου ὁ στρατὸς ἤδη τοῖς ἐν ὄψεσιν ἦν, παρεκάλεσε τοὺς στρατιώτας καταλιπεῖν μὲν γύναιον μικρολόγον, καὶ μειράκιον μικρὸν μητρὶ δουλεῦον, προσιέναι δὲ ἀνδρὶ γενναίῳ καὶ σώφρονι, συστρατιώτῃ τε ἐν ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διατετριμμένῳ· πεισθέντες οἱ στρατιῶται, τὸν μὲν Ἀλέξανδρον καταλείπουσιν, αὐτοὶ δὲ προσίασι τῷ Μαξιμίνῳ, αὐτοκράτωρ τε ὑπὸ πάντων ἐκεῖνος ἀναγορεύεται. ὁ δὲ Ἀλέξανδρος, τρέμων καὶ λειποψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται· τῇ τε μητρὶ περιπλακείς, καὶ, [1] ὥς φασιν, ἀποδυρόμενός τε καὶ αἰτιώμενος ὅτι δι' ἐκείνην ταῦτα πάσχει, ἀνέμενε τὸν φονεύσοντα. ὁ δὲ Μαξιμῖνος ὑπὸ παντὸς τοῦ στρατοῦ σεβαστὸς προσαγορευθείς, πέμπει χιλίαρχον, [2] ἑκατοντάρχας τέ τινας φονεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, καὶ εἴ τινες ἀνθίσταιντο τῶν σὺν αὐτῷ. οἱ δὲ, ἀφι-

dri familiares ad supplicium deposcebant, sub hoc prætextu quod defectionis causa essent. Alii matrem ipsius accusabant, avaram fœminam, & quæ pecuniis congerendis, ob sordes nimias parsimoniamque erga milites, invisum cunctis Alexandrum reddiderit. Igitur aliquandiu hæc inter se diversi dictitantes, stabant adhuc tamen: ut verò exercitus Maximini in conspectum venit, atque hortari commilitones cœpit, ut mulierem sordidam & pusillum adolescentem, etiamnum sub matris servitio, statim desererent, seque viro forti proboque aggregarent, commilitoni ipsorum, atque in armis semper, bellicisque muneribus versato; confestim universi ab Alexandro desciverunt, atque unanimiter imperatorem Maximinum consalutaverunt. At ille tremens atque examinatus, in tabernaculum revertitur, matrique implicitus, & (ut aiunt) conquerens atque incusans quòd ob illam talia pateretur, expectabat interfectorem. Maximinus autem, postquam eum exercitus universus Augustum appellavit, tribuno & centurionibus aliquot negotium dat, Alexandri, matrisque unà, & quicunque vim contrà facerent, occidendorum. Qui facto

1. Ἠτιᾶτο δὲ τὴν μητέρα, inquit Suidas. Querebatur de matre, & molestissimè ferebat ejus avaritiam, quod ea malis artibus fiscum augeret.

2. Multi dicunt immissos Tyrones, qui Maximino ad exercendum dati fuerant, Alexandrum occidisse; multi aliter: à militibus tamen constat, quum injuriose quasi in puerum eundem, & matrem ejus avaram ac cupidam, multa dixissent. Lampr. Imperavit annis 13. diebus 9. vixit annis 28. mensibus 3. diebus 7. Lamprid.

impetu in tabernaculum, ſtatim ipſum cum matre amicique & honoratiſſimo quoque obtruncant, exceptis qui paulò antè fuga ſibi ac latebris conſuluiſſent: Quos tamen univerſos, haud multo poſt comprehenſos Maximinus ipſe morte affecit.

Hunc finem habuit vitæ Alexander, unà cum matre, cum annos quatuordecim, ſine ulla ſubjectorum querela, atque adeò ſine ſanguine imperaſſet: ſiquidem à cædibus & crudelitate abhorrens, neminem niſi judicio damnatum perire patiebatur; ad humanitatem videlicet ac benevolentiam propenſus. Omni igitur ex parte laudatum fuiſſet Alexandri imperium, niſi mater ejus ob avaritiam & ſordes male audiſſet.

κόμενοι, καὶ ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτόν τε ἀναιροῦσι καὶ τὴν μητέρα, καὶ εἴ τινες ἐδόκουν ἐκείνῳ φίλοι καὶ τίμιοι· πλὴν τῶν ὀλίγων φυγεῖν ἢ λαθεῖν δυνηθέντων, οὓς πάντας μετ' οὐ πολὺ ὁ Μαξιμῖνος συλλαβὼν ἀπώλεσεν.

Τέλος μὲν δὴ τοιοῦτον κατέλαβε τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, βασιλεύσαντα ἔτεσι τεσσαρεσκαίδεκα, ὅσον πρὸς τοὺς ἀρχομένους, ἀμέμπτως καὶ ἀναιμωτί. φόνων τε γὰρ καὶ ὠμότητος, ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικώτερον ἐπιρρεπής. πάνυ γοῦν ἂν ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΕΒΔΟΜΟΝ.

HERODIANI

Historiæ de Imperio post Marcum

LIBER SEPTIMUS.

BREVIARIUM LIBRI SEPTIMI.

[1] *Maximinus Thrax, vasto corpore & crudeli animo præditus, suscepto Imperio statim tyrannidem exercuit, conscientiâ natalium, & conjuratione tribunorum, atque militum defectione irritatus: Germanos intra silvas & paludes delitescentes, bello aggressus fundit, fugatque: sævus quidem in hostes, sed in suos truculentior, per fas nefasque omnes omnium pecunias sibi adjudicans. Unde invidia passim, mox seditio in Africâ exorta est: ubi procuratore quodam interfecto, Gordianus Africæ proconsul, Imperator eligitur; qui Vitalianum præfectum Prætorii Romæ interficiendum curavit, & à Senatu Augustus declaratur. Mox tamen cum filio in Africa periit, Capelliano persequente. Maximinus ex Pannoniâ cum universo exercitu Romam contendit: ubi Maximinus & Balbinus collegæ Imperatoris electi, & Gordiani nepos Cæsar cre-*

---

1 Maximinus hic, licet à Græcis Latinisque scriptoribus non aliter ferè quam Maximinus nominetur, Aurelio tamen victori dicitur (uti & ipsius filius) Caius Julius Maximinus: in veteribus verò inscriptionibus, Caius Julius Verus Maximinus. Casaub. annotat. Capitol.

atus erat. Bellum civile Romæ Gallicano autore ortum, populo Romano & militibus Prætorianis hostiliter inter se dimicantibus.

Τίνι μὲν βίῳ Ἀλέξανδρος ἐχρήσατο, τέλει τε ὁποίῳ, βασιλεύσας ἔτη τεσσαρεσκαίδεκα, ἐν τοῖς προειρημένοις ἐδηλώσαμεν. ὁ δὲ [1] Μαξιμῖνος, παραλαβὼν τὴν ἀρχὴν, πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ χρώμενος· ἔκ τε πρᾳείας καὶ πάνυ ἡμέρου βασιλείας εἰς τυραννίδος ὠμότητα μετάγειν πάντα ἐπειρᾶτο· δυσμένειαν ἑαυτοῦ συνειδὼς, ὅτι τε πρῶτος ἐξ εὐτελείας τῆς ἐσχάτης εἰς τοσαύτην τύχην ἤλασε. φύσει δὲ ἦν τὸ ἦθος, ὥσπερ καὶ τὸ γένος, βάρβαρος· τό, τε φονικὸν, πάτριον ἔχων καὶ ἐπιχώριον, πρόνοιαν ἐποιεῖτο δι' ὠμότητος τὴν ἀρχὴν βεβαιώσασθαι· δεδιὼς μήτε τῇ συγκλήτῳ καὶ τοῖς ὑπηκόοις εὐκαταφρόνητος γένηται, καὶ εἰς τὴν παροῦσαν αὐτοῦ τύχην ἀφορῶσιν, ἀλλ' εἰς τὰ τῆς [2] γενέσεως εὐτελῆ σπάργανα. τεθρύλλητο γὰρ παρὰ πᾶσι καὶ διεβέβλητο, ὅτι δὴ ποιμαίνων ἐν τοῖς Θρᾳκίοις ὄρεσιν, ἐπιδούς τι αὐτὸν διὰ

Qualem vivendi rationem instituit Alexander, & quem vitæ exitum habuit post quatuordecim annorum imperium, superiore volumine exposuimus. Interea Maximinus rerum potitus, mutata vehementer rerum conditione, asperè ferociterque adepta potestate utebatur, sic ut ex molli, mansuetoque Imperio ad tyrannidis crudelitatem vertere omnia contenderet. Nam cum se invisum hominibus cognosceret, quod primus ex infimo loco ad eam fortunam pervenisset, præterea moribus per inde ut genere barbarus, patrioque instituto cædis avidissimus, ad id potissimum dabat operam, ut Imperium sibi sævitia constabiliret: scilicet metuens ne Senatui reliquisque omnibus Romanæ ditionis hominibus contemptibilior fieret, dum non tam in eo præsens fortuna, quam natalium obscuritas spectatur. Quippe jam id tritum vulgatumque apud o-

1. Tam crudelis ut alii Cyclopem, alii Busiridem, alii Scironem, alii Phalarim, Typhonem & Gygem appellarent. Jul. Capitol. Nec in Christianos sævus atque immanis extitit, sed in subditos æquè omnes, superbus & pecuniæ avidus, eâque de causâ injustissimus & sanguinarius planè Tyrannus, ad rapinas & cædes hominum sine ullâ probabili causâ ruens, adeò ut nec uxoris suæ vitæ parceret. Zon.

2. Maximinus de vico Thraciæ vicino, Barbaro etiam patre & matre genitus: Patri quidem nomen Micæa, matri Ababa fuisse perhibetur. Capitol

mnes,

mnes, opilionem fuisse in Thraciæ montibus: dein corporis vastitate ac robore inter ejus regionis tenuissimos milites ascitum, quasique manu ductum à fortuna ad Romanum Imperium. Quare omnes confestim amicos consiliariosque Alexandri à Senatu lectos sustulit è medio, partimque Romam dimisit, partim, administrationem rerum causatus, officio privavit. Id eo consilio fecit, ut solus esset in exercitu, neminemque prope se haberet, ex conscientia nobilitatis potiorem: sed velut ex arce quadam, citra ullius reverentiam, tyrannidis operibus vacare posset. Omniaque Alexandri ministeria, quibus ille per tot annos usus fuerat, ex aula ejecit: plurimis etiam interfectis, quòd insidias videlicet suspectaret, quando omnes illius interitu mœstos esse intelligebat.

II. Cæterùm magis magisque crudelitatem irritavit conjurationis in se cujusdam delatio, conspiratis in unum centurionibus permultis, omnique Senatu Romano. Magnus erat quidem nomine, vir patricius & consularis, qui delatus Imperatori est, quasi manum contrà ipsum compararet, ac militibus persuaderet, ut ad

[1] μέγεθος καὶ ἰσχὺν σώματος εἰς εὐτελῆ καὶ ἐπιχώριον στρατείαν, ὑπὸ τῆς τύχης ἐπὶ τὴν Ῥωμαίων ἀρχὴν κεχειραγωγημένος. εὐθέως οὖν τούς τε φίλους πάντας οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ, συνέδροι τε ὑπὸ τῆς συγκλήτου βουλῆς ἐπιλεχθέντες, ἀπεσκευάσατο· καὶ οὓς μὲν [2] εἰς τὴν Ῥώμην ἀπέπεμψε, τινὰς δὲ ἐπὶ προφάσει διοικήσεως ἀπεσείσατο· μόνος εἶναι βουλόμενος ἐν τῷ στρατῷ, καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως εὐγενοῦς κρείττονα· ἀλλ᾽ ἵν᾽ ὥσπερ ἐξ ἀκροπόλεως, μηδενὸς αὐτῷ παρόντος ᾧ νέμειν αἰδῶ ἀνάγκην ἔχοι, τοῖς τυραννίδος ἔργοις σχολάζοι. τήν τε θεραπείαν πᾶσαν ἣ συγγεγόνει τῷ Ἀλεξάνδρῳ τοσούτων ἐτῶν, τῆς βασιλείου αὐλῆς ἀπέπεμψε· τοὺς δὲ πλείστους αὐτῶν καὶ ἀπέκτεινεν, ἐπιβουλὰς ὑποπτεύων. ᾔδει γὰρ ἀλγοῦντας ἐπὶ τῇ ἐκείνου ἀναιρέσει.

β'. [3] Ἔτι δὲ καὶ μᾶλλον αὐτὸν εἰς ὠμότητα καὶ τὴν πρὸς ἅπαντας ὀργὴν προεκαλέσατο, συνωμοσία τις διαβληθεῖσα κατ᾽ αὐτοῦ συγκροτουμένη, πολλῶν τε ἑκατοντάρχων συμπνεόντων, καὶ τῶν ἀπὸ τῆς βουλῆς ἁπάντων. Μάγνος τις ὄνομα, ἦν τῶν εὐπατριδῶν τε καὶ ὑπατευκότων· οὗτος διεβλήθη συνάγειν κατ᾽ αὐτοῦ χεῖρα, καὶ στρατιώτας τινὰς

1. Erat magnitudine corporis perspicuus, Capitol. quem alii *Hectorem* & *Achillem*, alii Ajacem, Milonem & Antæum vocabant. Idem.

2. Potius, removit, vel officio privavit, quoniam (ut notat. Steph.) sequentia verba illam constructionem non admittunt.

3. Tristior & immanior factus est conspiratione Magni cujusdam, Consularis viri, contra se paratâ. Capitol.

πείθειν,

πείθειν εἰς αὐτὸν τὴν ἀρχὴν μετάγειν. ἡ δὲ συσκευή, τοιαύτη τις ἐλέγετο ἔσεσθαι. γεφυρώσας τὸν ποταμὸν ὁ Μαξιμῖνος, ἔμελλεν ἐπὶ Γερμανοὺς διαβήσεσθαι. ἅμα γὰρ τῷ τὴν ἀρχὴν παραλαβεῖν, εὐθέως πολεμικῶν ἔργων ἤρξατο, καὶ διὰ σώματος μέγεθος καὶ ἰσχὺν στρατιωτικὴν, καὶ ἐμπειρίαν πολεμικὴν, δοκῶν ἐπιλελέχθαι, ἔργοις τὴν δόξαν, καὶ τὴν τῶν στρατιωτῶν ὑπόληψιν ἐπιστοῦτο. τὴν τε Ἀλεξάνδρου μέλλησιν, καὶ τὴν πρὸς τὰ πολεμικὰ ἔργα δειλίαν, ἐλέγχειν ἐπειρᾶτο εἰκότως κατεγνωσμένην. ἀσκῶν τε οὖν καὶ γυμνάζων τοὺς στρατιώτας οὐ διέλειπεν, αὐτός τε ἐν ὅπλοις ὢν, καὶ τὸν στρατὸν ἀεὶ παρορμῶν. τότε τοίνυν τὴν γέφυραν ζεύξας, ἔμελλεν ἐπὶ Γερμανοὺς διαβήσεσθαι. ὁ δὲ Μάγνος ἐλέγετο στρατιωτῶν [1] οὐ ὀλίγους, ἀλλὰ τοὺς ἐξοχωτάτους, καὶ μάλιστα τοὺς τὴν φρουρὰν τῆς γεφύρας καὶ τὴν ἐπιμέλειαν πεποιημένους, ἀναπεῖσαι, μετὰ τὸ διαβῆναι τὸν Μαξιμῖνον, λύσαντας τὴν γέφυραν, προδοῦναι τοῖς βαρβάροις, οὐχ ὑπαρχούσης αὐτῷ ἐπανόδου. πλάτει γὰρ καὶ βάθει μέγιστος ὁ ποταμὸς ῥέων, ἄβατος αὐτῷ ἐγίνετο, οὔτε νεῶν οὐσῶν ἐν ταῖς πολεμίαις ὄχθαις, τῆς γεφύρας λυθείσης. ἡ μὲν τῆς διαβολῆς φήμη, τοιαύτη ἐγένετο, εἴτε ἀληθὴς ὑπάρξασα, εἴτε ὑπὸ τοῦ Μαξιμίνου συσκευασθεῖσα· ἀκριβὲς δὲ εἰπεῖν οὐ ῥᾴδιον, ἐπεὶ ἔμεινεν ἀνεξέλεγκτος. μήτε γὰρ κρίσει τινὶ μεταδοὺς, μήτε ἀ-

se Imperium transferrent. Consilium autem hujuscemodi fuisse putatur. Pontem construxerat Maximinus supra flumen, quà adversus Germanos transiret. Ut enim primùm summam rerum suscepit, statim bellica facinora affectavit: siquidem ob immanem corporis staturam, & militare robur, ac peritiam pugnandi ascitus ad Imperium, re ipsa famam confirmare atque opinionem militum tendebat: ut metum illum & cunctationem Alexandri in præliis capescendis jure improbatam fuisse coargueret. Quare nihil sibi ad exercendos milites reliqui faciebat: & cum ipse in armis assiduus erat, tum exercitum vehementer adhortabatur. Sed tum constructo (ut diximus) ponte, transire in Germaniam statuerat. Cæterum Magnus haud sanè paucis militibus, sed qui virtute cæteros anteirent, atque iis potissimum, quibus custodia pontis curaque fuerat demandata, persuasisse dicebatur, ut simul ac Maximinus in alteram ripam pervasisset, ponte abscisso, redituq; intercluso, barbaris eum proderent: siquidem tanta erat amnis illius profunditas ac latitudo, ut irremeabilis fore videretur, nullis præsertim navigiis in adversa ripa. Accusationis fama talis fuit, seu vera, seu à Maximino conficta. Non facile est autem quidquam certi dicere: quoniam de illa inquisitio habita non

1. Potius ὀλίγους μὲν, vel στρατιωτῶν μὲν ὀλίγους. Steph.

fuit,

fuit, nullo enim in judicium vocato, nullique dato ſui defendendi ſpatio, quoſcunque ſuſpectos habebat, repentè correptos immiſerecorditer interfecit.

III. Sed & militum Oſrhoënorum defectio nonnulla oborta eſt. Nam cum magnopere indoluiſſent Alexandri nece, ac fortè fortuna in quendam ex illius amicis, cui nomen Quartino fuit, paulò antè è caſtris à Maximino dimiſſum incidiſſent; correptum atque retractantem, neque tale quippiam cogitantem, ducem ſibi delegerunt: purpuraque eum, prælatoque igni, (funeſtis ſcilicet honoribus) condecoratum, nihilque minus optantem, ad imperium protulerunt. Qui tamen haud diu poſt in tabernaculo dormiens, à contubernali quodam ſuo, & (ut credebatur) amico, per inſidias occiditur. Macedoni nomen fuit, qui & antea Oſrhoënis præfuerat, & nunc primus eiſdem autor fuerat deficiendi à Maximino. Cumque nulla ſubeſſet odii aut inimicitiarum cauſa, tamen eum occidit quem ipſemet corripuerat, atque ad ſuſcipiendum Imperium perpulerat. Sed enim magnopere tunc gratum ſe Maximino facturum putans, abſciſſum Quartino caput dono obtulit.

IV. Verum Maximinus, quamvis eo facinore lætus, gau-

πολογίᾳ, πάντας ἐς ὑποψίαν, αἰφνιδίως συναρπασθέντας, ἀφειδῶς ἐφόνευσεν.

γʹ. [1] Ἐγένετο δέ τις καὶ Ὀσροηνῶν τοξοτῶν ἀπόστασις, οἳ πάνυ ἀλγοῦντες ἐπὶ τῇ Ἀλεξάνδρου τελευτῇ, περιτυχόντες τῶν ἀπὸ ὑπατείας καὶ φίλων Ἀλεξάνδρου τινὶ, ([2] Κουαρτῖνος δὲ ἦν ὄνομα, ὃν Μαξιμῖνος ἐκπέμψας ἦν τοῦ στρατοῦ) ἁρπάσαντες, ἄκοντα καὶ οὐδὲν προειδότα, στρατηγὸν ἑαυτῶν κατέστησαν· πορφύρᾳ τε καὶ πυρὶ πομπεύοντα, ὀλεθρίοις τιμαῖς, ἐκόσμησαν· ἐπί τε τὴν ἀρχὴν ἦγον, οὔτι βουλόμενον. ἐκεῖνος μὲν οὖν ἐν τῇ σκηνῇ καθεύδων, ἐπιβουλευθεὶς νύκτωρ, αἰφνιδίως ἀνῃρέθη ὑπὸ τοῦ συνόντος αὐτῷ, καὶ δοκοῦντος φίλου, τῶν τε Ὀσροηνῶν πρότερον ἡγουμένου· (Μακεδὼν ἦν ὄνομα αὐτῷ) καί τοι τῆς ἁρπαγῆς καὶ τῆς ἀποστάσεως ἀρχηγοῦ καὶ ὁμογνώμονος τοῖς Ὀσροηνοῖς γενομένου. ὃς οὐδεμίαν αἰτίαν ἔχθρας οὔτε μίσους ἔχων, ἀπέκτεινεν αὐτὸς ὃν ἥρπασέ τε, καὶ ἀνέπεισεν· οἰόμενός τε μεγάλα χαριεῖσθαι τῷ Μαξιμίνῳ, τὴν κεφαλὴν ἀποτεμὼν, ἐκόμισεν.

δʹ. Ὁ δὲ ἥσθη μὲν ἐπὶ τῷ ἔργῳ, στερηθεὶς δὲ πολεμίου, ὡς ᾤ-

1. Conſulas Capitol. qui per omnes hujus conſpirationis circumſtantias cum Herod. conſentit.

XX. Hæc cum dixisset, ac multa in civitatem Senatumque universum interpellatim probra jecisset, manuumque gestibus minabundus, trucique vultu nutuque oris quasi præsentibus irascens, profectionem in Italiam edicit. Divisoque inter milites ingenti stipendio, uno tantum die interjecto facere iter incepit, magnum secum exercitum, atque universas adducens Romanas copias. Sequebatur eundem etiam Germanorum haudquaquam negligendus numerus, quos vel armis subegerat, vel in amicitiam societatemque adsciverat. Præterea machinæ & bellica instrumenta, quæque alia adversus Barbaros comparaverat. Cæterum tardius iter faciebat, ob vehicula resque alias usui necessarias quæ undiquaque

1. Idem est in fine hujus concionis apud Jul. Cap. nam ait ibi quoque Maximinus, eamus contra Senatum & Afros, quorum omnium bona vos habebitis. Cap.

2. Irati ac insanientis prorsus Maximini descriptionem copiosiorem legas apud Jul. Cap.

importabantur. Nam cum repentinum id illi iter obvenisset, non cujusquam providentia (ut consueverat) sed tumultuario ac festinato ministerio, quæ erant militibus necessaria colligebantur. Igitur præmittere Pannoniorum cohortes decrevit, quibus fretus maximè erat, quæque primæ Imperatorem consalutaverant, atque ultro etiam pro illius salute omne periculum deposcebant. Iis igitur imperavit, ut cæteras copias præcederent, ac regiones occuparent Italiæ.

XXI. Dum in itenere Maximinus est, res interea Carthagini præter spem magnopere successerunt. Erat autem Capellianus quidam, Senatorii ordinis vir, procurator Mauritaniæ Romanis subjectæ, quæ ab ipsis Numidia appellatur. Ea gens munita exercitibus fuerat, à quibus Barbarorum incursus ac populationes coercerentur. Quare haud contemnendam militum manum circa sese habebat. Cum hoc igitur Capelliano veteres Gordiano simultates ex forensi quadam disceptatione intercesserant: Quocirca nomen adeptus Imperatoris, successorem illi misit, atque abscedere provincia imperavit. Ille ea re indignatus, ac principi suo devotus, à quo magistratum

ἐπιτηδείων πανταχόθεν συγκομιδήν. αἰφνιδίου γὰρ γενομένης τῆς ἐπ' Ἰταλίαν ὁδοῦ, οὐκ ἐκ προνοίας, ὥσπερ εἰώθει, ἀλλ' ἐξ αὐτοσχεδίου καὶ ἐπειγούσης ὑπηρεσίας, τὰ χρειώδη τῷ στρατῷ ἠθροίζετο. ἔδοξεν οὖν αὐτῷ προπέμψαι τὰς τῶν Παιόνων φάλαγγας. ἐκείνοις γὰρ μάλιστα ἐπίστευεν, οἵπερ αὐτὸν καὶ πρῶτοι ἀνεῖπον βασιλέα, ἐθελονταί τε ὑπὲρ αὐτοῦ κινδυνεύειν ὑπισχνοῦντο. ἐκέλευσεν οὖν αὐτοῖς φθάσαι τὴν λοιπὴν δύναμιν, καὶ τὰ ἐν Ἰταλίᾳ χωρία προκαταλαβεῖν.

κα'. Καὶ οἱ μὲν περὶ Μαξιμῖνον ὡδοιπόρουν· ἐν δὲ τῇ Καρχηδόνι οὐχ', ὡς ἠλπίκεσαν, τὰ πράγματα προὐχώρει. Καπελλιανὸς γὰρ ἦν τις ὄνομα, τῶν ἀπὸ συγκλήτου· ἡγεῖτο δὲ Μαυρουσίων τῶν ὑπὸ Ῥωμαίοις, Νομάδων δὲ καλουμένων. τὸ δὲ ἔθνος στρατοπέδοις πέφρακτο, διὰ τὸ περικείμενον πλῆθος Μαυρουσίων τῶν βαρβάρων, ὡς ἂν ἐπέχοι αὐτῶν τὰς ἐξ ἐπιδρομῆς ἁρπαγάς. εἶχεν οὖν ὑφ' ἑαυτῷ δύναμιν οὐκ εὐκαταφρόνητον στρατιωτικήν. πρὸς δὴ τὸν Καπελλιανὸν τοῦτον καὶ ὁ Γορδιανὸς [1] ἀπεχθῶς προσέκειτο ἄνωθεν, ἔκ τινος ἀγοραίου διαφορᾶς. τότε τοίνυν ἐν τῷ τῆς βασιλείας γενόμενος ὀνόματι, διάδοχόν τε αὐτὸν ἔπεμψε, καὶ τοῦ ἔθνους ἐξελθεῖν ἐκέλευσεν. ὁ δὲ πρὸς τὰ ταῦτα ἀγανακτήσας, τῷ τε

1. Rectius fortasse ὁ Γορδιανὸς ἀπεχθῶς προσεκεῖτο καὶ ἄνωθεν, transpositâ videlicet καὶ, & πρὸς in περὶ versâ. Sylburg.

Μαξιμίνῳ καθωσιωμένος, ὑφ' οὗ καὶ τὴν ἡγεμονίαν πεπίστευτο, πάντα τὸν στρατὸν ἀθροίσας, ἀναπείσας τε Μαξιμίνῳ τηρεῖν τὴν πίστιν καὶ τὸν ὅρκον, κατῆλθεν ἐπὶ τὴν Καρχηδόνα, δύναμιν ἄγων μεγίστην τε καὶ γενναίων ἀνδρῶν ἡλικίαις ἀκμαζόντων, καὶ παντοδαπῇ ὅπλων παρασκευῇ ἐξηρτυμένην, ἐμπειρίᾳ τε πολεμικῇ καὶ τῇ πρὸς τοὺς βαρβάρους μάχης συνηθείᾳ ἑτοίμην πρὸς μάχας.

κβ'. Ὡς δὲ ἀπηγγέλη τῷ Γορδιανῷ ὁ στρατὸς πελάζων τῇ πόλει, αὐτός τε ἐν ἐσχάτῳ δέει ἦν· οἵ τε Καρχηδόνιοι ταραχθέντες, οἰόμενοι ἐν πλήθει ὄχλου οὐκ ἐν εὐταξίᾳ στρατοῦ τὸ εὔελπι τῆς νίκης εἶναι, πανδημεὶ πάντες ἐξίασιν, ὡς δὴ τῷ Καπελλιανῷ ἀντιταξόμενοι. Γορδιανὸς μὲν οὖν ὁ πρεσβύτης (ὥς τινές φασιν) ἅμα τῷ τῆς Καρχηδόνος ἐπιβῆναι, ἐν ἀπογνώσει γενόμενος, ἐννοῶν τὴν δύναμιν Μαξιμίνου, οὐδὲν δὲ ὁρῶν ἐν Λιβύῃ ἀξιόμαχον ἰσόρροπον, ἀνήρτησεν ἑαυτὸν βρόχῳ.

κγ'. Κρυπτομένης δὲ αὐτοῦ τῆς τελευτῆς, τὸν υἱὸν αὐτοῦ στρατηγήσοντα δὴ τοῦ πλήθους εἵλοντο. γενομένης δὲ συμβολῆς, οἱ μὲν Καρχηδόνιοι ὄχλῳ πλείους ἦσαν, ἄτακτοι δὲ καὶ πολεμικῶν ἔργων ἀπαίδευτοι, ἅτε ἐν εἰρήνῃ βαθείᾳ τεθραμμένοι, ἑορταῖς τε καὶ τρυφαῖς σχολάζοντες ἀεὶ, γυμνοί τε ὅπλων καὶ ὀρ-

quoque eum accepiſſet, omni coacto exercitu, cum quidem fidem tueri ac juſiurandum perſuaſiſſet, Carthaginem contendit, maximas valentiſſimaſque copias ſecum adducens, viroſque cùm ætate florentes, tum omni armorum genere inſtructos, peritoſque rei militaris, atque ex conſuetudine præliorum adverſus Barbaros magnopere ad pugnandum paratos.

XXII. Ut verò nunciatum Gordiano eſt adventare ad urbem Capellianum, & ipſe affectus eſt extrema formidine, & perterriti Carthaginenſes universi; qui ſcilicet in turba potius quam in exercitus aliquo ordine collocata victoriæ ſpe, cuncti pariter urbe effunduntur obviam Capelliano. Cæterùm ſenex Gordianus (ut quidam perhibent) ſimul atque ille Carthaginem attigit, deſperatis rebus, quòd Maximino vires ingentes, nullas in Africa copias eſſe videbat, quæ illis poſſent reſiſtere, laqueo ſe ſuſpendit.

XXIII. Sed occultata illius nece, filium ſibi ducem multitudo elegit. Ita ventum ad manus eſt. Erant autem numero quidem plures Carthaginenſes, ſed inordinati ac rerum bellicarum imperiti, quippe in altiſſima pace educati, feſtiſque & deliciis emolliti, nudique armis omnique bellico inſtrumento. Nam domo quiſque

1. Acerrimâ pugnâ interfecto filio, ipſe vitam laqueo finivit. Jul. Cap.

pugi-

pugionem, aut securem, aut venabulum, aut item præustas sudes, ut quisque poterat acuminatas, ad tuendum corpus extulerat. Contrà Numidæ, jaculatores optimi, atque equitandi peritissimi, sic ut equos etiam infrenos virga tantum currentes moderentur. Quocirca facilè Carthaginensium plebs in fugam versa: siquidem haud ferentes illorum impetum, omnes abjectis armis confertim effugerunt; trudentesque inter se & proculcantes, multo sanè plures ipsi invicem affligebantur quàm cædebantur ab hostibus. Hic & Gordiani filius cecidit, & quicunque eum secuti: sic ut præ multitudine interfectorum, neque discerni ad sepulturam funera potuerint, neque adolescentis Gordiani cadaver inveniretur. Etenim ex tanta copia fugientium pauci duntaxat urbem ingressi, conjectique in latebras, evaserant: cæteri ad portas conferti, ac pro se quisque intrare primi urbem festinabundi, ab jaculatoribus Numidis, cæterisque armatis militibus, contrucidabantur: maximo feminarum puerorumque ejulatu, quorum ante oculos charissima pignora occidebantur. Sunt qui perhibeant, ut primum Gordiano, qui propter senium domi se

γανῶν πολεμικῶν. ἕκαστος δὲ ἐπεφέρετο οἴκοθεν ἢ ξιφίδιον ἢ πέλεκυν, δοράτιά τε ἐκ κυνηγεσίων βαρέας τε τὰς ἐμπεσούσας περιτεμόντες, καὶ ξύλα καταπρίσαντες εἰς τὰ παρατυχόντα σχήματα, ὡς ἕκαστος ἐδύνατο, πρόβλημα τοῦ σώματος ἐποιεῖτο. οἱ δὲ Νομάδες, ἀκοντισταί τε εὔστοχοι καὶ ἱππεῖς ἄριστοι, ὡς καὶ χαλινῶν ἄνευ ῥάβδῳ μόνῃ τὸν δρόμον τῶν ἵππων κυβερνᾶν. ῥᾷστα οὖν ἐτρέψαντο τῶν Καρχηδονίων τὸ πλῆθος· οἵπερ οὐχ ὑπομείναντες αὐτῶν τὴν ἐμβολὴν, πάντα ῥίψαντες ἔφυγον· ὠθούμενοι δὲ ὑπ' ἀλλήλων καὶ πατούμενοι, πλείους ὑπὸ τοῦ οἰκείου πλήθους ἐφθάρησαν ἢ πρὸς τῶν πολεμίων. [1] ἔνθα καὶ ὁ τοῦ Γορδιανοῦ υἱὸς ἀπώλετο. οἵ τε περὶ αὐτὸν πάντες· ὡς διὰ πλῆθος πτωμάτων, μήτε νεκρῶν ἀναίρεσιν πρὸς ταφὴν γενέσθαι δυνηθῆναι, μήτε τὸ τοῦ νέου Γορδιανοῦ σῶμα εὑρεθῆναι. οἱ μὲν γὰρ φεύγοντες, ὅσοι τε ἦσαν εἰσρυέντες εἰς τὴν Καρχηδόνα, ὅσοι τε λαθεῖν ἠδυνήθησαν, σκεδασθέντες εἰς πᾶσαν τὴν πόλιν, οὖσαν μεγίστην τε καὶ πολλὴν, ὀλίγοι ἐκ πολλῶν ἐσώθησαν· τὸ δὲ λοιπὸν πλῆθος περὶ ταῖς πύλαις στενοχωρούμενον, παρεισδῦναι σπουδάζοντος ἑκάστου, βαλλόμενόν τε ὑπὸ τῶν ἀκοντιστῶν καὶ τιτρωσκόμενον ὑπὸ τῶν ὁπλιτῶν, διεφθείρετο. πολλὴ δὲ οἰμωγὴ κατὰ τὴν πόλιν γυναικῶν τε καὶ παιδίων, ὧν ἐν ὄψει οἱ φίλτατοι ἀπώλοντο. ἕτεροι δέ φασιν, ὡς δὴ ταῦτα οἴκοι μεμενηκότι διὰ γῆρας τῷ πρεσβύτῃ Γορδιανῷ ἀπηγγέλη, ὅ, τε Καπελλιανὸς εἰσε-

1. Scribit Jul. ante Patris suicidium Gordiani filium bello cecidisse

λαύνων

λιανοῦ εἰς τὴν Καρχηδόνα ἐδηλώθη· ἐν ἀπογνώσει δὲ πάντων γενόμενος, εἰσελθὼν μόνος εἰς τὸ οἰκίσκον, ὡς δὴ καθευδήσων, ἐξάψας ἧς ἐπεφέρετο ζώνης τὸν τράχηλον ἐν βρόχῳ, τὸν βίον ἀνεπαύσατο. τοιούτῳ μὲν δὴ τέλει ὁ Γορδιανὸς ἐχρήσατο, βιώσας τὰ πρῶτα εὐδαιμόνως, ἐν εἰκόνι τῆς βασιλείας τελευτήσας.

κδ'. Ὁ δὲ Καπελλιανὸς εἰς Καρχηδόνα εἰσελθὼν, πάντας τε τοὺς πρωτεύοντας ἀπέκλεινεν, εἴτινες καὶ ἐσώθησαν ἐκ τῆς μάχης· ἐφείδετό τε οὔτε ἱερῶν συλήσεως, οὔτε χρημάτων ἰδιωτικῶν καὶ δημοσίων ἁρπαγῆς. ἐπιών τε τὰς λοιπὰς πόλεις, ὅσαι τὰς Μαξιμίνου τιμὰς καθῃρήκεσαν, τοὺς μὲν ἐξέχοντας ἐφόνευε, τοὺς δὲ δημότας ἐφυγάδευεν· ἀγρούς τε καὶ κώμας ἐμπιπράναι λεηλατεῖν τε τοῖς στρατιώταις ἐπέτρεπε, προσποιούμενος μὲν τιμωρίαν εἰσπράττειν ἐφ' οἷς εἰς Μαξιμῖνον ἡμαρτήκεσαν, λανθανόντως δὲ [1] εὔνοιαν ἑαυτῷ παρὰ τῶν στρατιωτῶν μνώμενος, ἵν' εἴ τι πταίσειεν τὰ Μαξιμίνου πράγματα, αὐτὸς ἔχων δύναμιν εὐνοοῦσαν, τῆς ἀρχῆς ἀντιποιήσαιτο. τὰ μὲν δὴ κατὰ τὴν Λιβύην ἐν τούτοις ἦν.

κε'. Ὡς δὲ εἰς τὴν Ῥώμην ἐδηλώθη ἡ τοῦ πρεσβύτου τελευτὴ, ἐν πολλῇ ταραχῇ καὶ ἀφασίᾳ ὅ, τε δῆμος ἦν ἥ τε σύγκλητος, μάλιστα Γορδιανοῦ τετελευτηκότος, εἰς ὃν

continuerat, nunciatum sit Capellianum jam in urbem pervenisse, deplorata salute, intra cubiculum se quasi dormiturum recepisse: colloque zonæ inserto, qua præcinctus fuerat, sibi mortem conscivisse. Hæc finis Gordiani fuit, felicis anteacta vita, atque in quadam principatus imagine extincti.

XXIV. Sed enim Capellianus Carthaginem ingressus, præcipuum quenque ex iis qui è pugna supererant, neci dedidit: ac neque à templis despoliandis, neque à publicis privatisque pecuniis diripiendis abstinuit: aditisque urbibus reliquis, quæcunque honores Maximini sustulissent, in his præstantissimum quenq; morte, affecit cæteros in exilium mittebat: agros autem vicosque concremandos militibus tradebat, prætexto quidem ulciscendi Maximinum, cæterum clanculum militum sibi animos consilians, ut sicubi res à Maximino titubassent, ipse ad occupandum principatum benevolis militibus uteretur. Ita se videlicet res in Africa habebant.

XXV. Postea verò quam Romæ audita senis Gordiani mors est, ingens perturbatio Senatum populumque Romanum, ingensque terror invasit: extincto, in quem unum spes

1. Ipse præterea militum animos sibi conciliabat, præludens ad imperium, si Maximinus perisset. Capitol.

omnes

omnes ſuas collocaverant. Neque enim illos præteribat, nemini jam parſurum Maximinum, cùm ſponte alienum ab ipſis atque hoſtili animo, tum juſtis etiam cauſis & profeſſo quaſi odio ſuccenſentem. Itaque frequentes in unum convenere, ac de toto negotio deliberantes, quando ſemel in periculum venerant, bellum comparare decreverunt, Ac ſibi duos imperatores præficere, quos imperium inter ſe partiri voluerunt, ne rurſum illa potentia ad Tyrannidem deveniens, rurſum offenderet. Convenerunt igitur non quidem in curiam, quo ante conſueverant, ſed in templum Capitolini Jovis, quod in arce ſumma præcipuæ venerationis Romani habent. Ibi clauſis foribus ſoli, quaſi teſte & conſeſſore atque adeò rerum omnium inſpectore Deo, ſelectis qui ætate ac dignitate cæteros anteirent, de quibus ſuffragia ferrentur, duo ex omni numero, Maximus atque Albinus, plurimis ſuffragantibus Imperatores creati. Horum Maximus cùm ſæpe exercitibus præfuerat, tum præfectura urbi egregiè geſta, maximam ingenii providentiæque, præterea, vitæ continentis opinio-

ἠλπίκεσαν· ᾔδεσαν γὰρ αὐτὸν οὔτε φεισόμενόν τινος, ὡς γὰρ καὶ φύσει ἀλλοτρίως καὶ ἀπεχθῶς πρὸς αὐτοὺς διέκειτο τὸ καὶ ἐπ' εὐλόγοις αἰτίαις, ὡς ὡμολογημένοις ἐχθροῖς εἰκότως ὠργίζετο. ἔδοξεν οὖν συνελθεῖν, καὶ περὶ τῶν πρακτέων σκέψασθαι· ἅπαξ τε ἀναῤῥίψαντας κίνδυνον, πόλεμον ἀράσθαι, προστησαμένους ἑαυτῶν χειροτονηθέντας βασιλέας, οὓς ἠθέλησαν μερίσαι τὴν ἀρχὴν, ὡς μὴ πάλιν ἰσχὺς ἐξουσίαν, εἰς τυραννίδα πάλιν ἐξοκείλῃ. συνῆλθον οὖν οὐκ εἰς τὸ σύνηθες συνέδριον, ἀλλ' εἰς τὸν τοῦ Διὸς νεὼν Καπετωλίου, ὃν σέβουσι Ῥωμαῖοι ἐν ἀκροπόλει. συγκλείσαντες οὖν αὐτοὺς ἐν τῷ σηκῷ μόνους, ὥσπερ ὑπὸ μάρτυρι τῷ Διῒ καὶ συνέδρῳ, ἐπισκόπῳ τε τῶν πραττομένων, ἐπιλεξάμενοι τῶν ἐν ἡλικίᾳ καὶ ἀξιώματι προὐχόντων οὓς ἐδοκίμαζον, κατὰ τὴν ψηφοφορίαν, ἐχόντων καὶ ἄλλων ψήφους, [1] διακριθεισῶν τε καὶ τοῦ πλείστου τῆς γνώμης, [2] Μάξιμόν τε καὶ Βαλβῖνον ἀνειπόντες, αὐτοκράτορας ἐποίησαν. τούτων δ' ἦν ὁ μὲν Μάξιμος, ἐν τε ταῖς πολλαῖς στρατοπέδων ἀρχαῖς γενόμενος, τῆς τε Ῥωμαίων πόλεως ἔπαρχος καταστὰς, ἀνεπιστρόφως τε ἄρξας, καὶ ἐν ὑπολήψει παρὰ τοῖς ὄχλοις φρενῶν τε καὶ ἀγχινοίας καὶ

1. Fortaſſe legemus διακριθεισῶν τε κατὰ τοὺς πλείστους (vel ἐκ τοῦ πλείστου) τῶν γνωμῶν, ut ſit quod vulgo dicitur, diſcretis pro ſuffragiorum pluralitate ſententiis. Schottus ἀνειπόντος legit, ſed tunc talis requireretur loci mutatio, διακριθεισῶν τε τῶν γνωμῶν, καὶ τοῦ πλείστου μέρους Μάξιμόν τε καὶ Βαλβῖνον ἀνειπόντος. Sylburg.

2. In antiquis nummis M. Clodius, Pupienus, Maximus, Caſaub. annotat. Capitol.

βίου

βίου σώφρονος· ὁ δὲ [1] Βαλβῖνος, γενόμενος μὲν εὐπατρίδης, εἰς δευτέραν δὲ ὑπατείαν ἐληλακώς, ἐθνῶν τε ἡγησάμενος ἀμέμπτως· τὸ δ' ἦθος ἁπλούστερος. τῆς οὖν χειροτονίας ἐκείνης ἀνειπέσης, σεβαστοί τε ἀνηγορεύθησαν, καὶ πάσαις ταῖς βασιλικαῖς τιμαῖς ἡ σύγκλητος διὰ δόγματος αὐτοὺς ἐκόσμησεν.

κς'. Ὁ δὲ δῆμος, τούτων ἐν τῷ Καπιτωλίῳ πραττομένων, εἴτε ὑποβαλόντων τινῶν Γορδιανοῦ φίλων καὶ οἰκείων, εἴτε γνόντες ὑπὸ φήμης, παρειστήκεσαν ταῖς πύλαις, φράξαντες πᾶσαν τὴν εἰς τὸ Καπιτώλιον ἄνοδον τῷ πλήθει τῶν ὄχλων· λίθους τε καὶ ξύλα ἐπεφέροντο, ἀντιπράττοντες τοῖς ὑπὸ τῆς συγκλήτου ἐψηφισμένοις· καὶ μάλιστα τὸν Μάξιμον παραιτούμενοι, [2] στερρότερον τῆς πόλεως. πολύ τε τὸ ἐπιστρεφὲς εἶχε πρὸς τοὺς φαύλους καὶ κούφους τῶν ὄχλων. ὅθεν δεδιότες, ἀπηρέσκοντο αὐτῷ, ἐβόων τε καὶ ἠπείλουν ἀποκτενεῖν αὐτούς. ἠξίουν γὰρ τοῦ Γορδιανοῦ γένους βασιλέα αἱρεθῆναι, τό, τε τῆς αὐτοκρατορικῆς ἀρχῆς ὄνομα ἐκείνῳ τῷ οἴκῳ καὶ ὀνόματι μεῖναι. ὁ δὲ Βαλβῖνος καὶ Μάξιμος, ἐκ τοῦ ἱππικοῦ τάγματος τοὺς νεανίας, πάλαι στρατιώτας τε οἳ ἐν Ῥώμῃ διέτριβον, περιστήσαντες αὐτοῖς ξιφηφόρους, προ-

nem vulgo de se præbuerat. Balbinus autem, patricii generis homo, consulatu iterum gesto, multisque provinciis sine ulla querela administratis, morum simplicior habebatur. Ita creati principes Augustique appellati, ac Senatus consulto omnibus Imperatoriis honoribus affecti sunt.

XXVI. Dum hæc aguntur in Capitolio, interea P. R. (incertum, subjicientibus Gordiani amicis ac necessariis, an tantum rumoribus exciti) facto ad portas concursu, viam qua itur in Capitolium, totam conferta multitudine occupaverant: lapidesque & fustes ingerentes, rebus in Capitolio actis adversabantur; ac Maximum in primis recusantes, severiorem scilicet quàm ut eum levis multitudo facilè pateretur. Magnâ enim industria vigilantiâque usus fuerat adversus improbitatem ac levitatem quorundam è plebe. Quapropter metuentes eo maximè offendebantur, clamitantes identidem ac minitantes utrumque se confestim occisuros. Nam ipsi ex Gordiani genere principem sibi deposcebant, ut in familia nomineque eo nomen Imperatorium remaneret. Balbinus autem ac Maximus, equestris ordinis juventute, atque urbanis militibus, cum gladiis, un-

1. Nummus apud Onuphrium, Imp. Cæs. D. Cælius, Balbinus, Aug. Casaub. ib.

2. Legi potest ὡς στερρότερον τῆς πόλεως ἐπιταξάμενος. Sylburg.

dique stipati, egredi Capitolio conabantur: sed lapidibus ac fustibus coerciti: donec, subjiciente nescio quo, ad hunc modum populo imposuerunt.

XXVII. Erat puer quidam, infans adhuc, ex Gordiani filia natus, nomen avi referens. Hunc igitur, submissis quibusdam, afferri ad se jusserunt: Qui cum domi eum ludibundum offendissent, impositum in humeros per mediam ferebant multitudinem, plebi ostentantes, ac nepotulum Gordiani dictitantes, vocantesque eum nominatim: quoad in Capitolium pertulerunt, populo subinde acclamante & conspergente puerum frondibus. Cum itaque Senatus Cæsarem illum declarâsset, quando adhuc per ætatem rempub. gerere non poterat, & iræ multitudinis resederant, passi videlicet sunt in aulam palatinam senes Imperatores commigrare.

XXVIII. Sed incidit per eos dies civitati Romæ funesta calamitas, orta de nimia duorum senatorum audacia. Nam cum Senatus haberetur de publicis negotiis, duo ex militibus Maximini, quos in castris reliquerat, emeritæ jam ætatis, ad fores curiæ accesserunt, exploratum quæ gererentur: inermes videlicet, tantumque subarmalibus & sagis induti. Constiterant autem pariter cum

ἐξελθεῖν τοῦ Καπετωλίου ἐβιάζοντο, ὑπὸ δὲ πλήθους ξύλων καὶ λίθων ἐκωλύθησαν. ἔστε δὴ ὑποβάλλοντός τινος, αὐτοὶ τὸν δῆμον ἐσοφίσαντο.

κζ'. Ἦν τι παιδίον νήπιον, τῆς Γορδιανοῦ θυγατρὸς τέκνον, τῷ πάππῳ ὁμώνυμον. πέμψαντες τοίνυν τῶν σὺν αὐτοῖς τινας, κελεύουσι τὸ παιδίον κομισθῆναι. οἱ δὲ εὑρόντες αὐτὸ ἀθῦρον οἴκοι, ἀράμενοι ἐπὶ τῶν ὤμων διὰ μέσου τοῦ πλήθους, δεικνῦντες τοῖς ὄχλοις, Γορδιανοῦ τε ἔκγονον λέγοντες, καὶ τῇ αὐτοῦ προσηγορίᾳ ἀποκαλοῦντες, ἀνάγουσιν εἰς τὸ Καπετώλιον εὐφημούμενον ὑπὸ τοῦ δήμου καὶ φυλλοβολούμενον. τῆς τε συγκλήτου Καίσαρα αὐτὸ ἀποδειξάσης, ἐπειδὴ διὰ τὴν ἡλικίαν οὐχ οἷός τε ἦν προΐστασθαι τῶν πραγμάτων, τῆς τε ὀργῆς ὁ δῆμος ἐπαύσατο, ἠνέσχοντό τε προελθεῖν εἰς τὴν βασίλειον αὐλήν.

κη'. Συνέβη δὲ κατὰ τοὺς αὐτοὺς χρόνους πταῖσμα ὀλέθριον τῇ Ῥωμαίων πόλει, ἀρχὴν καὶ πρόφασιν λαβὸν ἐξ εὐτόλμου θράσους δύο ἀνδρῶν τῶν ἀπὸ συγκλήτου. συνεληλύθεσαν γὰρ εἰς τὸ βουλευτήριον πάντες, σκεψόμενοι περὶ τῶν καθεστώτων. μαθόντες δ' οἱ στρατιῶται, οὓς ἐν τῷ στρατοπέδῳ Μαξιμῖνος καταλελοίπει· ἤδη γὰρ πρὸς ἄφιξιν τῆς στρατείας ὄντες, καὶ δι' ἡλικίαν οἴκοι μεμενηκότες, ἦλθον μέχρι τῆς εἰσόδου τῆς συγκλήτου, βουλόμενοι τὸ πραττόμενον μαθεῖν, ὅπλων μὲν γυμνοί, ἐν λιταῖς δὲ ἐσθῆσι καὶ ἐφεστρίσιν. ἑστήκεσαν δὲ μετὰ τοῦ λοιποῦ δήμου. καὶ οἱ μὲν ἄλλοι πρὸ τῶν θυ-

ρῶν

ρῶν ἔμενον· δύο δὲ ἢ τρεῖς, περιεργότερον ἐπακοῦσαι τῶν βουλευομένων θελήσαντες, εἰς τὸ συνέδριον εἰσῆλθον, ὡς τὸν ἱδρυμένον βωμὸν τῆς νίκης ὑπερβῆναι τούτους. τῆς δὲ συγκλήτου ἀνὴρ ἀπὸ ὑπατείας μὲν νεωστὶ, Γαλλικανὸς ὄνομα, Καρχηδόνιος δὲ τὸ γένος, καὶ ἕτερος στρατηγικὸς τὸ ἀξίωμα, Μαικήνας καλούμενος, οὐδέν τι προσδοκοῦντας τοὺς στρατιώτας, ἔχοντας δὲ τὰς χεῖρας ὑποκαθειμένας τῶν ἐφεστρίσι, παίουσι πληγαῖς κατακαρδίαις, ξίφεσιν οἷς ἐπεφέροντο ὑποκολπίοις. πάντες γὰρ διὰ τὴν οὖσαν στάσιν τε καὶ ταραχὴν, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ κρύβδην ἐξιφηφόρουν, ἀμυντήρια δῆθεν φέροντες ἑαυτῶν, διὰ τοὺς αἰφνιδίως ἐπιβουλεύοντας ἐχθρούς. τότε δὴ οἱ στρατιῶται πληγέντες, καί πως ἀπροσδοκήτως προσβοηθεῖν [1] οὐ δυνηθέντες, παρὰ τοῦ βωμοῦ ἔκειντο. οἱ δὲ λοιποὶ στρατιῶται τοῦτο θεασάμενοι, ἐκπλαγέντες τῷ πάθει τῶν συστρατιωτῶν, φοβηθέντες τοῦ δήμου τὸ πλῆθος, ἄνευ τε ὅπλων ὄντες, ἔφυγον.

κθ'. Ὁ δὲ Γαλλικανὸς ἐκδραμὼν τῆς συγκλήτου εἰς τὸν δῆμον μέσον, δεικνύς τε τὸ ξίφος καὶ τὴν χεῖρα ἡμαγμένην, διεκελεύετο διώκειν καὶ φονεύειν τοὺς ἐχθροὺς μὲν συγκλήτου καὶ Ῥωμαίων, φίλους δὲ καὶ συμμάχους Μαξιμίνου. ὁ δὲ δῆμος ῥᾷστα πεισθεὶς, τὸν μὲν Γαλλικανὸν εὐφήμει, τοὺς δὲ στρα-

reliqua multitudine: sed cæteris ante fores præstolantibus, duo, trésve ad summum, curiosiores audiendi, curiam ingressi, sic ut ultra aram quoque Victoriæ penetrarent. Hic senator quidam, deposito nuper consulatu, Gallicanus nomine, ac genere Carthaginensis, alterque item prætorius, Mæcenas, nihil tale expectantes milites, manusque adhuc sub sagulis habentes, repentè adactis in corda pugionibus interficiunt. Etenim omnis senatus, ob recentem seditionem tumultumque superiorem, alii propalam, pars clanculum gladios gerebant, quibus suam quisque salutem ab inimicorum insidiis tuerentur. Ita cæsi milites, quod se de improviso defendere haud quiverant, prostrati ante altaria jacebant. Quo viso, cæteri confestim expavefacti commilitonum interitu, simul populi concursum formidantes, quòd erant inermes, fugam arripuere.

XXIX. Cæterùm Gallicanus raptim se curia in mediam multitudinem proripiens, gladiumque & manum stillante sanguine ostentans, ad persequendos occidendosque senatus populique Romani hostes, amicos sociosque Maximini, vulgus adhortabatur. Quibus rebus inducta plebs, Gallicanum faustis excipit acclamationi-

1. Stephanus Legit οὐδὲν.

bus, militesque lapidibus incessit, quatenus licuit persecuta. Cæterùm cum se illi in castra recepissent, paucis tantummodo vulneratis, clausis portis, armisque arreptis, castrorum mœnia defensabant. Verùm Gallicanus (quando semel tantum facinus ausus fuerat) bellum protinus civile atque omnibus perniciosum suscitavit. Quippe jussis effringi publicis armamentariis, in quibus pompæ magis instrumenta quàm belli asservabantur, unde sibi quisque munimentum corporis accommodaret; apertisque item gladiatorum ludis, atque unoquoque propriis armis ornato: præterea cunctis, quæcunq; intra domos aut officinas essent, hastis gladiis ac securibus direptis, cùm quicquid occurrerat instrumentum ex idoneâ ad pugnam materiâ, furor in arma converteret, statim omnes conferti conglobatique ad castra contenderunt, ac velut urbem aliquam expugnaturi, murum ipsum portasque circumsederunt. Cæterùm milites, utpote pugnandi peritissimi, pinnis se murorum clypeisque protegentes, sagittarum jactu crebro ac prælongis contis multitudinem repellebant. Postremò, cum jam defatigato populo sauciisque magna ex parte gladiatoribus, atque in vesperam vergente die, regredi in urbem decrevissent: conspicati milites securitatem abeun-

πώτας, ὡς δυνατὸν ἦν, διώκοντες, ἔβαλλον λίθοις. οἱ δὲ, φθάσαντες, ὀλίγων τινῶν καὶ τρωθέντων, εἰς τὸ στρατόπεδον καταφυγόντες, καὶ τὰς πύλας ὡς ἐδύναντο κλείσαντες, ὅπλα δὲ ἀναλαβόντες, ἐφρούρουν τὸ τεῖχος τοῦ στρατοπέδου. ὁ δὲ Γαλλικανὸς, ἅπαξ τολμήσας ἔργον τηλικοῦτον, ἐμφύλιον πόλεμον καὶ ὄλεθρον μέγαν ἤγειρε τῇ πόλει. τάς τε γὰρ δημοσίας ἀποθήκας τῶν ὅπλων, εἴ τινες ἦσαν πρὸς πομπὴν μᾶλλον ἢ μάχην ἐπιτήδειοι, ἀναρρῆξαι τοὺς ὄχλους ἔπεισε, τό, τε σῶμα [1] ἕκαστος φράττειν, ὡς οἷός τε ἦν· τά τε τῶν μονομάχων καταγώγια ἀνοίξας, ἐξήγαγε τοῖς οἰκείοις ὅπλοις ἕκαστον ἐξηρτυμένον. [2] ὅσα τε ἦν οἰκίαις ἢ ἐργαστηρίοις δόρατα ἢ ξίφη, πελέκεις τε, πάντα διηρπάζετο. ὅ, τε δῆμος ἐνθουσιῶν, πᾶν τὸ ἐμπίπτον ὕλης ἀξιομάχου ἐργαλεῖον ὅπλον ἐποιεῖτο. ἀθροισθέντες οὖν, ἐπῆλθον τῷ στρατοπέδῳ, καὶ ὡς πολιορκήσοντες αὐτὸ δῆθεν, προσέβαλλόν τε ταῖς πύλαις καὶ τοῖς τείχεσιν. οἱ δὲ στρατιῶται μετὰ πολλῆς ἐμπειρίας ὡπλισμένοι τε τὰς ἐπάλξεις καὶ τὰς ἀσπίδας, τόξοις τε αὐτοὺς βάλλοντες, καὶ δόρασι μακροῖς ἀπείργοντες, τοῦ τείχους ἀπεδίωκον. ὡς δὲ καμὼν ὁ δῆμος, οἵ τε μονομάχοι τιτρωσκόμενοι, ἤδη καὶ ἑσπέρας προσιούσης, ἀπελθεῖν ἠθέλησαν, θεασάμενοι αὐτοὺς οἱ στρα-

1. Ἕκαστον, loco ἕκαστος legit. Steph.

2. Ὅσα τε ἦν ἐν οἰκείαις. Steph.

πῶτα ἀπεστραμμένους καὶ τὰ νῶτα δεδωκότας, ἀπιόντας τε ἀμελέστερον, οἰομένους μὴ τολμήσειν ἐπεξελθεῖν ὀλίγους πλήθει τοσούτῳ, ἀνοίξαντες αἰφνιδίως τὰς πύλας, ἐπιδραμόντες τῷ δήμῳ, καὶ τοὺς τῶν μονομάχους ἀπέκτειναν, τό τε δήμου μέγα τι πλῆθος ἀπώλετο ὠθούμενον. οἱ δὲ, τοσοῦτον διώξαντες, ὅσον μὴ πολύ τι τοῦ στρατοπέδου ἀποστῆναι, πάλιν ἐπανῆλθον, ἐντός τε τοῦ τείχους ἔμενον.

λʹ. Ἐντεῦθεν μείζων ἡ ὀργὴ τοῦ τε δήμου καὶ τῆς συγκλήτου ἐγένετο. στρατηγοί τε οὓς κατέλεγον, ἔκ τε πάσης Ἰταλίας λογάδες· ἥ τε νεολαία πᾶσα ἠθροίζετο, ὅπλοις τε αὐτοσχεδίοις καὶ τοῖς προστυχοῦσιν ὡπλίζετο. τούτων δὴ τὸ μὲν πλεῖστον μέρος ὁ Μάξιμος σὺν αὐτῷ ἀπήγαγεν, ὡς δὴ Μαξιμίνῳ πολεμήσων· οἱ δὲ λοιποὶ ἔμειναν ὡς τὴν πόλιν φρουροῖέν τε καὶ προασπίζοιεν αὐτῆς. ἑκάστοτε οὖν τῷ τείχει τοῦ στρατοπέδου ἐγίνοντο προσβολαί. ἐπέραινον δὲ οὐδὲν, προμαχομένων ἄνωθεν τῶν στρατιωτῶν· οἱ δὲ, βαλλόμενοι καὶ τιτρωσκόμενοι, κακῶς ἀπηλλάγησαν. ὁ δὲ Βαλβῖνος οἴκοι μένων, διάταγμά τι προθεὶς, ἱκέτευε τὸν δῆμον εἰς διαλλαγὰς χωρῆσαι· τοῖς τε στρατιώταις ὑπισχνεῖτο ἀμνηστίαν, ἄνεσίν τε πάντων ἐδίδου ἁμαρτημάτων. ἀλλ' οὐδετέρους ἔπειθε. τὸ δὲ δεινὸν ἑκάστοτε ηὔξετο, τοῦ μὲν τοσούτου δήμου ἀπαξιοῦντος ὑπ' ὀλίγων καταφρονεῖσθαι, τῶν δὲ στρατιωτῶν ἀγανακτούντων, ὅτι δὴ ταῦτα ὑπὸ Ῥωμαίων, ὡς ὑπὸ βαρβάρων, πάσχουσι.

tium (quippe minimè ausuros putabant Romani, adeò paucos adversus tantam multitudinem castris eruptionem facere) confestim universi sese portis patentibus in vulgus illud hominum concitavere. Ibi Gladiatores ad unum cæsi, magnaque pars populi collisa. Quo facto, cum haud procul castris recessissent, rursum sese intra munimenta receperunt.

XXX. Hinc igitur major Senatui Populoque Romano indignatio oborta. Quare duces ex Italia omni probatissimum quemque delegerunt, juventutemque omnem collectam in unum, subitariis armis, ac tumultuariis adornarunt. Horum potissimam partem secum Maximus eduxit, ut adversus Maximinum præliaretur: reliqui ad urbis custodiam tutelamque relicti. Interea quotidie ad muros castrorum dimicabatur, sed profectu nullo, defensantibus supernè militibus, ictamque & sauciam multitudinem fœdè repellentibus. At Balbinus, domi se continens, populo per edictum supplicabat ut in gratiam cum militibus rediret: quibus etiam omnium quæ patraverant, oblivionem atque impunitatem pollicebatur. Sed neutris id persuasum, gliscente indies malo, ac populo indignante quòd tanta multitudo tam paucis contemptui foret: contrà militibus ægerrimè ferentibus, ea se à Romanis passos, quæ vix unquam à barbaris expectâssent.

XXXI. Postre-

XXXI. Poſtremò, quando oppugnatio parum procedebat, viſum ducibus intervertere omnes rivos qui in caſtra pervenirent, ut milites aquarum penuria ſitique conficerent. Igitur abſcindendo obſtruendoque cunctos è caſtris aquarum rivos avertebant. Sed enim intellecto periculo milites ac rebus deſperatis, erumpunt univerſi patentibus portis, congreſſique, multitudinem fugientem in urbem uſque perſequuntur. Sed ubi jam ſtatario illo certamine plebs inferiòr intra domos ſe receperat, ac tegularum lapidumque & teſtarum jactibus deſuper urgere cœperat milites, haud auſi illi ignota ædificia ſubire, clauſis etiam domibus & tabernis, ignem januis ac ligneis ædificiorum projecturis, quales in urbe plurimæ ſunt, illico admoverunt. Quo factum eſt ut partim crebritate inſularum, partim lignea materia, bona pars urbis conflagraverit: multique ex opulentis pauperes facti, maximis atque egregiis amiſſis poſſeſſionibus, vel proventu uberrimis, vel ſplendore ipſo & varietate precioſis. Neque verò pauci extincti mortales: quòd januis igne occupatis, proripere ſe domo copia non fuerat. Bonaque divitum direpta penitus, immiſcente ſe militibus ſtudio rapiendi facinoroſiſſimo quoque, & tenui plebecula. Sed adcò pervaga-

λα΄. Τὸ δὴ τελευταῖον, ἐπειδὴ τειχομαχοῦντες οὐδὲν ἔπραττον, ἔδοξε τοῖς στρατηγοῖς ἐκκόψαι πάντας τοὺς εἰσρέοντας εἰς τὸ στρατόπεδον ἀγωγοὺς ὕδατος, σπάνει τε ποτοῦ καὶ ἐνδείᾳ ῥείθρων αὐτοὺς παραστήσαντες. περιτρέποντες οὖν πᾶν τὸ ὕδωρ τοῦ στρατοπέδου εἰς ἕτερα ῥεῖθρα μετωχέτευον, ἐκκόπτοντες καὶ εἰσφράττοντες τὰς εἰς τὸ στρατόπεδον εἰσόδους αὐτοῦ. οἱ δὲ στρατιῶται ὁρῶντες τὸν κίνδυνον, ἐν ἀπογνώσει δὲ γενόμενοι, τὰς πύλας ἀνοίξαντες ἐπεξῆλθον. μάχης τε καρτερᾶς γενομένης καὶ φυγῆς τοῦ δημοτικοῦ, ἐπὶ πολὺ τῆς πόλεως διώκοντες οἱ στρατιῶται προύβαινον. ἐπεὶ δὲ οἱ ὄχλοι τῶν συσταδὸν μάχαις ἡττώμενοι, ἀναπηδῶντες εἰς τὰ δώματα, τῷ τε κεράμῳ βάλλοντες αὐτοὺς καὶ λίθων βολαῖς, τῶν τε ἄλλων ὀστράκων, ἐλυμαίνοντο, ἐπαναβῆναι μὲν αὐτοῖς, δι' ἄγνοιαν τῶν οἰκήσεων, οὐκ ἐτόλμησαν οἱ στρατιῶται. κεκλεισμένων δὲ τῶν οἰκιῶν καὶ τῶν ἐργαστηρείων, ταῖς θύραις, καὶ εἴ τινες ἦσαν ξύλων ἐξοχαὶ (πολλαὶ δὲ αὗται κατὰ τὴν πόλιν) πῦρ προσετίθεσαν. ῥᾷστα δέ, διὰ πυκνότητα τῶν συνοικιῶν, ξυλείας τε πλῆθος ἐπάλληλον, μέγιστον μέρος τῆς πόλεως τὸ πῦρ ἐνεμήθη, ὡς πολλοὺς μὲν ἐκ πλουσίων ποιῆσαι πένητας, ἀποβαλόντας θαυμαστὰ καὶ ἀμφιλαφῆ κτήματα, ἔν τε προσόδοις πλουσίαις, καὶ ἐν ποικίλῃ πολυτελείᾳ τίμια. πλῆθός τε ἀνθρώπων συγκαταφλέχθη, φυγεῖν μὴ δυνηθέντων, διὰ τὸ τὰς ἐξόδους ὑπὸ τοῦ πυρὸς προκατειλῆφθαι. οὐσίαι τε ὅλαι πλουσίων ἀνδρῶν διηρπάγησαν, ἐγκαταμιξάντων ἑαυτοὺς τοῖς στρατιώταις πρὸς τὸ ἁρπάζειν κακούργων καὶ εὐτε-

λῶν

λῶν δημοτῶν. τοσοῦτον δὲ μέρος τῆς πόλεως τὸ πῦρ ἐλυμήνατο, ὡς μηδεμίαν τῶν μεγίστων πόλεων ὁλόκληρον δύνασθαι τῷ μέρει ἐξισωθῆναι.

λβʹ. Καὶ τὰ μὲν κατὰ τὴν Ῥώμην τοιαῦτα ἦν. ὁ δὲ Μαξιμῖνος ἀνύσας τὴν ὁδοιπορείαν, ἐπέστη τοῖς τῆς Ἰταλίας ὅροις· θύσας τε ἐπὶ τῶν μεθορίων βωμῶν, τῆς ἐπ' Ἰταλίαν εἰσβολῆς εἴχετο. ἐκέλευσέ τε πάντα τὸν στρατὸν ἐν ὅπλοις εἶναι, καὶ μετ' εὐταξίας προχωρεῖν. τὴν μὲν οὖν Λιβύης ἀπόστασιν, καὶ τὸν κατὰ τὴν Ῥώμην ἐμφύλιον πόλεμον, τά τε Μαξιμίνῳ πραχθέντα, καὶ τὴν εἰς Ἰταλίαν ἄφιξιν αὐτοῦ ἐδηλώσαμεν· τὰ δὲ ἑπόμενα ἐν τοῖς ἑξῆς λεχθήσεται.

tum longè lateque incendium eſt, ut plus multo conſumpſerit quam quantum ſpacii maxima quæque urbs ædificiis occupet.

XXXII. Dum hæc Romæ geruntur, interea Maximinus confecto itinere Italiam attigerat: ac ſacrificato ad aras quæ in finibus ipſis erectæ ſunt, pergit iter facere, juſſis arma tenere atque inſtructa acie progredi militibus. Sed cum & Africæ defectionem, & Romæ bellum civile, præterea que res à Maximino geſtas iterque ejus hactenus conſcripſerimus, reliqua deinceps explicabuntur.

ΗΡΩΔΙΑΝΟΥ

ΤΗΣ

Μετὰ ΜΑΡΚΟΝ Βασιλείας ΒΙΒΛΙΟΝ

ΟΓΔΟΟΝ.

HERODIANI

LIBER OCTAVUS.

BREVIARIUM LIBRI OCTAVI.

MAximinus, ſuperatis Alpibus, Aquileiam venit; ibi expugnationem ejus urbis moliens, à ſuis militibus cum filio obtruncatur, quorum capita Romam deportantur. Maximus, alter Imperator, apud Aquileiam exercitum Maximini dimittit; ipſe Romam cum ſuis revertitur, & cum Balbino Imperium geſſit, donec ambo à militibus Prætorianis ſunt occiſi. Poſt horum obitum Gordianus, dudum Cæſar, Romanum ſuſcepit Imperium.

ΤΑ μὲν δὴ Μαξιμίνῳ πραχθέντα μετὰ τὴν Γορδιανοῦ τελευτὴν, ἥτε εἰς Ἰταλίαν ἄφιξις αὐτοῦ, Λιβύης τε ἀπόστασις, καὶ ἡ ἐν Ῥώμῃ τῶν στρατιωτῶν πρὸς τὸν δῆμον διαφορὰ, ἐν

QUæ poſt interitum Gordiani geſſerit Maximinus, [1] iterque ejus in Italiam, prætereaque Africæ defectionem, & in urbe ipſa populi ac militum ſeditiones, ſuperiore volumine recen-

---

1. Ejuſque in Italiam adventum, & Libyæ defectionem, nec non eam quæ Romæ fuit militibus adverſus populum diſcordiam, ſupra commemoravimus. Steph.

fuimus. Enimvero Maximinus, postquàm ad Italiæ fines pervenit, præmissis exploratoribus qui specularentur an ullæ in Alpium convallibus, & densissimis sylvis insidiæ delitescerent, ipse, in planum deductis militibus, jubet armatorum acies quadrato agmine incedere, in longum porrectas potius quàm confertas, ut ab iis quàm plurimum campi occuparetur: cunctisque in medium coactis impedimentis, jumentisque & vehiculis, ipse cum suis stipatoribus veluti subsidio sequebatur: alis utrinque discurrentibus cataphractorum equitum, Maurisque jaculatoribus, sagittariisq; ex oriente: & equitatu Germanorum, quos auxiliares asciverat, quosque etiam præcipuè opponere hostibus consueverat: ut primos videlicet impetus exciperent, feroces audacesque initio pugnæ viri; simul ut (si in discrimen veniretur) vilis potissimum barbaria illa periclitaretur. Sed ubi totam planiciem servatis ordinibus transmiserunt, ad Italiæ urbem perventum est, quæ [3] Ema à cultoribus vocatur. Ea sita est in extrema planicie ad Alpium radices. Ubi speculatores atque exploratores exercitus narrant Maximino, vacuam relictam urbem, aufu-

τοῖς πρὸ τούτων λέλεκται. ὁ δὲ Μαξιμῖνος ἐπιστὰς τοῖς ὅροις, προύπεμψε σκοποὺς τοὺς ἐρευνήσοντας μή τινες ἐνέδραι ἐν κοιλάσιν ὀρῶν, ἢ λόχμαις, ὕλαις τε, κρύφιοι εἶεν. αὐτός τε καταγαγὼν εἰς τὸ πεδίον τὸν στρατὸν, τὰς μὲν τῶν ὁπλιτῶν φάλαγγας ἐς [1] τετράγωνα ἔταξε σχήματα, ἐπιμήκεις μᾶλλον ἢ βαθείας, ὡς ἂν πλεῖστον τοῦ πεδίου διαλάβοιεν. τὰ δὲ [2] σκευοφόρα πάντα, κτήνη τε καὶ ὀχήματα ἐν μέσῳ τάξας, αὐτὸς δὲ ἅμα τοῖς δορυφόροις ὀπισθοφυλακῶν εἵπετο. ἑκατέρωθεν δὲ παρέθεον αἵ τε τῶν καταφράκτων ἱππέων ἶλαι, καὶ Μαυρούσιοι ἀκοντισταὶ, τοξόται τε οἱ ἀπὸ τῆς ἀνατολῆς· καὶ Γερμανῶν ἱππέων μέγα τι πλῆθος ἐπήγετο συμμάχους. ἐκείνους γὰρ μάλιστα προυβάλλετο, ἵν' ἐκδέχωνται τῶν πολεμίων τὰς πρώτας ἐμβολὰς, θυμοειδεῖς ὄντες καὶ εὔτολμοι ἐν ἀρχομένῃ μάχῃ· εἰ δ' ἄρα καὶ κινδυνεύειν δέοι, εὐκαταφρόνητοι, ὡς βάρβαροι. ὡς δὲ πᾶν τὸ πεδίον διῆλθεν ὁ στρατὸς μετ' εὐκοσμίας καὶ εὐταξίας, ἐπέστησαν πρώτῃ Ἰταλίας πόλει, ἣν καλοῦσιν Ἡμᾶν οἱ ἐπιχώριοι· πρόκειται δὲ αὕτη ἐπ' ἀκροτάτῳ πεδίῳ, ἱδρυμένη πρὸ τῆς ὑπωρείας τῶν Ἄλπεων. ἔνθα ὑπαντώμενοι τῷ Μαξιμίνῳ οἱ προφύλακες καὶ σκοποὶ τοῦ στρατοῦ, ἤγγειλαν

---

1 Quadrato agmine Hemonam venit. Capitol.

2. Si σκευοφόρα adjectivè accipias, de jumentis ac vehiculis intelligendum erit ad impedimenta portanda aptis. Steph.

3. In vet. edit. leg. Emona. Steph.

 κενὴν

κενὴν ἀνθρώπων εὗρε τὴν πόλιν, πανδημεί τε πεφευγυῖαν, ἐμπρήσαντας τὰς θύρας ἱερῶν τε καὶ οἰκιῶν, πάντα τε ὅσα ἦν ἐν τῇ πόλει ἢ τοῖς ἀγροῖς, ἃ μὲν ἐκφορήσαντας, ἃ δὲ καταπρήσαντας· καὶ μήτε ὑποζυγίοις, μήτε ἀνθρώποις καταλελεῖφθαι τροφάς.

β'. Ὁ δὲ Μαξιμῖνος ἥσθη μὲν ἐπὶ τῇ τῶν Ἰταλιωτῶν εὐθὺς φυγῇ ἐλπίζων πάντας τοὺς δήμους τοῦτο ποιήσειν, οὐχ ὑπομένοντας τὴν ἔφοδον αὐτοῦ· ὁ δὲ στρατὸς ἤχθετο, εὐθὺς ἐν ἀρχῇ λιμοῦ πειρώμενος. διανυκτερεύσαντες οὖν, οἱ μὲν ἐν τῇ πόλει ἐν ἀθύροις καὶ κοιναῖς πάντων οἰκίαις, οἱ δ' ἐν τῷ πεδίῳ, ἅμα ἡλίῳ ἀνίσχοντι ἐπὶ τὰς Ἄλπεις ἠπείγοντο. ἅπερ ὄρη ὑπερμήκη, ὥσπερ τεῖχος Ἰταλίας, ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δὲ, ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν, ἐν μὲν τοῖς δεξιοῖς Ἰταλίας μέρεσιν, εἰς τὸ Τυῤῥηναῖον πέλαγος· ἐν δὲ τοῖς λαιοῖς, εἰς τὸν Ἰώνιον κόλπον. σκέπεται δὲ ὕλαις δασείαις καὶ πυκναῖς. τὰς δὲ διεξόδους ἐστένωται, ἢ διὰ κρημνοὺς εἰς βάθος μέγιστον [1] ἀποῤῥωγότας, ἢ διὰ πετρῶν τραχύτητα. στενωποὶ γάρ εἰσι χειροποίητοι, μετὰ πολλοῦ καμάτου τοῖς πάλαι Ἰταλιώταις εἰργασμένοι. μετὰ δέους οὖν πολ-

giſſe omneis incolas, templorum etiam ac domorum januis incendio conſumptis, atque omnibus quæ vel in urbe vel in agris fuerant, exportatis aut igni corruptis: nihil aut jumentis, aut hominibus alimentorum relictum.

II. Quæ res grata in primis Maximino fuit, quod idem cæteros quoque populos ſui quenque metu facturos arbitrabatur. Contrà milites indignè tulerunt, quod ab initio ſtatim fame laborarent. Cumque noctem exegiſſent, partim intra patentes communeſque omnibus domos, partim in planicie ipſa, ſtatim ſole oriente ad Alpes acceſſerunt. [2] Hi ſunt longiſſimi quidam montes, vice murorum Italiæ circundati, adeò in altum editi, ut etiam ſuperare nubes videantur: in longum porrecti, ut univerſam Italiam comprehendant, læva ad Tyrrhenum pelagus, dextra ad Jonium uſque pertingentes: denſis ubique nemoribus inſeſſi, atque anguſtiſſimis callibus, & rupium prærupta altitudine, ſcopulorumque aſperitate vix pervii; nonnullis tamen quaſi ſemitis magno veterum Italorum labore manufactis. Quapropter ingens tranſi-

1. Superiores editiones habent ἀποῤῥώγας, vulgata lexica in hujus loci citatione ſcribunt ἀποῤῥῶγας ſed proculdubio vera lectio eſt, κρημνοὺς εἰς βάθος μέγιστον ἀποῤῥωγότας, præcipitia ingenti altitudine prærupta. Sylburg.

2. Qui montes excelliſſimi, veluti murus quidam Italiæ à Naturâ ſunt excitati, in altum adeò exſurgentes ut nubes ſuperare videantur; in longitudinem vero ita porrecti ut totam Italiam intercipientes, in dextro ejus latere ad Tyrrhenum pelâgus, in ſiniſtro ad Jonium ſinum pertingunt. Sylburg.

turum

turum illuc exercitum formido tenebat, ſperantem ſumma juga teneri jam ab hoſte, nulloſque non obſtructos exitus ad ſe prohibendos. Neque is metus de nihilo erat, locorum naturam contemplantibus.

III. Poſtea verò quàm ſine ullo impedimento ſuperatis Alpibus in caſtra deſcenderant, læti ſcilicet omnes inſtauratis animis vitulabantur, nihilque non ſibi ex ſententia ceſſurum Maximinus arbitrabatur, ne locorum quidem [1] difficultati fidentibus Italis, intra quas latitare ipſi, & ſaluti ſuæ conſulere, prætereaque inſidiari hoſtibus, ac è locis ſupernè imminentibus pugnam capeſſere potuiſſent. Sed ubi planitiem attigerunt, nuntiant exploratores maximam Italiæ urbem Aquileiam portas occluſiſſe, Pannoniorum acies quæ præiverant, acriter murum oppugnâſſe. Cæterum tentata re ſæpè, omnes incaſſum conatus evaſiſſe. Itaque jam defatigatos recedere, lapidibus ſcilicet & haſtis magnaque ſagittarum vi deſuper ingruentibus. At Maximinus iratus Pannoniis, quaſi parum impigrè præliatis, ipſe cum exercitu reliquo accelerabat, ſperans nullo negotio ſe illius urbis potiturum.

IV. Sed Aquileia prius quoque (ut erat ingens urbis ejus magnitudo) populo abundabat,

λοῦ δέει ὁ στρατὸς, ἐλπίζοντες τάς τε ἄκρας κατειλῆφθαι, πεφράχθαι τε τὰς διόδους ἐς κώλυμα τῆς αὐτῶν διαβάσεως. ἤλπιζον δὲ καὶ ἐδεδοίκεσαν εἰκότα, τῶν χωρίων τεκμαιρόμενοι τὴν φύσιν.

γ'. Ὡς δὲ διέβησαν ἀκωλύτως, μηδενὸς ἐμποδὼν γενομένου, καταβαίνοντες εἰς τὸ στρατόπεδον, ἤδη ἀνεθάῤῥησάν τε καὶ ἐπαιάνισαν. ῥᾷστα δὲ αὐτῷ πάντα προχωρήσειν ὁ Μαξιμῖνος ἤλπισεν, Ἰταλῶν μηδὲ ταῖς δυσχωρίαις τεθαῤῥηκότων, ἔνθα ἢ κρύπτειν ἑαυτοὺς καὶ σώζειν ἠδύναντο, ἢ δι' ἐνέδρας ἐπιβουλεῦσαι, μάχεσθαί τε ἄνωθεν, ἐξ ὑπερκειμένων χωρίων. γενομένων δὲ αὐτῶν ἐν τῷ πεδίῳ, οἱ σκοποὶ ἀπήγγειλαν, πόλιν Ἰταλίας τὴν μεγίστην, Ἀκυληΐαν δὲ καλουμένην, κεκλεῖσθαι· τὰς δὲ προπεμφθείσας φάλαγγας τῶν Παιόνων, προθύμως μὲν τειχομαχῆσαι, πολλάκις δὲ προσβαλούσας, ἀνύειν οὐδέν· ἀπαγορεύειν δὲ καὶ ἀναχωρεῖν βαλλομένους λίθοις τε καὶ δόρασι, τόξων τε πλήθει. ὁ δὲ Μαξιμῖνος, ἀγανακτήσας πρὸς τοὺς στρατηγοὺς τῶν Παιόνων, ὡς ἀμελέστερον μαχομένους, αὐτὸς σὺν τῷ στρατῷ ἠπείγετο, ἐλπίζων ῥᾷστα αἱρήσειν τὴν πόλιν.

δ'. Ἡ δὲ Ἀκυληΐα καὶ πρότερον μὲν (ἅτε μεγίστη πόλις) ἰδίου δήμου πολυάνθρωπος ἦν, καὶ ὥσπερ

1. Lego difficultatibus, cui lectioni reſpondet [intra quas] Steph.

τι ἐμπόριον Ἰταλίας ἐπὶ θαλάττῃ προκειμένη, καὶ πρὸ τῶν Ἰλλυρικῶν ἐθνῶν πάντων ἱδρυμένη, τά τε ἀπὸ τῆς ἠπείρου διὰ γῆς ἢ ποταμῶν κατακομιζόμενα παρεῖχεν ἐμπορεύεσθαι τοῖς πλέουσι· τά τε ἀπὸ θαλάττης τοῖς ἠπειρώταις ἀναγκαῖα, ὧν ἡ παρ' ἐκείνοις χώρα διὰ [1] χειμῶνος οὐκ ἦν εὔφορος, ἀνέπεμπεν εἰς τὴν ἄνω γῆν· πρὸς οἶνόν τε μάλιστα πολύγονον γεωργοῦντες, ἀφθονίαν ποτοῦ παρεῖχε τοῖς ἄμπελον μὴ γεωργοῦσιν. ἔνθεν πολύ τι πλῆθος ἐπεδήμει οὐ πολιτῶν μόνον, ἀλλὰ ξένων τε καὶ ἐμπόρων. τότε δὴ μᾶλλον ἐπολυπλασιάσθη τὸ πλῆθος, τῶν ὄχλων πάντων ἐξ ἀγρῶν ἐκεῖσε συρρεόντων, πολίχνας τε καὶ κώμας τὰς περικειμένας καταλιπόντων, θαρσούντων δὲ αὐτοὺς τῷ τε μεγέθει τῆς πόλεως καὶ τῷ προβεβλημένῳ τείχει, ὃ παλαιότατον, ἐκ τοῦ πλείστου μέρους πρότερον μὲν καθῄρητο (ἅτε μετὰ τὴν Ῥωμαίων ἀρχὴν μηκέτι τῶν ἐν Ἰταλίᾳ πόλεων ἢ τειχῶν ἢ ὅπλων δεηθεισῶν, μετειληφυιῶν δὲ ἀντὶ πολέμων εἰρήνην βαθεῖαν, καὶ τῆς παρὰ Ῥωμαίοις πολιτείας κοινωνίαν) πλὴν τότε ἡ χρεία ἤπειξε τὸ τεῖχος ἀνανεώσασθαι, τά τ' ἐρείπια ἀνοικοδομῆσαι, πύργους τε καὶ ἐπάλξεις ἐγεῖραι. τάχιστα οὖν φράξαντες τῷ τείχει τὴν πόλιν, τάς τε πύλας κλείσαντες, πανδημεὶ ἐπὶ τῶν τειχῶν, νύκτωρ τε καὶ

& velut Italiæ quoddam emporium ad mare ſita, quaſique terminus Illyriæ, copiam rerum è continenti per terram fluvioſque convectam navigantibus ſuggerebat: & ab ipſo mari res ad uſum eorum qui continentem colunt neceſſarias, videlicet ſuperioribus terris propter hyemis aſperitatem minus feracibus: maximè tamen vinum, cujus in ipſa regione maximus proventus eſt, vicinis gentibus ne vitem quidem habentibus, affatim ſuppeditabat. Ex quo factum uti ſuper civium ingentem numerum, etiam magna vis hoſpitum ac mercatorum eam urbem frequentaret. Enimvero tunc etiam aucta multitudo, confluentibus illuc ex agris, quicunque oppidulis viciſque circà relictis fidebant urbis magnitudini, ac vetuſtis mœnibus, dirutis quidem antea magna ex parte: (Quippe in tanta Romanorum potentia, neque murorum neque armorum Italiæ civitates indigebant, pacem altiſſimam agitantes, atque in participatum reipublicæ aſcitæ) Sed tunc urgente videlicet neceſſitate, renovatis inſtauratiſque mœnibus, præterea turribus ac propugnaculis excitatis, totaque urbe ad eum modum communita, clauſiſque

1. Deeſſe puto χαλεπότητα vel σφοδρότητα. Steph.

po ti

portis, noctem diemq; universi pro muro stantes, hostem fortissimè propulsabant. Duces erant summa potestate duo consulares viri lecti à Senatu, Crispinus ac Menephilus. Hi maxima diligentia procuraverant, uti necessaria quæque in urbem importarentur, sic ut diuturnior quoque sustineri oppugnatio potuerit. Erat item in urbe magna aquarum abundantia, partim ex puteis sanè frequentibus, partim è fluvio muros præterfluente, ac pariter fossæ objectus & aquarum præbente copiam.

V. His ita intra urbem comparatis, ut primùm defendi muros diligenter clausasque portas Maximinus audivit, decrevit mittere legatorum specie, qui illos alloquerentur, ac (si possent) reserari sibi portas persuaderent. Habebat autem in exercitu tribunum quendam Aquileiæ civem, cujus nati atque uxor, præterea familia omnis in urbe erant conclusi. Quare eum, centurionesque nonnullos, quasi oratores mittit, sperans facilè illius autoritatem municipes secuturos. Qui ubi muro appropinquarunt, in hanc sententiam verba faciunt: "Jubere communem "Imperatorem pacem depositis "armis colere, seque amicum "pro hoste accipere, sacrisque "faciundis vacare, [2] quàm cæ-

μεθ' ἡμέραν ἱδρυμένοι, τοῖς προσιοῦσιν ἀπεμάχοντο. ἐστρατήγουν δὲ αὐτῶν, καὶ πάντα εἶχον διὰ φροντίδος ἄνδρες δύο, ἀπὸ ὑπατείας μὲν, ἐπιλεχθέντες δὲ ὑπὸ τῆς συγκλήτου· ὧν ὁ μὲν Κρισπῖνος, ὁ δὲ Μηνόφιλος ἐκαλεῖτο. καὶ μετὰ πολλῆς προνοίας τά τε ἐπιτήδεια πάμπλειστα εἰσεκομίσαντο, ὡς ἐπάρκειαν εἶναι, εἰ καὶ ἐπιμηκεστέρα γένοιτο πολιορκία. ἦν δὲ καὶ ὕδατος ἀφθονία φρεατιαίου· πολλὰ γὰρ τὰ ὀρύγματα ἐν τῇ πόλει. ποταμός τε [1] περιέρρει τὸ τεῖχος, ὁμοῦ παρέχων τε προβολὴν τάφρου καὶ χορηγίαν ὕδατος.

ε'. Τὰ μὲν οὖν ἐν τῇ πόλει οὕτω παρεσκεύαστο. τῷ δὲ Μαξιμίνῳ, ἐπειδὴ ἀπηγγέλη φρουρουμένη καὶ κεκλεισμένη γενναίως ἡ πόλις, ἔδοξε πέμψαι ἐν σχήματι πρεσβείας τοὺς κάτωθεν διαλεξομένους, εἰ ἄρα πείσαιεν αὐτοὺς ἀνοῖξαι τὰς πύλας. ἦν δὲ ἐν τῷ στρατῷ χιλίαρχος, ᾧ πατρὶς μὲν ἡ Ἀκυληΐα ἦν, τέκνα τε καὶ γυνὴ, οἰκεῖοί τε πάντες ἔνδον ἀπεκέκλειντο. τοῦτον οὖν ἔπεμψε σὺν ἑτέροις ἑκατοντάρχαις, ἐλπίσας ῥᾷστα πείσειν, ὡς πολίτην. ἀφικόμενοι δὲ οἱ πρέσβεις ἔλεγον ὅτι ἄρα κελεύει Μαξιμῖνος ὁ κοινὸς βασιλεὺς ὅπλα μὲν αὐτοὺς καταθέσθαι ἐν εἰρήνῃ, φίλον δὲ ἀντὶ πολεμίου δέχεσθαι. σπονδαῖς δὲ μᾶλλον καὶ θυσίαις

1. Potiùs περιρρεῖ ut vult ex Memmio. Sylburg.

2. Relinquit Politianus subaudiendam vocem [potius] ut alibi. Steph.

σχολά-

κολάζειν ἢ φόνοις. μηδὲ περιορᾷν πατρίδα μέλλουσαν ἄρδην καὶ ἐκ θεμελίων ἀπόλλυσθαι, ἐνὸν αὐτοῖς τε σώζεσθαι καὶ τὴν πατρίδα σώζειν, διδόντος αὐτοῖς χρηστοῦ βασιλέως ἀμνηστίαν, συγγνώμην τε τῶν ἁμαρτηθέντων. οὐ γὰρ αὐτοὺς αἰτίους γεγενῆσθαι, ἀλλ' ἄλλους.

ϛʹ. Οἱ μὲν οὖν πρέσβεις τοιαῦτά τινα κάτω παρεστῶτες ἐβόων, ὡς ἐξάκουστα εἴη. ὁ δὲ πλεῖστος δῆμος, τῷ τείχει καὶ τοῖς πύργοις ἐφεστῶς, πλὴν τῶν τὰ λοιπὰ μέρη φρουρούντων, ἐπήκουεν ἡσυχάζων τῶν λεγομένων. ὁ δὲ Κρισπῖνος, φοβηθεὶς μήπως ἅτε ὄχλος τῇ ὑποσχέσει ἀναπεισθεὶς, εἰρήνην τὴν ἀντὶ πολέμου ἑλόμενος, ἀνοίξῃ τὰς πύλας, περιθέων τὸ τεῖχος, ἐδεῖτο καὶ ἐλιπάρει μένειν τε θαρραλέως καὶ ἀντέχειν γενναίως, μηδὲ προδιδόναι τὴν πρὸς τὴν σύγκλητον καὶ Ῥωμαίων δῆμον πίστιν· σωτῆρας δὲ καὶ προμάχους Ἰταλίας πάσης ἀναγραφῆναι· μὴ πιστεύειν δὲ ὑποσχέσεσι τυράννου ἐπιόρκου τε καὶ ἀπατεῶνος, μηδὲ χρηστοῖς λόγοις δελεασθέντας ὀλέθρῳ προὔπτῳ παραδοθῆναι, ἐνὸν πιστεῦσαι πολέμου ἀμφιβόλῳ τύχῃ (πολλάκις γὰρ καὶ οἱ ὀλίγοι πλειόνων περιεγένοντο, καὶ δοκοῦντες ἀσθενέστεροι, καθεῖλον τοὺς ἐν ὑπολήψει ἀνδρείας μείζονος) μηδ' ἐκπλήττεσθαι τῷ πλήθει τοῦ στρατοῦ. οἱ μὲν γὰρ ὑπὲρ ἄλλου μαχόμενοι, καὶ τῆς παρ' ἑτέρων ἐσομένης εὐ-

" dibus: miserari patriam, paulò post (si obstinati perstiterint) ab ipsis usq; fundamentis ruituram, licere ipsis (si velint) una opera sibi quenque & saluti patriæ consulere: quippe oblivionem veniamque omnium quæ fecerint, optimum Principem polliceri, quando nihil ipsorum, sed omnia forent aliena culpa contracta.

VI. Talia quædam sub muro legati magna voce pronunciabant, sic ut facilè exaudiri, si non planè ab omnibus, certè ab ea multitudine possent quæcunque supra muros turresque constiterat. Etenim taciti omnes legatorum dictis aures dediderant. Quare metuens Crispinus ne pollicitationibus illis, quæ vulgi inconstantia est, ad mutandum pace bellum, reserandasque hosti portas impellerentur, discursans ipse per muros, rogare, obtestarique singulos, uti audacter manerent, fortiterque resisterent, neque fidem proderent Senatui debitam P. Q. R. néve titulum servatæ ac propugnatæ Italiæ totius aspernarentur: néve promissis crederent perjuri, fraudulentiq; tyranni; néve item benigna oratione inescati, ruerent in manifestam perniciem: sed confiderent belli fortunæ, ita plerunque dubiæ atque ancipiti, ut magnus interim numerus à paucissimis, & qui potentiores creduntur, ab iis qui imbecilliores habeantur, victi superatique sint: néve utique expavescerent exercitus illius magnitudinem.

Nam

Nam qui pro altero dimicant, cum ſuæ victoriæ felicitatem ad alios videant migraturam, minus profecto acriter decertant: quippe qui intelligant, ſe quidem in periculi participatum admitti: cæterùm extremos victoriæ fructus ad alium perventuros. Qui autem pro patria pugnant, præterquàm quod ſpe meliore eſſe debent (neque enim aliena occupare, ſed tueri ſua contendunt) etiam animo ſunt majore, ut quos non alienum Imperium, ſed ſua quenque neceſſitas adigat: quoniam ſcilicet victoriæ fructus ad ipſos ſunt perventuri.

VII. Talia quædam nunc ſingulis, nunc univerſis ingerens Criſpinus, homo ſuapte natura venerabilis, ac Romana facundia pollens, præterea gratus omnibus, miti modeſtoque Imperio, perſuaſit multitudini, ut in officio fideque permanerent: juſſitque legatos rebus infectis ad Maximinum reverti. [1] Dicebatur autem Criſpinus ad bellum ſic audacter ſuſtinendum, etiam haruſpicum reſponſo, qui læta extra nunciarent, animatus: etenim magnopere fidem hujuſcemodi ſignis habere Itali conſueverunt. Cæterùm non nulla quoque oracula ferebantur patrii cujuſdam numinis, victoriam promittentia: Belem vocant indigenæ, magnaque cum religione colunt, Apollinem interpretantes. Cujus etiam

δαιμονίας, εἴ γε γένοιτο, μετριάζουσιν ἐν τῷ προθύμῳ τῆς μάχης, εἰδότες ὡς τῶν μὲν κινδύνων αὐτοὶ μεθέξουσι, τὰ δὲ μέγιστα καὶ κορυφαῖα τῆς νίκης ἄλλος καρπώσεται. τοῖς δὲ ὑπὲρ τῆς πατρίδος μαχομένοις, καὶ παρὰ τῶν θεῶν ἐλπίδες κρείττους, ἐπειδὴ οὐ τὰ ἄλλων λαβεῖν, ἀλλὰ τὰ αὑτῶν σώζειν εὔχονται. τό, τε ἐς τὰς μάχας πρόθυμον, οὐκ ἐξ ἄλλου κελεύσεως, ἀλλὰ ἐξ οἰκείας ἀνάγκης ἔχουσιν, ἐπεὶ καὶ τῆς νίκης πᾶς ὁ καρπὸς αὐτοῖς περιγίνεται.

ζʹ. Τοιαῦτά τινα λέγων ὁ Κρισπῖνος, καὶ πρὸς ἑκάστους καὶ κοινῇ, φύσει μὲν καὶ ἄλλως αἰδέσιμος ὤν, ἔν τε τῇ Ῥωμαίων φωνῇ εὐπρόσφορος ἐν λόγοις, ἐπιεικῶς τε αὐτῶν προεστώς, ἔπεισε μένειν ἐν τοῖς προκειμένοις, τούς τε πρέσβεις ἀπράκτους ἀπιέναι ἐκέλευσεν. ἐλέγετο δὲ τῇ ἐνστάσει τοῦ πολέμου ἐμμεμενηκέναι, πολλῶν ἔνδον ὄντων περὶ θυτικήν τε καὶ ἡπατοσκοπίαν ἐμπείρων, τά τε ἱερὰ αἴσια ἀπαγγελλόντων. μάλιστα γὰρ τῇ σκέψει ταύτῃ πιστεύουσιν Ἰταλιῶται. καὶ χρησμοὶ δέ τινες ἐδίδοντο ὡς δὴ τοῦ ἐπιχωρίου θεοῦ νίκην ὑπισχνουμένου· Βέλιν δὲ καλοῦσι τοῦτον, σέβουσί τε ὑπερφυῶς, Ἀπόλλωνα εἶναι ἐθέλοντες. οὗ

1. Deum Belenum per aruſpices ſpoſpondiſſe Maximinum eſſe vincendum ſcribit Capitol.

καὶ

καὶ τὴν εἰκόνα ἔλεγον τινὲς τῶν Μαξιμίνου στρατιωτῶν φανῆναι πολλάκις ἐν ἀέρι ὑπὲρ τῆς πόλεως μαχομένην. ὅπερ, εἴ τε ἀληθῶς ἐφαντάσθη τισὶν, ἢ καὶ βουλομένοις μὴ ἀσχημονεῖν τοσοῦτον στρατὸν πρὸς ὄχλον δημοτῶν πολὺ ἐλάττονα μὴ ἀντισχόντα, δοκεῖν δὲ ὑπὸ θεῶν ἀλλὰ μὴ ὑπὸ ἀνθρώπων νενικῆσθαι, εἰπεῖν οὐκ ἔχω. Τὸ δὲ παράδοξον τῆς ἀποβάσεως ποιεῖ πάντα πιστεῦσαι.

η'. Πλὴν τῶν πρέσβεων ἀπράκτων πρὸς Μαξιμῖνον ἐπανελθόντων, ὀργῇ καὶ θυμῷ χρώμενος πλείονι, μᾶλλον ἠπείγετο. ἐπεὶ δὲ ἐγένετο πρός τινι ποταμῷ μεγίστῳ, ἀπέχοντι τῆς πόλεως σημεῖα ἑκκαίδεκα, τὸ ῥεῖθρον εὗρε διά τε μεγίστου βάθους καὶ πλάτους φερόμενον. τῶν γὰρ ὑπερκειμένων ὀρῶν τὰς διὰ ὅλου τοῦ χειμῶνος παγείσας χιόνας λύουσα ἡ τοῦ ἔτους ὥρα παμμεγέθη τὸν χειμάῤῥουν εἰργάζετο. ἄπορος οὖν ἦν ἡ διάβασις τῷ στρατῷ· τὴν γὰρ γέφυραν, ἔργον μέγα καὶ κάλλιστον ὑπὸ τῶν πάλαι βασιλέων γεγενημένον, ἐκ τετραπέδων λίθων, πυλίσι κατ' ὀλίγον αὐξανομέναις ὑπειλημμένον, διῃρήκεσαν καὶ καταλελύκεσαν οἱ Ἀκυλήσιοι. οὔτε οὖν γεφύρας οὔσης, οὔτε νεῶν, ὁ στρατὸς ἐν ἀφασίᾳ καθειστήκει. Γερμανοὶ δέ τινες, οὐκ εἰδότες τῶν Ἰταλιωτῶν ποταμῶν τὰ σφοδρὰ καὶ καταῤῥηγνύμενα ῥεύματα, οἰόμενοι δὲ σχολαίτερα ἐπινήχεσθαι τοῖς πεδίοις, ὥσπερ παρ' αὐτοῖς, (διὸ καὶ πήγνυται ῥαδίως, μὴ σφοδρῶς κινουμένου τοῦ ῥεύματος) ἐπει-

speciem pro urbe ipsa pugnantem, quidam è militibus Maximini visam sibi sæpe in cœlo affirmabant. Quod utrum sic esse nonnulli putaverint, an id commentum placuerit, ad levandam infamiam tanti exercitus, qui bello impar foret adversus minorem multo numerum oppidanorum, ut sc. victi potius à Diis quàm ab hominibus viderentur, haud sanè satis exploratum habeo. Cæterùm novitas eventus cuncta credibiliora facit.

VIII. Postea verò quam infecto negotio legati reverterunt, ira & furore instinctus Maximinus, magis magisque accelerabat. Ut autem ad fluvium pervenit, qui ad lapidem duodecimum procul est ab urbe, invenit ipsum maxima alvei profunditate ac latitudine defluentem. Etenim anni tempore solutæ vicinorum montium nives, quas longa hyems duraverat, maximum torrentem effecerant, sic ut nullo pacto transire exercitus posset. Nam pontem, quod opus magnum atque pulcherrimum veteres Imperatores lapide quadrato construxerant, pylis veluti quibusdam parvis sensim crescentibus, ruperant ac resolverant Aquileienses. Ita cùm neq; ponte, neq; navigiis (quippe nulla suppeditabant) transire exercitus posset, substitit incertus consilii. Sed enim Germani aliquot, ignari quàm rapido abruptoque impetu Italiæ flumina deferantur, ratiq; sensim influere campos, quemadmodum apud ipsos consueverunt (unde etiam,

quia

quia minimum se concitant; perfacile congelascunt) ausi seque & equos natandi peritos alveo credere, vi fluminis ablati perierunt.

IX. Igitur cum biduum aut triduum in tentoriis fuisset Maximinus, ducta circum exercitum fossa, ne qui de improviso in castra ruerent, stabat in sua ripa deliberabundus, quonam tandem pacto fluvium ponte jungeret. Sed in magna lignorum ac navigiorum penuria, quibus inter se junctis pontem fabricaretur, nunciarunt quidam è fabris, esse permultas in agris illis desertis inanes cupas, forma rotunda, quibus videlicet incolæ quondam ad vinum importandum utebantur. Ea cum essent ad navium similitudinem concava, devincta mox inter sese, scapharum more innatatura videbantur. Etenim ire pessum, vinculis inter se constricta, ac viminibus desuper injectis, & pulvere multo (compluribus operam navantibus) saburrata, non poterant.

X. Quod ubi factum est, facilè milites in ulteriorem ripam transgressi, suburbanis ædificiis, quæ deserta invenerunt, igne correptis, vites arboresque exciderunt, omnemque ejus regionis ornatum fœdaverunt. Siquidem arborum comparibus ordinibus, ac viti-

σπουδάσαντες ἅμα τοῖς ἵπποις διανήχεσθαι εἰθισμένοις, παρενεχθέντες ἀπώλοντο.

θʹ. Δύο μὲν οὖν ἢ τριῶν ἡμερῶν σκηνοποιησάμενος ὁ Μαξιμῖνος, τάφρου τῷ στρατῷ περιβληθείσης, μή τινες ἐπέλθοιεν, ἔμεινεν ἐπὶ τῇ καθ' αὐτῶν ὄχθῃ, σκεπτόμενος ὅπως τὸν ποταμὸν γεφυρώσῃ. ἐπεὶ δὲ ξύλων ἦν ἀπορία καὶ νεῶν, ἃς ἔδει ζευχθείσας γεφυρῶσαι τὸ ῥεῖθρον, [1] ἐπέβαλον τινὲς τῶν τεχνιτῶν πολλὰ εἶναι κενὰ οἰνοφόρα σκεύη περιφερῆ ξύλου ἐν τοῖς ἐρήμοις ἀγροῖς· οἷς ἐχρῶντο μὲν πρότερον οἱ κατοικοῦντες εἰς ὑπηρεσίαν ἑαυτῶν, καὶ παραπέμπειν τὸν οἶνον ἀσφαλῶς τοῖς δεομένοις. ἅπερ ὄντα κοῖλα δίκην νεῶν, ἀλλήλοις συνδεθέντα ἐπινήξεσθαι μὲν ἔμελλεν ὥσπερ σκάφη, μὴ παρενεχθήσεσθαι δὲ, διά τε τῶν δεσμῶν τὸ ἐπάλληλον, φρυγάνων τε ἄνωθεν ἐπιβληθέντων, χοῦ τε τῆς γῆς μετρίως ἐς αὐτὰ σωρευθέντος χειρὶ πολλῇ καὶ σπουδῇ.

ιʹ. Ἐφεστῶτος οὖν αὐτοῦ [2] διαβὰς ὁ στρατὸς ἐπὶ τὴν πόλιν ἐχώρει. τὰ μὲν οἰκοδομήματα τῶν προαστείων ἔρημα εὕρισκον, ἀμπέλους μέντοι καὶ δένδρα πάντα ἐξέκοπτον. ἃ δὲ ἐνεπίμπρασαν καὶ τὴν πρότερον τοῖς χωρίοις ὑπάρχουσαν ὥραν κατῄσχυνον. δένδρων γὰρ στοίχοις ἰ-

1. Scribo ὑπέβαλον i. e. admonuerunt. Steph.

2. Ponte itaque cuppis facto, Maximinus fluvium transivit. Capitol.

σοις ἀμπέλων τῆς πρὸς ἀλλήλας δέσεις πανταχόθεν ἠρτημένων ἐν ἑορτῆς σχήματι, [2] στεφάνων ἄν τις τὴν χώραν κεκοσμῆσθαι ἐτεκμήρατο. ἅπερ πάντα ῥιζόθεν ἐκκόψας ὁ στρατὸς, ἐπὶ τὰ τείχη ἠπείγετο. κεκμηκότι δὲ αὐτῷ προσβαλεῖν εὐθέως οὐκ ἔδοξε· μείναντες δὲ ἔξω τοξεύματος, καὶ διαιρεθέντες κατὰ λόχους καὶ φάλαγγας, περὶ πᾶν τὸ τεῖχος, ὡς ἑκάστοις κατὰ μέρος προσετέτακτο, μιᾶς ἡμέρας ἀναπαυσάμενοι, τοῦ λοιποῦ εἴχοντο τῆς πολιορκίας.

bus inter se junctis, & in sublime evectis, ad festæ celebritatis speciem, quasi coronis quibusdam redimita omnis regio videbatur Quibus radicitus excisis, exercitus ad ipsos urbis muros contendebat. Sed omnibus defatigatis, non fuit Imperatoris consilium urbem ipsam statim invadere: Sed extra teli jactum constituto milite, divisoque in centurias & cuneos, ac partibus muri totius unicuique attributis, uno tantum die ad requiescendum indulto, statim deinde oppugnare urbem aggreditur.

ια'. [3] Μηχανάς τε οὖν παντοίας προσφέροντες, καὶ τειχομαχοῦντες παντὶ σθένει, οὐδὲν παρέλειπον εἶδος πολιορκίας. πολλῶν δὲ καὶ σχεδὸν ἑκάστης ἡμέρας γινομένων προσβολῶν, καὶ παντὸς τοῦ στρατοῦ ὥσπερ σαγηνεύσαντος τὴν πόλιν, μετὰ πολλῆς βίας καὶ προθυμίας μάχης τειχομαχοῦντες ἀντεῖχον οἱ Ἀκυλήσιοι· ναοὺς μὲν καὶ οἰκίας ἀποκλείσαντες, πανδημεὶ δὲ ἅμα παισὶ καὶ γυναιξὶν ἄνωθεν ἐπάλξεών τε καὶ πύργων ἀπομαχόμενοι· οὐδέ τις ἦν οὕτως ἄχρηστος ἡλικίᾳ ὡς μὴ μετέχειν τῆς ὑπὲρ τῆς πατρίδος μάχης. τὰ μὲν γὰρ προάστεια, καὶ εἴ τι τῶν πυλῶν ἔξωθεν ἦν, ὑπὸ τοῦ Μαξιμίνου στρατοῦ κατέσπαστο, τῇ τε ξυλείᾳ τῶν οἰκοδομημάτων εἰς τὰς

XI. Igitur machinamentis omnifariam admotis, cum genus oppugnationis nullum prætermitteretur, plurima scilicet ac propemodum quotidiana certamina edebantur. Etenim circundatis velut indagine quadam muris, magnaque vi atque alacritate pugnam capessente milite, resistebant audacter Aquileienses, clausisque templis & domibus, universi cum liberis & conjugibus urbem desuper è turribus ac propugnaculis defensabant. Neque erat ulla tam inutilis ætas, quæ pugnare pro patria recusaret. Cæterùm suburbana omnia, & quicquid extra urbem ædificiorum fuerat, demolitus Maximinus, lignis materiaque omni ad machinas abutebatur, quibus muri

1. Scribo πρὸς ἀλλήλας δέσεις, & ἠρτημένων pro τυμένων. Steph.
2. Potiùs στεφάνοις. Steph.

3. Oppugnationem hanc eleganter descriptam legas in Capitol.

saltem

ſaltem aliquam partem demoliretur: qua immiſſus exercitus deriperet urbem ac dirueret, totamque eam vaſtam mox deſertamque relinqueret. Neque enim decorum ſibi aut honorificum fore iter Romam arbitrabatur, niſi urbem deleviſſet, quæ prima in Italia obſtitiſſet. Quocirca multa pollicentes atque oſtentantes, ipſe cum filio, quem Cæſarem fecerat, obequitabant militibus, eoſque ad pugnandum acriter adhortabantur. Enimverò Aquileienſes ſaxa deſuper jaciebant, ſulphurque bitumine ac pice mixtum doliis, quorum manubria longiora, immittebant: atque ut primum exercitus muris ſucceſſerat, ignibus injectis diſpergebant unanimiter imbrium ritu. Quam ob rem pix illa cum cæteris, quæ ſupra diximus, partes nudas corporis ſubiens, undique diffundebatur; Sic ut miles loricas armaque cætera, ferro excandeſcente, coriiſque ac lignis ardentibus contrahentibuſque ſe, raptim abjiceret. Itaque cernere erat milites arma ſibi ipſos detrahentes, quæ ſpoliorum ſpeciem, abjecta humi, commento magis artis quàm vi pugnantium, præferebant. Ex quo factum eſt ut pleriſque militibus aut oculi extinguerentur, aut ſummæ oris partes, manuſque item, & ſi qua

μηχανὰς κατεκέχρηντο. ἐβιάζοντο δὲ τοῦ τείχους κἂν μέρος τι καθελεῖν, ἵν' ἐπεισελθὼν ὁ στρατὸς πάντα τε διαρπάσῃ, καὶ κατασκάψας τὴν πόλιν, μηλόβοτον καὶ ἔρημον τὴν χώραν καταλείπῃ. οὐ δὲ γὰρ ἄλλως αὐτῷ τὴν ἐπὶ Ῥώμην ὁδὸν εὐπρεπῆ καὶ ἔνδοξον ἔσεσθαι, μὴ, τῆς πρώτης ἐν Ἰταλίᾳ πόλεως ἀντιστάσης, καθαιρεθείσης. ὑποσχέσεσι τε τῶν δωρεῶν καὶ δεήσεσιν αὐτός τε καὶ ὁ υἱὸς αὐτοῦ, ὃν πεποιήκει Καίσαρα, περιθέοντες, ἵπποις ἐποχούμενοι, τὸν στρατὸν ἀνέπειθον λιπαροῦντες, εἰς προθυμίαν τε ἐγείροντες. οἱ δὲ Ἀκυλήσιοι λίθοις τε ἔβαλλον ἄνωθεν, καὶ κιρνῶντες θείῳ τε καὶ ἀσφάλτῳ, πίτταν ἐλόντες, κοίλοις σκεύεσιν ἐμβαλόντες λαβὰς ἐπιμήκεις ἔχουσι, καὶ πυρώσαντες, ἅμα τῷ προσπελάζειν τοῖς τείχεσι τὸν στρατὸν, κατασκεδαννύντες, καταχέοντες ὄμβρου δίκην ὁμοθυμαδόν. φερομένη δὲ ἡ πίσσα σὺν οἷς προείρηται, δυομένη τε διὰ τῶν γεγυμνωμένων μερῶν τοῦ σώματος, εἰς πᾶν ἐχεῖτο, ὥς τε τοὺς θώρακας αὐτοὺς πεπυρωμένους ἀποῤῥίπτειν, καὶ τὰ λοιπὰ ὅπλα, ὧν ὁ σίδηρος ἐθερμαίνετο· τά τε ἐκ βυρσῶν τε καὶ ξύλων ἐφλέγετο καὶ συνείλκετο. ἦν οὖν ἰδεῖν γυμνουμένους τοὺς στρατιώτας αὐτοὺς ἐφ' ἑαυτῶν, καὶ σκύλων ὄψιν ὅπλα παρεῖχεν ἐῤῥιμμένα, σοφίᾳ τέχνης, ἀλλ' οὐκ ἀνδρείᾳ μάχης περιῃρημένα. ἐκ δὲ τοῦ τοιούτου, πάμπλειστον πλῆθος τοῦ στρατοῦ, τάς τε ὄψεις 1 ἐπηροῦντο, καὶ τὸ πρόσωπον ἠκρωτηριάζετο, τάς 1 χεῖρας καὶ

1. Scribendum videtur ἐπηροῦτο, ut ἠκρωτηριάζετο; vel ἠκρωτηριάζοντο.

εἴ τι γυμνὸν ἦν τοῦ σώματος. ἀλλὰ μὴν καὶ ταῖς μηχαναῖς προσαγομέναις δᾷδας ἐπέβαλλον ὁμοίως πίσσῃ καὶ ῥητίνῃ δεδευμένας, ἐπί τε τῷ ἄκρῳ βελῶν ἀκίδας ἐχούσας· αἳ ἀναφθεῖσαι φερόμεναι, ἐμπαγεῖσαι ταῖς μηχαναῖς καὶ προσπεφυκυῖαι, ῥᾳδίως αὐτὰς κατέφλεγον. τῶν μὲν οὖν πρώτων ἡμερῶν ἀντίπαλός πως καὶ ἰσόρροπος ἔμενεν ἡ τύχη τῆς μάχης· χρόνου δὲ ἐγγινομένου, ὅ, τε στρατὸς τοῦ Μαξιμίνου ὀκνηρὸς ἐγίνετο, καὶ πταίων τῆς ἐλπίδος, ἀθύμως διέκειτο. οὓς γὰρ ἠλπίκεσαν μηδεμίαν ὑπομεῖναι προσβολήν, τούτους εὕρισκον οὐκ ἀντέχοντας μόνον, ἀλλὰ καὶ ἀνθεστῶτας. οἱ δὲ Ἀκυλήσιοι ἐπεῤῥώννυντό τε καὶ προθυμίας πάσης ἐνεπίμπλαντο· τῇ τε συνεχείᾳ τῆς μάχης, πεῖραν καὶ θάρσος ὁμοῦ προσλαμβάνοντες, κατεφρόνουν τῶν στρατιωτῶν· ὡς καὶ ἀποσκώπτειν ἐς αὐτούς, ἐνυβρίζειν τε τῷ Μαξιμίνῳ περινοστοῦντι, εἴς τε αὐτὸν καὶ τὸν παῖδα ἀποῤῥίπτειν δυσφήμους καὶ αἰσχρὰς βλασφημίας.

ιβ'. Ἐφ' οἷς ἐκεῖνος κινούμενος, ὀργῆς μᾶλλον ἐνεπίμπλατο. χρῆσθαι [1] δὲ κατὰ τῶν πολεμίων οὐ δυνάμενος, ἐκόλαζε τοὺς πλείστους τῶν ἡγουμένων τῶν ἰδίων στρατιωτῶν, ὡς ἀνάνδρως καὶ ῥᾳθύμως προσφερομένους τῇ τειχομαχίᾳ. ὅθεν αὐτῷ περιεγ-

præterea nuda in corpore patebant, ignibus labefactarentur. Sed & machinis, quæ muro admovebantur, desuper tædas injicebant pice ac resina oblitas, quarum extremitas mucronem veluti sagittæ haberet: quæ cum accensæ deferabantur, infixæ inhærentesque machinis, facile scilicet illas concremabant. Sed primis sanè diebus par utrinque librata fuit pugnæ fortuna. Dein mora injecta, minus minusque jam alacer Maximini erat exercitus: sed quia spe falsus, tristiorq; indies. Nam quos ne unum quidem diem speraverant suum laturos impetum, eos non modò non cedentes, sed resistentes etiam audacissimè animadvertebant. Contra, Aquileienses magis magisque indies virium atque animorum implebantur: & assiduitate pugnandi peritiam pariter audaciamq; consecuti, sic despiciebant milites ut etiam jocarentur in eos & cavillarentur, nihilq; non contumeliæ obeunti muros Maximino exprobrarent, tum in ipsum juxta filiumque nulla non jacerent probra.

XII. Quibus irritatus ac furens, cum effundere in hostes iram non liceret, plurimos è suis ducibus, quasi parum strenuè atque acriter urbem oppugnarent, extremo supplicio affecit. Quo factum ut infe-

ut convenire possit cum ἐπηροῦντο, Steph. quinetiam τὰς χεῖρας videtur cum precedente verbo jungi, ut legatur τάς τε ὄψεις ἐπηροῦντο καὶ τὸ πρόσωπον, ἠκρωτηριάζοντο τε τὰς χεῖρας. Steph.

1. Insero [αὐτῇ] sc. ὀργῇ, nisi malis subaudire istum dativum casum. Steph.

stiorem

stiorem sibi atque iratiorem militem reddiderit, & contemptibilior fieret adversariis.

XIII. Evenit præterea ut Aquileienses commeatu rebusque cæteris abundarent: quoniam magna diligentia quæcunque ad homines aut equos sustentandos desiderantur, in urbem fuerant comportata. Contrà exercitus omnium rerum egenus, excisis feracibus arboribus, agroque omni pervastato, partim sub tumultuariis tentoriis agitabant, partim sub aperto cœlo tolerabant solem atque imbres: siquidem nihil alimenti vel ipsis vel jumentis importabatur, obsessis omnibus Italiæ itineribus Romanorum diligentia, murisque & portis excitatis. Etenim viros consulares cum lectissimis ac spectatissimis hominibus ex Italia tota miserat Senatus, qui litora portusque tutarentur, neque cuiquam potestatem facerent navigandi: sic ut inaudita, incognitaque forent Maximino quæcunque Romæ agitabantur. Quin viæ quoque omnes & calles, ne quis transiret, diligentissimè servabantur. Ita eveniebat ut exercitus, qui urbem obsidebat, ipse invicem obsideretur. Nam neque Aquileiam capere, neque Romam proficisci poterat, navigiorum ac vehiculorum penuria: quæ omnia prius occupata & conclusa fuerant. Rumores quoque suspicionibus in majus augebantur, esse universum in armis Romanum

γίνετο πρὸς μὲν τῶν οἰκείων, μῖσός τε καὶ ὀργή· παρὰ δὲ τῶν ἀντιπάλων, πλείων ἡ καταφρόνησις.

ιγʹ. Συνέβαινε δὲ τοῖς Ἀκυλησίοις πάντα ὑπάρχειν ἔκπλεα, καὶ ἐπιτηδείων ἀφθονίαν ἐκ πολλῆς παρασκευῆς εἰς τὴν πόλιν πάντων σεσωρευμένων ὅσα ἦν ἀνθρώποις καὶ κτήνεσιν εἰς τροφὰς καὶ ποτὰ ἐπιτήδεια· ὁ δὲ στρατός, πάντων ἐν σπάνει, τῶν τε καρποφόρων δένδρων ἐκκεκομμένων τῆς τε γῆς ὑπ' αὐτοῦ δεδῃωμένης. μένοντες δὲ ὑπὸ σκηναῖς αὐτοσχεδίοις, οἱ δὲ πλεῖστοι ὑπὸ γυμνῷ τῷ ἀέρι, ὄμβρων τε καὶ ἡλίου ἠνείχοντο, λιμῷ τε διεφθείροντο, μηδὲ ἐπεισάκτου τροφῆς αὐτοῖς τε καὶ ὑποζυγίοις εἰσκομιζομένης. πανταχόθεν γὰρ τὰς τῆς Ἰταλίας ὁδοὺς περιφράξαντες ἦσαν οἱ Ῥωμαῖοι, τειχέων τε ἐγέρσεσι καὶ πυλίδων ἀσκήσεσιν. ἄνδρας τε ὑπατευκότας ἐξέπεμψεν ἡ σύγκλητος σὺν ἐπιλέκτοις καὶ λογάσιν ἀπ' Ἰταλίας πάσης ἀνδράσιν, ἵν' αἰγιαλοί τε πάντες καὶ λιμένες φρουρῶνται, καὶ μηδενὶ ἔκπλους συγχωρῆται· ὡς ἄπυστα καὶ ἄγνωστα εἶναι Μαξιμίνῳ τὰ ἐν Ῥώμῃ πραττόμενα· αἵ τε λεωφόροι ὁδοὶ καὶ ἀτραποὶ πᾶσαι ἐφυλάττοντο, ὡς μηδένα διαβαίνειν. συνέβαινε δέ, τὸν στρατὸν δοκοῦντα πολιορκεῖν, αὐτὸν πολιορκεῖσθαι· ἐπεὶ μήτε τὴν Ἀκυληΐαν ἑλεῖν ἐδύνατο, μήτε ἀπαναστὰς ἐκεῖθεν, ἐπὶ τὴν Ῥώμην χωρῆσαι, διά τε νεῶν καὶ ὀχημάτων ἀπορίαν. ἅπαντα γὰρ προκατείληπτο, καὶ συγκέκλειστο. φῆμαι δὲ μείζους ἐξ ὑποψίας ἀληθείας ἐδί-

δοντο,

ἐδήλου, ὅτι πᾶς ὁ δῆμος ὁ Ῥωμαίων ἐν ὅπλοις εἴη, Ἰταλία τε πᾶσα συμπεπνεύκοι, πάντα τε ἔθνη Ἰλλυρικὰ καὶ βάρβαρα, τά τε ὑπ' ἀνατολαῖς καὶ μεσημβρίαις στρατὸν ἀγείρει, μιᾷ τε γνώμῃ καὶ ψυχῇ ὁμοίως Μαξιμῖνος μεμίσηται. ὅθεν ἐν ἀπογνώσει ἦσαν καὶ πάντων σπάνει οἱ στρατιῶται, σχεδὸν καὶ ὕδατος αὐτοῦ. ὃ γὰρ ἦν μόνον ἐκ τοῦ παραρρέοντος ποταμοῦ ποτὸν αἵματι καὶ φόνοις μεμιασμένον ἐπίνετο, οἵ τε γὰρ Ἀκυλήσιοι τοὺς ἐν τῇ πόλει τελευτῶντας οὐκ ἔχοντες ὅπως θάψωσιν, ἐς τὸν ποταμὸν ἀπερρίπτουν· οἵ τε ἐν τῷ στρατῷ φονευόμενοι ἢ διαφθειρόμενοι νόσῳ, ἐδίδοντο τῷ ῥεύματι, οὐκ ἐχόντων αὐτῶν τὰ πρὸς τροφὰς ἐπιτήδεια.

ιδʹ. Παντελῶς οὖν ἀπορίας καὶ δυσθυμίας τὸν στρατὸν κατεχούσης, αἰφνιδίως ἀναπαυομένου τοῦ Μαξιμίνου ἐν τῇ σκηνῇ, καὶ τῆς ἡμέρας ἐκείνης ἐν ἀνέσει τοῦ πολέμου οὔσης, τῶν τε πλείστων ἐς τὰς σκηνὰς καὶ τὰ ἐγκεκλεισμένα τῆς φρουρᾶς χωρία ἀνακεχωρηκότων, [2] ἔδοξε τοῖς στρατιώταις οἳ πρὸς τῇ Ῥωμαίων πόλει στρατόπεδον εἶχον ὑπὸ τὸ καλούμενον ὄρος Ἀλβανὸν, ἔνθα παῖδας καὶ γυναῖκας καταλελοίπεσαν, φονεῦσαι τὸν Μαξιμῖνον· ὡς παύσαιντο μὲν χρονίου καὶ ἀπεράντου πολιορκίας, μηκέτι δὲ πορθοῖεν Ἰταλίαν ὑπὲρ τυράννου κατεγνωσμένου καὶ μεμισημένου.

populum, consensisse Italiam gentesque omnes Illyricas, barbarasque, quascunque aut Oriens aut Meridies videt, ad exercitum contrahendum, conjuratas in Maximini odium. Quare desperantes milites, omnium rerum penuria laborabant, vixque aquæ satis habebant, quam etiam pollutam sanguine & cædibus de flumine hauriebant. Nam & Aquileienses cadavera suorum, quæ humari non poterant, in flumina præcipitabant: & qui ferro morboque in exercitu perierant, itidem alveo demergebantur. Inter quos etiam quidam inopia ciborum confecti, vix adhuc spiritum retentabant.

XIV. Cum igitur ad hunc modum mœstus atque [1] inops exercitus esset, repente dum sub tentorio quiescit Maximinus, vacuo die à pugna, cum plerique aut in tabernacula, aut in suas quisque stationes concessissent, visum est militibus iis quorum ad urbem Romam sub monte Albano castra erant, atque in his liberi eorum conjugesque relictæ, neci dedere Maximinum, ut aliquando à diuturna & inexplicabili obsidione requiescerent, neque Italiæ bellum inferrent in tyranni gratiam, damnati omnibus & invisi.

1. Proculdubio Politianus adjecit genitivum [consilii.] Steph.

2. Quare timentes milites, quorum affectus (i. e. conjuges liberique) in Albano monte erant, medio die cum à prælio quiescceretur, & Maximinum, & filium ejus in tentorio occiderunt, eorumque capita præfixa contis Aquileiensibus demonstraverunt. Capitol.

XV. Quocirca occupata audacia ſub medium fermè diem ad illius tentorium contendunt, conſpirantibus unà corporis cuſtodibus. Ibique poſtquam de ſignis militaribus illius imagines detraxerunt, prodeuntem mox tentorio cum filio, ut ad eos loqueretur, hoc illi non conceſſo, continuò obtruncant, unaque præfectum prætorio, & quoſcunque chariſſimos ille habuerat. Projectaque ad ludibrium cadavera, canibus dein volucribuſque lanianda reliquerunt, miſſis tantùm Romam Imperatorum capitibus. Hunc habuit finem Maximinus cum filio: ita malè geſti imperii dedêre ambo ſupplicium.

XVI. Cæterùm exercitus hærebat, nece audita principum. Neque enim perinde omnibus grata, præſertimque Pannoniis Thracibuſque barbaris; qui ſcilicet imperium illi tradiderant. Sed quando infectum fieri nequibat, ferebant, quanquam inviti, & ſe gaudere cum cæteris ſimulabant. Quare depoſitis armis, pacatorum habitu, ad Aquileiæ muros acceſſerunt; nunciataque cæde Maximini, petebant uti ſibi portæ aperirentur, amicis jam, qui pridie hoſtes fuiſſent. Enimverò Aquileienſium duces haud paſſi, proponunt Maximi & Balbini ac Gordiani Cæſaris imagines, coronis & lauro redimitas. Quibus ipſi acclamantes, etiam hortabantur exercitum ut

ιε'. Τολμήσαντες οὖν ὀλίγοι τῇ σκηνῇ αὐτοῦ περὶ μέσην ἡμέραν, συναραμένων δὲ αὐτοῖς καὶ τῶν φρουρούντων δορυφόρων, τάς τε εἰκόνας ἐκ τῶν σημείων καθαιροῦσι, καὶ αὐτὸν σὺν τῷ παιδὶ προελθόντα τῆς σκηνῆς, ὡς δὴ ἄρα διαλέξαιτο αὐτοῖς, οὐκ ἀνασχόμενοι ἀναιροῦσι. φονεύουσι δὲ καὶ τὸν ἔπαρχον τοῦ στρατοῦ, πάντας τε τοὺς ἐκείνου θυμήρεις φίλους· ῥίψαντές τε τὰ σώματα τοῖς βουλομένοις ἐνυβρίζειν καὶ πατεῖν, εἴασαν κυσί τε καὶ ὄρνισι βοράν. τὰς δὲ Μαξιμίνου καὶ τοῦ παιδὸς τὰς κεφαλὰς εἰς τὴν Ῥώμην ἔπεμψαν. Τοιούτῳ μὲν δὴ τέλει Μαξιμῖνος καὶ ὁ παῖς αὐτοῦ ἐχρήσαντο, δίκας πονηρᾶς ἀρχῆς ὑποσχόντες.

ις'. Ὁ δὲ στρατὸς πᾶς ὡς ἐπύθετο τὰ γενόμενα, ἔν τε ἀφασίᾳ ἦσαν, καὶ οὐ πάνυ τι τῷ πραχθέντι πάντες ἠρέσκοντο· καὶ μάλιστά γε οἱ Παίονες, καὶ ὅσοι βάρβαροι Θρᾷκες, οἳ καὶ τὴν ἀρχὴν αὐτῷ ἐγκεχειρίκεσαν. πλὴν τοῦ ἔργου ἅπαξ γεγονότος, ἄκοντες μὲν, ἔφερον δέ· ἀνάγκη τε ἦν συνήδεσθαι τοῖς πραχθεῖσιν ὑποκρινομένοις. καταθέμενοί τε τὰ ὅπλα, ἐν εἰρηνικῷ σχήματι προσῄεσαν τοῖς τείχεσι τοῖς Ἀκυλησίων, ἀγγέλλοντες τὸν φόνον τοῦ Μαξιμίνου. τὰς δὲ πύλας ἀνοίγειν ἠξίουν, δέχεσθαί τε φίλους τοὺς χθὲς ἐχθρούς. οἱ δὲ τῶν Ἀκυλησίων στρατηγοὶ τὰς μὲν πύλας ἀνοῖξαι οὐκ ἐπέτρεψαν· προθέντες δὲ τὰς εἰκόνας Μαξίμου καὶ Βαλβίνου, Γορδιανοῦ τε Καίσαρος, στεφάνοις καὶ δάφναις κεκοσμημένας, αὐτοί τε εὐφη-

μουν

μου, καὶ τοὺς στρατιώτας ἠξίουν γνωρίσαι καὶ ἀντειπεῖν, εὐφημῆσαί τε τοὺς ὑπὸ Ῥωμαίων συγκλήτου ἀναδειχθέντας αὐτοκράτορας. Γορδιανοὺς δὲ ἔλεγον ἐκείνους εἰς οὐρανὸν καὶ θεοὺς ἀνακεχωρηκέναι. προὔθεσάν τε ὑπὲρ τῶν τειχῶν ἀγορὰν, [1] ὤνιον παρέχοντες πάντων τῶν ἐπιτηδείων, τροφῶν τε παντοδαπῶν καὶ ποτῶν, ἀφθονίαν· ἐσθῆτός τε καὶ ὑποδημάτων, καὶ ὅσα ἐδύνατο παρέχειν εἰς χρῆσιν ἀνθρώποις πόλις εὐδαιμονοῦσα καὶ ἀκμάζουσα. ὅθεν καὶ μᾶλλον ἐξεπλάγη ὁ στρατὸς, συνεὶς ὅτι τοῖς μὲν πάντα αὐτάρκη ἦν, εἰ καὶ ἐπὶ πλέον πολιορκοῖντο, αὐτοὶ δὲ ἐν σπάνει πάντων τῶν ἐπιτηδείων θᾶττον διεφθάρησαν ἂν, ἢ εἷλον πάντα ἔχουσαν πόλιν. Ὁ δὲ στρατὸς ἔμενε περὶ τοῖς τείχεσιν, ἔχων τὰ χρειώδη, ἅπερ ἀπὸ τῶν τειχῶν ἐλάμβανον, ὅσα ἕκαστος ἐβούλετο. διελέγοντό τε ἀλλήλοις· καὶ ἦν εἰρήνης μὲν καὶ φιλίας διάθεσις, σχῆμα δὲ ἔτι πολιορκίας, τῶν τειχῶν κεκλεισμένων καὶ τοῦ στρατοῦ περὶ αὐτὰ διαιτωμένου.

ιζ. Τὰ μὲν οὖν κατὰ τὴν Ἀκυληΐαν, ἐν τούτοις ἦν. οἱ δὲ ἱππεῖς οἱ τὴν Μαξιμίνου κεφαλὴν κομίζοντες ἀπὸ τῆς Ἀκυληΐας, ὡδοιπόρησαν μετὰ πάσης ἐπείξεως, Οἷς καὶ ἐπιφοιτῶσιν αὐτοῖς τὰς λοιπὰς πόλεις, πύλαι ἀνοίγνυντο, καὶ δαφνηφοροῦντες αὐτοὺς οἱ δῆμοι ὑπεδέχοντο. ὡς δὲ διέπλευσαν τάς τε λίμνας καὶ τενάγη μεταξὺ Ἀλτίνου καὶ

agnoſcerent, ſalutarentque, & lætis exciperent vocibus, quos ſenatus populuſque Romanus Imperatores elegiſſet. Nam Gordianos illos ſuperiores in cœlum migraſſe, & cum Diis agere ævum. Sed & forum rerum venalium ſupra muros expoſuerunt, magna ciborum vinique copia, prætereaque veſtium & calceorum, rerumque adeò omnium quas præbere hominibus poſſet civitas beata & florens. Igitur magis magiſque ea res exercitum obſtupefecit, cogitantem fuiſſe illis abundè omnia, etiam ad longiorem obſidionem ſuffectura: contraque ſe magna egeſtate omnium, prius aliquanto fuiſſe perituros quàm urbe omnibus circumfluente copiis potirentur. Ita manente ſub muris exercitu, & quæ cuique uſui forent, indè ſumentibus, colloquentibuſque inter ſe, pacis erat amicitiæque velut habitus, manente adhuc obſidionis ſpecie, quum ſcilicet clauſa mœnia Romanus circumſideret exercitus.

XVII. Dum hæc ad Aquileiam geruntur, interea equites qui Maximini caput Romam ferebant, magno ſtudio accelerantes, patentibus ubique portis ac laureata popularium frequentia excepti, ſtagnis paludibuſque inter Altinum ac Ravennam enavi-

1. Polit. ὤνιον nomini ἀγορὰν jungit: quum tamen tendat ad ἀφθονίαν. Step.

gatis

gatis, Maximum in urbe Ravenna invenerunt, delectos ex urbe & Italia contrahentem milites, ac Germanorum auxiliares; qui benevolentiæ nomine publice à popularibus missi fuerant, quibus olim Maximus cum imperio diligentissimè præfuerat. Ergò paranti copias adversus Maximinum, repentè occurrunt equites, capita ferentes principum, victoriamque nuntiantes, & rerum prosperos successus, consensumque exercitus & populi ad eosdem colendos principes quos senatus elegisset. His igitur præter spem nuntiatis, statim ad aras sacrificatum discurritur, victoriam canentibus universis, quam citra pulveris jactum sibi pepererant. Enimverò Maximus peracto sacrificio Romam dimittit equites, ut rem gestam populo narrent, & capita illa perferant. Qui postquam pervenêre in urbem, atque infixa contis hostilia capita omnibus conspicienda prætulerunt, nemo utique verbis ullis consequi posset festum lætitiamque ejus diei. Nulla quippe fuit ætas quæ non ad aras & templa festinarit, nemo qui domi se continuerit: sed ibant ceu lymphati, gratantes invicem; atque in circum, veluti futura

Ῥαβέννης, περιέτυχον Μαξίμῳ αὐτοκράτορι, διατρίβοντι ἐν Ῥαβέννῃ ἔνθα τούς τε ἀπὸ Ῥώμης ἐπιλέκτους καὶ τοὺς ἀπὸ τῆς Ἰταλίας λογάδας ἤθροιζεν. Ἀφῖκτο δὲ αὐτῷ καὶ Γερμανῶν οὐκ ὀλίγη συμμαχία, πεμφθεῖσα ὑπ' αὐτῶν κατ' εὔνοιαν ἣν εἶχον πρὸς αὐτὸν ἄνωθεν, ἐξ οὗπερ ἦν αὐτῶν ἐπιμελῶς ἄρξας. Παρασκευάζοντι οὖν αὐτῷ τὴν δύναμιν ὡς πολεμήσουσαν τῷ Μαξιμίνου στρατῷ, παρεισίασιν οἱ ἱππεῖς τὴν κεφαλὴν τήν τε Μαξιμίνου καὶ τὴν τοῦ παιδὸς φέροντες, νίκην τε καὶ εὐπραγίαν ἀγγέλλοντες, ὅτι τε ἄρα ὁ στρατὸς τὰ Ῥωμαίων φρονεῖ, καὶ σέβει αὐτοκράτορας οὓς ἡ σύγκλητος ἐποίησε. Τούτων δὲ παρ' ἐλπίδα ἀγγελθέντων, θυσίαι τε βωμοῖς εὐθὺς προσήγοντο, καὶ νίκην ἐπαιάνιζον πάντες ἣν ἀκονιτὶ ἐνίκησε. ὁ δὲ Μάξιμος, καλλιερήσας, ἐκπέμπει τοὺς ἱππεῖς εἰς τὴν Ῥώμην ἀγγελοῦντάς τε τὰ πραχθέντα τῷ δήμῳ καὶ τὴν κεφαλὴν κομίσοντας. ἐπεὶ δὲ ἀφίκοντο, εἰσέπεσόν τε εἰς τὴν πόλιν, δεικνύντες τὴν κεφαλὴν τοῦ [1] πολεμίου ἀνεσκολοπισμένην, ὡς πᾶσι περίοπτος εἴη οὐδ' εἰπεῖν ἔστι λόγῳ τῆς ἡμέρας ἐκείνης τὴν ἑορτήν. οὔτε γὰρ ἡλικία τις ἦν ἣ μὴ πρός τούς τε βωμοὺς καὶ τὰ ἱερὰ ἠπείγετο· οὔτε τις ἔμενεν οἴκοι, ἀλλ' ὥσπερ ἐνθουσιῶντες ἐφέροντο, συνηδόμενοί τε ἀλλήλοις, καὶ ἐς τὸν ἱππόδρομον συνθέοντες ὥσ-

1. Atque infixum conto caput omnibus conspiciendum præbuerunt. Hic mentio fit unius tantum capitis quod in filium ejus non perinde ac in eum conceptum esset odium. Ib.

περ ἐκκλησιάζοντες ἐν ἐκείνῳ [1] τῷ χωρίῳ. ὁ δὲ Βαλβῖνος καὶ αὐτὸς ἑκατόμβας ἔθυε· ἀρχαί τε πᾶσαι καὶ σύγκλητος, ἕκαστός τε ὥσπερ ἀποσεισάμενος πέλεκυν τοῖς αὐχέσιν ἐπικείμενον, ὑπερευφραίνετο. ἐς τε τὰ ἔθνη ἄγγελοι καὶ κήρυκες δαφνηφόροι διεπέμποντο.

ιη'. Καὶ τὰ μὲν κατὰ τὴν Ῥώμην, ἑορτῆς εἶχεν οὕτως. ὁ δὲ Μάξιμος, ἀπὸ τῆς Ῥαβέννης ἄρας, ἐπέστη Ἀκυληΐᾳ, διαβὰς τὰ τενάγη ἃ ὑπό τε Ἠριδανοῦ ποταμοῦ πληρούμενα καὶ τῶν περικειμένων ἑλῶν, ἑπτὰ στόμασιν ἐς θάλατταν ἐκχεῖται· ἔνθεν καὶ τῇ ἑαυτῶν φωνῇ καλοῦσιν οἱ ἐπιχώριοι ἑπτὰ πελάγη τὴν λίμνην ἐκείνην. Εὐθὺς οὖν οἱ Ἀκυλήσιοι τὰς πύλας ἀνοίξαντες ὑπεδέχοντο, αἵ τε ἀπὸ Ἰταλίας πόλεις πρεσβείας ἔπεμπον ἀπὸ τῶν προὐχόντων παρ' αὐτοῖς ἀνδρῶν· οἱ λευχειμονοῦντες καὶ δαφνηφόροι, θεῶν πατρίων ἕκαστοι προσκομίζοντες ἀγάλματα, καὶ εἴ τινες ἦσαν στέφανοι χρυσοῖ ἐξ ἀναθημάτων· εὐφήμουν τε καὶ ἐφυλλοβολοῦντο τὸν Μάξιμον. Ὁ δὲ στρατὸς ὁ τὴν Ἀκυληΐαν πολιορκήσας, προσῄει καὶ αὐτὸς ἐν εἰρηνικῷ σχήματι δαφνηφόρος, καὶ ἐξ ἀληθοῦς μὲν διαθέσεως πᾶς, προσποιήτῳ δὲ εὐνοίᾳ καὶ τιμῇ, διὰ τὸ παρὸν ἐξ ἀνάγκης τῆς βασιλείας τύχην. οἱ πλεῖστοι γὰρ αὐτῶν ἠγανάκτουν καὶ λανθανόντως ἤλγουν, τὸν

concione frequentes concurrebant. Ipseq; Balbinus hecatombas immolabat, nullique non magistratus, nulli non è senatorio ordine lætabundi supra quam dici posset agitabant; quasi securim cervicibus imminentem excussissent. Igitur nuntii legatique per omnes provincias laureati dimittebantur.

XVIII. Dumque ad hunc modum tanta Romanum populum lætitia tenebat, interea Maximus Ravenna profectus Aquileiam pervenit, transmissis paludibus in quas fluvius Eridanus ac vicina exundant stagna, sic ut per ora septem in mare præcipetentur. Itaque indigenæ patriâ linguâ paludem illam septem-maria appellant. Statim igitur Aquileienses Maximum reseratis portis excepere: nullæque non Italiæ civitates legatos mittebant, principes viros, candidatos ac laureatos, & Deorum patriorum simulacra aureasque coronas, si quæ in donariis fuerant, comportantes; qui fausta omnia Maximo acclamarent, & frondibus eum conspergerent. Quin exercitus etiam qui Aquileiam circumsederat, pacato habitu prodibat laureatus; non tam vero concordique affectu universorum, quam fictâ benevolentiâ, & honore temporario ad præsentem fortunam principis accommodato: plæ-

---

1. Sylburgius legit ὥσπερ ἐκκλησιάζοντες εἰσθέσαι, quamvis Stephanus omittit [ἐν τῷδε τῷ.]

risque tamen indignantibus ac dolentibus clanculum, quem ipsi elegerant, sublatum esse, ac rerum potiri quos senatus creaverat. Enimverò Maximus, uno alteroque die sacrificiis absumpto, tertio dein exercitum omnem in planitiem convocavit, atque ex tribunali ad hunc modum verba fecit.

XIX. Quam fuerit ex usu vobis pœnitentia, & reconciliata cum Romanis gratia, reipsa didicistis; pacem videlicet pro bello agitantes; Deorum reverentiâ, in quos jurastis: servato etiam militari jurejurando, quod est unum Romani principatus mysterium sanctissimum. Quare debetis etiam deinceps hujuscemodi commodis frui, fidem populo servantes Senatuique Romano & nobis Imperatoribus; quos à nobilitate & rebus gestis, longaque serie generis, quasi per gradus quosdam provectos, pari judicio S. P. Q. R. elegerunt. Neque enim unius tantùm hominis peculiaris possessio principatus est, sed communis antiquitus totius populi Romani, siquidem in illâ urbe sita est Imperii fortuna; nobis autem dispensatio tantùm atque administratio principatus unà vobiscum demandata est. Qui si moderatè & honestè vos geretis, & reverentia atque honore principes prosequimini, illa beatam & omnibus necessariis rebus instructam vitam vobis præbebunt; cæteris autem omnibus hominibus per singulas nationes & civitates

μὲν ὑπ' αὐτῶν ἐπιλεχθέντα βασιλέα, καθῃρημένον, κρατοῦντας δὲ τοὺς ὑπὸ συγκλήτου ᾑρημένους. ὁ δὲ Μάξιμος ἐν τῇ Ἀκυληΐᾳ γενόμενος, πρώτης μὲν καὶ δευτέρας ἡμέρας ἱερουργίαις ἐσχόλαζε, τῇ δὲ τρίτῃ τῶν ἡμερῶν συγκαλέσας ἐς τὸ πεδίον πάντα τὸν στρατόν, βήματός τε αὐτῷ κατασκευασθέντος, ἔλεξε τοιάδε.

ιθ'. Ὅσον μὲν ὑμᾶς ὤνησε μεταγνόντας τε καὶ τὰ Ῥωμαίων φρονήσαντας, πείρᾳ μεμαθήκατε, ἀντὶ πολέμου μὲν εἰρήνην ἔχοντες πρὸς θεοὺς, οὓς ὀμωμόκατε, καὶ νῦν φυλάσσοντες τὸν στρατιωτικὸν ὅρκον, ὅς ἐστι τῆς Ῥωμαίων ἀρχῆς σεμνὸν μυστήριον. χρὴ δὲ ὑμᾶς καὶ τοῦ λοιποῦ διὰ παντὸς τούτων ἀπολαύειν, τὰ πιστὰ τηροῦντας Ῥωμαίοις τε καὶ συγκλήτῳ καὶ αὐτοκράτορσιν ἡμῖν· οὓς ἐξ εὐγενείας καὶ πολλῶν πράξεων, καὶ μακρᾶς διαδοχῆς, ὥσπερ κατ' ἀκολουθίαν ἐπὶ τοῦτο ἀναβάντας, κρίναντες ὁ δῆμος καὶ ἡ σύγκλητος ἐπελέξατο. οὐ γὰρ ἑνὸς ἀνδρὸς ἴδιον κτῆμα ἡ ἀρχὴ, ἀλλὰ κοινὸν τοῦ Ῥωμαίων δήμου ἄνωθεν, καὶ ἐν ἐκείνῃ τῇ πόλει ἡ τῆς βασιλείας ἵδρυται τύχη. ἡμεῖς δὲ διοικεῖν καὶ διέπειν τὰ τῆς ἀρχῆς σὺν ὑμῖν ἐγκεχειρίσμεθα. Ταῦτα δὲ μετ' εὐταξίας τε καὶ κόσμου τοῦ πρέποντος, αἰδοῦς τε καὶ τιμῆς πρὸς τοὺς ἄρχοντας, ὑμῖν μὲν εὐδαίμονα καὶ πάντων ἀνενδεῆ πα-

ρέξει βίον, τοῖς δ' ἄλλοις πᾶσιν ἀνθρώποις, κατά τε ἔθνη καὶ κατὰ πόλεις εἰρήνην καὶ πρὸς τοὺς ἡγουμένους πειθώ. βιώσεσθέ τε καὶ κατὰ γνώμην ἐν τοῖς οἰκείοις, οὐκ ἐν ἀλλοδαπῇ κακοπαθοῦντες. ὑπὲρ δὲ τοῦ καὶ τὰ βάρβαρα ἡσυχάζειν ἔθνη, διὰ φροντίδος ἡμεῖς ἕξομεν. δύο μὲν γὰρ ὄντων βασιλέων, εὐμαρέστερον καὶ τὰ ἐν τῇ Ῥώμῃ διοικήσεται, καὶ εἴ τι ἐπὶ τῆς ἀλλοδαπῆς ἐπείγοι, πρὸς τὴν χρείαν ἀεὶ τοῦ ἑτέρου πρὸς τὰ καλοῦντα ῥαδίως παρόντος. Μηδέ τις ὑμῶν οἰέσθω τῶν πεπραγμένων εἶναι τινὰ μνήμην, εἴτε ὑφ' ἡμῶν (ἐκελεύεσθε γάρ) εἴτε ὑπὸ Ῥωμαίων, ἢ τῶν ἄλλων ἐθνῶν, [1] ὅπου οἱ ἀδικούμενοι ἀπέστησαν. Ἀλλὰ γὰρ ἔστω πάντων ἀμνηστία, καὶ σπονδαὶ φιλίας βέβαιοι, εὐνοίας τε καὶ εὐκοσμίας πίστις αἰώνιος.

κ'. Τοιαῦτά τινα εἰπὼν ὁ Μάξιμος, νομάς τε χρημάτων μεγαλοφρόνως αὐτοῖς ἐπαγγείλας ὀλίγων ἡμερῶν ἐνδιατρίψας ἐν τῇ Ἀκυληίᾳ, τὴν ἐς Ῥώμην ἐπάνοδον συγκροτεῖ. καὶ τὸ μὲν ἄλλο στρατιωτικὸν ἀπέπεμψεν ἔς τε τὰ ἔθνη καὶ τὰ οἰκεῖα στρατόπεδα· αὐτὸς δὲ ἐπανῆλθεν ἐς τὴν Ῥώμην, σὺν τε τοῖς δορυφόροις, οἳ τὴν βασιλέων φρουρεῖν ἀρχήν, σὺν τε τοῖς ὑπὸ Βαλβίνῳ στρατευομένοις. ἐπανῆλθον δὲ καὶ οἱ ἀπὸ Γερμανίας ἐληλυθότες σύμμαχοι. ἐθάρσει γὰρ αὐτῶν τῇ εὐνοίᾳ, ἅτε

pacis atque animi ad obsequendum principibus prompti causa erunt. Vivetis autem cuncti ex animi vestri sententia, domi suæ quisque, neque in externis regionibus conflictabimini. Ut autem barbaræ etiam gentes pacem quietemque tueantur, nobis curæ erit hic labor. Nam cum duo sint Imperatores, & quæ Romæ agenda erunt, facilius administrabuntur, & si quid etiam in extera regione festinationem necessariò poscat; utpote alterutro ad ea quæ vocabunt præstò facilè futuro. Neque verò suspicemini rerum superiorum memoriam ullam superfore, aut in nobis (quippe nihil non jussi fecistis) aut in Roman. Pop. nationibusve aliis quæcumque ob acceptas injurias desciverunt. Sit omnium oblivio; sit fœdus constantis amicitiæ, fidesque benevolentiæ ac moderationis sempiterna.

XX. Hæc loquutus Maximus, ac pecunias magna copia pollicitus, paucos Aquileiæ commoratus dies, Romam reverti constituit. Igitur dimisso exercitu reliquo in provincias castraque propria, Romam revertitur ipse, cum stipatoribus iis quibus Imperatorum custodia incumbebat, cum iis item qui sub Balbino militabant. Quin etiam reversi sunt auxiliares, qui è Germania venerant. Eorum enim benevolentiæ fidebat; utpote in quorum gentis præfectura, ante ade-

1. Stephanus omittit ὅπου licèt fateatur inseri oportere.

prium

ptum imperium, moderationem omnem adhibuerat. Ingredienti urbem etiam Balbinus occurrit, Gordianum Cæsarem adducens: senatus autem populusque universus lætis acclamationibus veluti triumphantes exceperunt.

XXI. Post id autem, cum publicè privatimq; magna modestia & gravitate imperium gubernaretur, omnesque omnia bona dicerent, lætaretur populus & gloriaretur patritiis imperioq; dignis principibus, milites tamen animis æstuabant, & cum illis Pop. acclamationibus offendebantur; tum verò ipsorum Imperatorum illam ipsam nobilitatem indignè ferentes datos sibi à senatu principes. Angebant præterea eos Germani quos in urbe secum Maximus retinuerat. Nam futuros vindices sperabant, si quid ipsi majus ausi forent: etiamque insidias suspectabant, ne forte ab illis per fraudem exarmarentur, illique ut præsentes, facile in ipsorum locum substituerentur: memores Severi principis, qui etiam Pertinacis interfectores exauctoraverat. Quum itaque ludi Capitolini celebrarentur, deditis festo ac spectaculis omnium mentibus, repente dissimulatum diu sensum milites indicarunt. Namque ira instincti, ac vesano quodam motu unanimiter ad regiam concurrentes, senibus imperatoribus irruptione facta superveniunt. Fortè accidit, ut ne ipsi quidem inter se satis congruerent; sed (ut est regnandi inexhausta a-

καὶ τῶν ἐθνοις ἐπιεικῶς πρότερον ἄρξας ὅτε ἰδιώτευεν. εἰσιόντι δὲ αὐτῷ ἐς τὴν Ῥώμην ὅ, τε Βαλβῖνος ὑπηντίαζε, ἐπαγόμενος Γορδιανὸν Καίσαρα· ἥ τε σύγκλητος καὶ ὁ δῆμος εὐφημοῦντες, ὥσπερ θριαμβεύοντας ὑπεδέχοντο.

κα΄. Ἦρχον δὲ τὸ λοιπὸν τῆς πόλεως μετὰ πάσης εὐταξίας καὶ εὐκοσμίας, ἰδίᾳ τε καὶ δημοσίᾳ πανταχοῦ εὐφημούμενοι. ἔχαιρέ τε ὁ δῆμος αὐτοῖς, σεμνυνόμενος εὐπατρίδαις καὶ ἀξίοις τῆς βασιλείας αὐτοκράτορσιν. Οἱ μέντοι στρατιῶται διοίδαινον τὰς ψυχὰς, καὶ οὔτε ταῖς εὐφημίαις τοῦ δήμου ἠρέσκοντο, ἐβαρύνοντό τε αὐτῶν αὐτὴν τὴν εὐγένειαν, καὶ ἠγανάκτουν ὅτι ἄρα ἔχοιεν ἐκ συγκλήτου βασιλέας. ἐλύπουν δὲ αὐτοὺς καὶ οἱ Γερμανοὶ παρόντες τῷ Μαξίμῳ, ἔν τε τῇ Ῥώμῃ διατρίβοντες. Ἀντιπάλους γὰρ ἕξειν ἤλπιζον εἴ τι τολμῷεν, καὶ ἐφεδρεύειν αὐτοῖς ὑπώπτευον, εἴ τινι δόλῳ ἀποζωσθεῖεν καὶ ἐκεῖνοι, ἅτε παρόντες ῥᾳδίως ἀντικαταστῶσιν. Τό, τε Σεβήρου ὑπόδειγμα, ὃς τοὺς Περτίνακα ἀποκτείναντας ἀπέζωσεν, εἰσῄει αὐτούς. ἐπιτελουμένου δὲ ἀγῶνος τοῦ τῶν Καπετωλίων, πάντων τε περὶ τὴν πανήγυριν καὶ τὰς θέας ἀσχολουμένων, αἰφνιδίως ἣν εἶχον γνώμην λανθάνουσαν ἐξέφηναν· καὶ τοῦ θυμοῦ μὴ κρατήσαντες, ὁρμῇ δὲ ἀλόγῳ χρησάμενοι, ἀνῆλθον ὁμοθυμαδὸν εἰς τὰ βασίλεια, τοῖς τε πρεσβύταις βασιλεῦσιν ἐπεισῆλθον. συνέβαινε δὲ κἀκείνους μὴ πάνυ τι ἀλλήλοις ὁμο-

νοεῖν, ἀλλ' οἷα δὴ μοναρχίας ἐπιθυμίᾳ, καὶ τὸ ἀκοινώνητον ἐν ταῖς ἐξουσίαις, ἕκαστος πρὸς αὐτὸν τὴν δύναμιν ἀνθεῖλκεν· ὁ μὲν Βαλβῖνος, κατ' εὐγένειαν καὶ διπλῆν προάγουσαν ὑπατείαν πρωτεύειν ἀξιῶν· ὁ δὲ Μάξιμος, διὰ τὸ ἔπαρχον τῆς πόλεως γεγονέναι, καὶ ἔχειν ὑπόληψιν ἐμπειρίας πραγμάτων· ἑκατέρωθεν ἡ εὐγένεια εὐπατρίδας καὶ γένους πλῆθος αὐτάρκες εἰς ἐπιθυμίαν μοναρχίας ἐπῆγεν. Ὅπερ αὐτοῖς καὶ μάλιστα γέγονεν ἀπωλείας αἴτιον. ὡς γὰρ ἐπύθετο ὁ Μάξιμος ἀφικνεῖσθαι ἐπ' ὀλέθρῳ [1] αὐτῶν τοὺς πραιτωριανοὺς καλουμένους, ἐβούλετο μεταπέμψασθαι τοὺς Γερμανοὺς συμμάχους, ὄντας ἐν Ῥώμῃ, αὐτάρκεις ἐσομένους ἀντιστῆναι τοῖς ἐπιβουλεύουσιν. ὁ δὲ Βαλβῖνος, οἰόμενος δόλον τινὰ εἶναι κατ' αὐτοῦ καὶ σόφισμα, (ᾔδει γὰρ τοὺς Γερμανοὺς τῷ Μαξίμῳ εὐνοοῦντας) ἐκώλυε, φάσκων οὐκ ἐς κώλυμα εἶναι ἐς ἀντίστασιν αὐτοὺς τῶν πραιτωριανῶν ἀφίξεσθαι, ἀλλ' ἐς τὸ περιποιῆσαι τῷ Μαξίμῳ τὴν μοναρχίαν. ἐν ᾧ δὲ περὶ τούτων διαφέρονται, εἰσδραμόντες οἱ στρατιῶται ὁμοθυμαδὸν ἅπαντες, ἐκστάντων αὐτοῖς τῶν περὶ τὰς βασιλείας εἰσόδους φυλαττόντων, ἁρπάζουσι τοὺς πρεσβύτας. περιῤῥήξαντες δὲ ἃς εἶχον περὶ τοῖς σώμασιν ἐσθῆτας λιτάς, ἅτε οἴκοι δι-

viditas, atque incommunicabalis natura poteſtatis) imperium ad ſe certatim trahebant: quum Balbinus quidem propter nobilitatem & duos conſulatus à ſe geſtos primas partes tenere æquum cenſeret; ac Maximus, quod præfectus urbis fuiſſet, & rerum peritus haberetur. Utrumque tamen patritia nobilitas, & quantum ſatis eſſet, illuſtre genus, ad ſummum imperium ſtimulabant. Quæ res imprimis ambos perdidit. Nam audito Maximus veniſſe ad ſe occidendum milites qui Prætoriani appellantur, arceſſere ſtatim Germanos auxiliares ſtatuerat, qui ſcilicet in urbe ipſa erant, ac poſſe reſiſtere Prætorianis videbantur: at Balbinus dolum contra ſe compoſitamque aliquam ſuſpectans fraudem, quod ſtudere Maximo Germanos cognoverat, prohibuit acciri illos: negans ad prohibendos repellendoſq; Prætorianos convocari; ſed id agi ut ſumma rerum ſolus Maximus potiatur. Ac dum inter ſe ad hunc modum diſceptant, ecce tibi unanimiter milites, impetu in aulam facto, cùm illis de viâ ceſſiſſent (hoc eſt, tranſitum dediſſent) atrienſium januarum cuſtodes, ſenem corripiunt utrumque; laceratiſque veſtibus quas gerebant, vilioribus ſanè, utpote domi ſe continentium, nudos ipſos ex aulâ ab-

1. Rectiùs αὐτοῦ.

strahunt;

ſtrahunt; ac per omnem ignominiam contumeliamque cædentes per irriſionem vocitantes ſenatorios Imperatores barbamque & ſupercilia vellentes, neque ulli parcentes corporis totius ludibrio, per mediam urbem ad caſtra deducebant; ne occidere quidem illos in regia decreti, ſed vivos cruciatibus afficere, quo dolorem diutius perpeterentur. Sed ubi Germanos re deinde cognitâ, raptis armis, in auxilium concurrere nunciatum Prætorianis eſt, ſtatim illos nullâ non parte corporis jam fœdatâ, contrucidant. Relictiſque in publicâ viâ cacadaveribus, quùm Gordianum, qui Cæſar erat, in altum ſuſtuliſſent, atque Imperatorem declaraſſent, (quoniam alium in præſens non invenerant) vociferantes populo, ſe interemiſſe illos quos populus initio imperium obtinere noluiſſet, Gordianum autem elegiſſe, nepotem illius Gordiani quem ipſimet Rom. ſuſcipere imperium coegerint: habentes illum, caſtra petierunt: clauſiſque portis quieti manſerunt. At Germani ubi occiſos projectoſque audierunt quorum causâ properaverant, quùm nollent irritum bellum pro viris vitâ defunctis ſuſcipere, in ſua diverſoria revertuntur. Hunc finem vitæ habuerunt, indignum videlicet ac nefarium, venerabiles ſenes & commemoratione digni, claritudine generis atque egregiis meritis ad Im-

ἀπειθοῦντες, γυμνοὺς τῆς βασιλείου αὐλῆς ἐξέλκουσι μετὰ πάσης αἰσχύνης καὶ ὕβρεως, παίοντές τε καὶ ἀποσκώπτοντες τοὺς ἀπὸ συγκλήτου βασιλέας, γενείων τε καὶ ὀσφρύων σπαραγμοῖς, καὶ πάσαις ταῖς τοῦ σώματος λώβαις ἐμπαροινοῦντες διὰ μέσης τῆς πόλεως ἐπὶ τὸ στρατόπεδον ἀπῆγον, οὐ θελήσαντες οὐδ' ἐν τοῖς βασιλείοις ἀποκλεῖναι, ἀλλὰ ζῶσιν ἐνυβρίσαι, ἵν' ἐπιπλέον ὧν πάσχουσιν αἴσθοιντο. ἐπεὶ δὲ ταῦτα πυθόμενοι οἱ Γερμανοὶ, λαβόντες ὅπλα, ἠπείγοντο ὡς ἀμυνοῦντες αὐτοῖς, μαθόντες οἱ πραιτωριανοὶ ἀφικνουμένους, φονεύουσιν ἤδη πᾶν τὸ σῶμα λελωβημένους τοὺς βασιλέας. καὶ καταλιπόντες τὰ σώματα ἐῤῥιμμένα ἐπὶ τῆς λεωφόρου, ἀράμενοι δὲ τὸν Γορδιανὸν Καίσαρα ὄντα, αὐτοκράτορά τε ἀναγορεύσαντες, ἐπειδὴ πρὸς τὸ παρὸν ἄλλον οὐχ εὗρον, βοῶντές τε πρὸς δῆμον ὅτι ἄρα εἴησαν ἀπεκτονότες οὓς ὁ δῆμος οὐκ ἐβούλετο ἐν ἀρχῇ ἄρξαι, Γορδιανόν τε ἐπελέξαντο, ἐκείνου γε ἀπόγονον, ὃν καὶ αὐτοὶ Ῥωμαῖοι ἐξεβιάσαντο· καὶ ἔχοντες αὐτὸν, ἀπελθόντες ἐς τὸ στρατόπεδον, συγκλείσαντες τὰς πύλας, ἡσύχαζον. οἱ δὲ Γερμανοὶ, μαθόντες ἀνῃρημένους τε καὶ ἐῤῥιμμένους ὧν χάριν ἠπείγοντο, οὐχ ἑλόμενοι πόλεμον μάταιον ὑπὲρ ἀνδρῶν τεθνηκότων, ἐπανῆλθον εἰς τὸ ἑαυτῶν καταγώγιον. Τέλει μὲν δὴ τοιούτῳ ἐχρήσαντο ἀναξίῳ τε ἅμα καὶ ἀνοσίῳ σεμνοὶ καὶ λόγου ἄξιοι πρεσβῦται, εὐγενείας τε καὶ κατ' ἀξίαν ἐπὶ

τὴν

τὴν ἀρχὴν ἐληλυθότες. ὁ δὲ Γορδιανὸς, περὶ ἔτη που γεγονὼς τεσσαρεσκαίδεκα, αὐτοκράτωρ τε ἀνεδείχθη, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἀνεδέξατο.

perii fastigium provecti. Cæterùm Gordianus, quum annorum esset fermè tredecim, [1] Imperator (ab universis) declaratus, Romanum suscepit imperium.

1. Politianus legit [Princeps] quia statim post [imperium] usurpare cogeretur. Steph.

FINIS.